GEORGII ACROPOLITÆ MAGNI LOGOTHETÆ,

ET

DUCÆ

MICHAELIS DUCÆ NEPOTIS

HISTORIA BYZANTINA.

ΓΕΩΡΓΙΟΥ
ΤΟΥ ΑΚΡΟΠΟΛΙΤΟΥ
ΤΟΥ ΜΕΓΑΛΟΥ ΛΟΓΟΘΕΤΟΥ
ΧΡΟΝΙΚΗ ΣΥΓΓΡΑΦΗ.
GEORGII ACROPOLITÆ
MAGNI LOGOTHETÆ
HISTORIA,
JOELIS CHRONOGRAPHIA COMPENDIARIA;

& JOANNIS CANANI Narratio de Bello CP.

LEONE ALLATIO INTERPRETE, CUM EJUSDEM NOTIS,
& THEODORI DOUZÆ Observationibus.

Accessit Diatriba de GEORGIORUM *Scriptis.*

VENETIIS,
EX TYPOGRAPHIA BARTHOLOMÆI JAVARINA.

M. DCC. XXIX.

LUDOVICO XIV.

ADEODATO,

FRANCORUM AC NAVARRÆORUM

REGI

CHRISTIANISSIMO,

VERE REGI, VERE REGUM AUGUSTISSIMO,

OPTIMO, CLEMENTISSIMO,

TOTIUS ORBIS MIRACULO,

JUSTO, VICTORI, PIO, FELICISSIMO:

GEORGII ACROPOLITÆ

MAGNI LOGOTHETÆ

HISTORIAM BYZANTINAM,

CUM QUIBUSDAM ALIIS AUCTORIBUS,

STUDIO ET OPERA

LEONIS ALLATII

NUNC GRÆCE ET LATINE

TYPIS LUPARENSIBUS EDITAM

ſ iij

VOTIS ÆTERNIS

D. D. D.

REGIÆ MAJESTATIS TUÆ

AC

REGINÆ REGENTIS MATRIS

ARCHITYPOGRAPHUS

SERVUS SUBDITUSQUE HUMILLIMUS

AC OBSEQUENTISSIMUS

SEBASTIANUS CRAMOISY

REGIÆ TYPOGRAPHIÆ

CURATOR.

1. Martii M. DC. LI.

Munus est videre Principem.

Cassiodorius.

GEORGII LOGOTHETÆ
ENCOMIUM,

Auctore GREGORIO CYPRIO *Patriarcha Constantinopolitano.*

ΚΙΝΔΥΝΟΣ εἶχε τοὺς λόγους· καὶ ὁ κίνδυνος ὅσος, παίδευσις κατελύετο· πρᾶγμα οὔπω γεγονὸς ἐξ αἰῶνος, τέχνη καὶ μαθημάτων ἀκρίβεια ἐξ ἀνθρώπων ἦσαν. ἀνεπιστημοσύνη κατεῖχε τὸ πᾶν, καὶ τύχη τις ἄλογος ἐπεχόρευε. λόγων δὲ σπέρματα καὶ σπινθῆρας, ὡς εἰπεῖν, μαθημάτων, ἦν ὁρᾷν σωζόμενα οὐδαμοῦ. ὅτι μὴ παρὰ τῷ Λογοθέτῃ, οὐ μέγα δ' εἰπεῖν καὶ καθ' ἡμᾶς Ἀριστοτέλει, εἴτε καὶ Πλάτωνι, ἢ ὅπως ποτὲ, τούτοις παραπλησίως, τὸν ἄνδρα βούλοιτό τις καλεῖν, ἢ ἵνα διέλω σαφέστερον, ὃν Ἀριστοτέλη νομίζειν χρεὼν, οὐδὲν ἐκείνου ἀπολειπόμενον, ὅταν τι δέῃ τῆς λογικῆς ἐπιστήμης, ἢ τῆς τῶν φυσικῶν ἀποφήνασθαι. Πλάτωνα δὲ θεολογοῦντα, καὶ κατὰ μοῦσαν φθεγγόμενον Ἀττικὴν, παρ' ᾧ μόνῳ, κατ' αὐτὸν Πλάτωνα φάναι, σαφῆ τε καὶ στρογγύλα καὶ ἀκριβῶς ἕκαστα τῶν ὀνομάτων ἀποτετόρνευται. οὗτος μὲν γὰρ μόνος ἐλείπετο, ἢ ἀληθέστερον εἰπεῖν ἐταμιεύετο μετὰ τῶν ἄλλων καλῶν ἐκ Θεοῦ, ἔσχατος μὲν τῷ χρόνῳ μεθ' ὅσοι σοφοὶ πεφήνασι, τοῖς πρώτοις δὲ συνεισάγεσθαι δίκαιος. παιδεύσεως ἧς ἂν ἅπαν εἶδος συναγηοχὼς, καὶ διὰ πάντων εὐδοκιμῶν, ὡς ἐν οὐδενὶ πρὸς οὐδένα καταδέχεσθαι σύγκρισιν·

CUm periculo conjuncta erat eruditio; & (o periculum ingens) ipsa jam perierat eruditio: quæ res post hominum memoriam non evenerat hactenus. Omnis ars, omnis accurata disciplinarum cognitio, humanum reliquerat genus. imperitia invaserat hoc universum, dominaque fortuna omnis expers rationis, ubique exultabat, scientiarum semina, &, ut sic dicam, fomites disciplinarum, nusquam erant reliqui; Unum Logothetam excipio, (absit dicto invidia) sive quis Aristotelem eum, sive Platonem, sive alio simili appellare velit nomine. Aut (ut planius distinguam) quem recte Aristotelem vocaveris, ut qui nulla in parte quicquam huic concessit: quoties in Logica Physicave aliquid exponendum esset scientia. Platonem vero, quoties Theologum ageret Atticæque elegantiam exprimeret Musæ. apud quem unum (ut cum ipso loquar Platone) verba singula & perspicua & rotunda, & ad amussim quamdam quasi facta sunt. solus enim hic tum superabat, aut (ut loquar verius) cum bonis aliis a Deo quasi promicondo datus erat. tempore quidem, omnium quotquot fuere sapientes, ultimus; qui cum primis tamen jure merito certare possit. Quippe qui cum unus esset, omne disciplinarum pariter conjunxerat genus, & in omnibus tenebat primas, ut in nullo cum alio conferri possit.

ONUFRIUS PANVINIUS
in Chronico anno CIↃ. CC. LXXXIV.

Gregorius Cyprius Monachus, ex Imperatorii cleri ordine Lector, CXI. Patriarcha Constantinopolitanus, an. VI. mens. VI. abdicavit.

De Reinerio sive Renato de Utrecht

EXCERPTA.

Ex Ville-huarduini Historiarum libris.

Ex LIB. I.

AL' entree de la Quaresme apres le jour que on prent Cendres se croisa li Quens Baudoin de Flandre & de Henaut, a Bruges, & la Contesse Marie sa femme, qui ere suer le Conte Thiebaut de Champaigne. Apres se croisa Henri ses freres, Thierry ses niers, qui fu fil le Conte Filippe de Flandre, Guillelme l' Avoes de Bethune, Coene ses freres, Johan de Neele Chatelain de Bruges, *Reniers de Trait*, Reniers ses fils.

AL' entree apres du Caresme, le lendemain du jour des Cenders, se croisa le Comte Bauldovin de Flandres & de Henault a Bruges, avec la Comtesse Marie sa femme, & sœur au Comte Thibault de Champaigne. Et depuis lui, Henry son frere, Thierry son neveu, qui fut fils du Comte Philippes de Flandres, Guillaume l' Advoyer de Bethune, Antoyne son frere, Ichan de Nesle Chatellain de Bruges, René d' Utrecht, *René son fils, &c.*

Ex LIB. 6.

LOrs dona l' Empereor, Baudoins au Conte Loeis la Duché de Nike, &c. Lors apres dona la Duchee de Finepople a *Renier de Trit.*

L' *Empereur avoit donné au Comte de Bloys la Duché de Niece, &c. & pourveu d' autre part du Duché de Philippopoli (en la Thrace)* René d' Utrecht.

Ex EODEM.

A Cel termine se parti *Renier de Trit* de Constantinople, & sen ala vers Finepople, que l' Empereor Baudoins li avoit donee, & emmena bien avec lui six vinges Chevaliers de mult bone gent, & chevaucha tant par ses jornees, & trespassa a Andrenople, & vint a Finepople, & la gent de la terre le reçurent, & li obeirent a seignor, qui le virent mult volontiers.

E*N ce mesme temps* René d'Utrecht *desloges aussi de Constantinople, et s' en alla Philippopoli, que l' Empereur Baldouin luy avoit donnee; et emmena bien quant et luy six vingts autres bons et vaillans hommes d' armes, avec leur suite et equipage s' estans mis aux champs, il passa aupres d' Andrinople, et s' en vint à Philippopoli, ou ceux de la terre le reçeurent fort volontiers, et luy obeirent comme à leur Seigneur.*

Qui plura de hoc Reinerio seu Renato de Utrecht (qui originem suam seu incunabula huic Urbi debet) scire volet, consulat ejus ævi Historicum *αὐτόπτην* Godofredum istum Ville-harduinum, qui hæc omnia fuse aliquot libris persequitur, distincto rerum & temporum ordine. ibi de ejus viri incredibili patientia, summa fide, audacia in periculis, ad satietatem quisque poterit haurire.

ΓΕΩΡΓΙΟΥ
ΤΟΥ ΑΚΡΟΠΟΛΙΤΟΥ
ΤΟΥ ΜΕΓΑΛΟΥ ΛΟΓΟΘΕΤΟΥ
ΧΡΟΝΙΚΗ ΣΥΓΓΡΑΦΗ.
GEORGII ACROPOLITÆ
MAGNI LOGOTHETÆ
HISTORIA.

Η παροῦσα Χρονικὴ συγγραφὴ τοῦ μεγάλου Λογοθέτου τοῦ Ἀκροπολίτου ἐστίν· ὃς ἔκτισε καὶ τὸ μοναστήριον τῆς ἁγίας τοῦ Χριστοῦ Ἀναστάσεως. περιέχει δὲ τὰ μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως, ἄχρι τῆς Βασιλείας τοῦ Βασιλέως Μιχαὴλ τοῦ Παλαιολόγου.

Præsens Chronographica ſcriptio magni Logothetæ Acropolitæ eſt, qui Monaſterium ſanctæ Chriſti Reſurrectionis exædificavit. Continet quæ poſt captam a Latinis Conſtantinopolim evenere, uſque ad Imperium Michaelis Palæologi.

α. Τὸ τῆς ἱστορίας χρήσιμον καὶ πρὸ ἡμῶν οἱ συγγραψάμενοι διωρίσαντο, καὶ ἅπερ ἂν ἐκείνοις ἐπῆλθεν εἰπεῖν, ταῦτ' ἂν καὶ ἡμεῖς ἐρεῖν ἔχομεν. τί γὰρ ἂν καὶ εὕροιμεν καινότερον νόημα τοσούτων ἱστορησάντων, καὶ σύμπαν καλὸν τῆς ἱστορίας ἀποφηναμένων ἐν τοῖς σφετέροις συγγράμμασιν; τάχα δὲ, ὃ πλέον ἐκείνων ἐν τοῖς νῦν προκειμένοις ἡμῖν λέξειν ἄξιον, τοῦτο γε ἂν τῆς ἡμετέρας συγγραφῆς προβαλοίμεθα. τὸ δὲ ἐστὶν, ὅτι καινοτέρων ἡμῖν προκειμένων πραγμάτων, ἃ μήπω τις γραφῇ παραδέδωκε, καινότερον συμβαίνει εἶναι καὶ τὸ ὠφέλιμον, ἐκείνων ἐν γνώσει τῶν ἀνθρώπων γεγενημένων, ἅπερ ὁ χύδην ῥέων λόγος οὐκ ἀληθῶς ἀποφαίνεται. Οἱ μὲν οὖν τὰ καθ' ἡμᾶς ἱστορικῶς συγγραψάμενοι, ἄλλην ἄλλως πεποίηνται τὴν ἀρχήν. οἱ μὲν γὰρ αὐτῆς ἀπὸ τῆς τοῦ κόσμου γενέσεως ἤρξαντο. οἱ δὲ ἐξ ἀξιολόγου τινὸς ἀρχῆς, ἢ Περσῶν, ἢ Ἑλλήνων, ἢ Ῥωμαίων, ἢ ἄλ- A

1. HISTORIÆ commodia, qui res geſtas ante nos ſcripſere, oratione complexi ſunt; alia nos ab illis quæ ipſis in mentem venere non ſuggeſſerimus. Quid enim poſt tot ſcriptores, qui totum quod in hiſtoria eſt, bonum monumentis editis demandarunt, inauditum, aut cuiquam novum afferemus? Verum quod in re propoſita dictu dignum a nobis cenſetur, id ſcriptioni noſtræ præponemus: rebus ſcilicet novis objectis, nullique ſcriptorum enarratis, novam quoque utilitatem nobis accedere; cum ea in cognitionem hominum veniant, quorum fluxo, & popularis ſtrepitus diffuſo rumore, veritati non recte conſulitur. Qui itaque res noſtras hiſtoria proſecuti ſunt, alio atque alio initio facto rem inchoarunt. Ex his enim nonnulli ab orbe ipſo condito, alii a præclaro quopiam, ſive Perſarum, ſive Græcorum, ſive Romano- Edit. Pariſ. pag. 1. pag. 2.

rum, sive alterius nationis Imperio exorsi, ad exitum sibi propositum scriptionem propriam direxerunt. Nos etiam nihilominus narrationem nostram prosequemur. Res quippe actas, earumque cursum ab orbe condito multi, ac fere pertractarunt. Neque hic operæ pretium erit differere, quantum illi in rerum gestarum serie, regionum excidiis, urbium seditionibus, bellis commissis, captivitatibus, victoriis, cladibus, & hujuscemodi generis aliis afferendis, inter se dissentiant: cum enim varia sint, ac multiplicia, adeo ut neque victoribus ipsis, ut ipse suspicor, innotescant, qui id fieri potest, ut incorruptam fidem, nudamque veritatem eb Historicis expectemus? Immo scriptori quæ fama plurimorum celebrantur assumenda sunt, ni veritatem, quemadmodum qui obolos frustulis depravant, aut adulterant, contaminare velit. Non itaque gratia, aut invidentia, non amore, aut odio, sed cognitionis tantum causa, ut ne, quæ a nonnullis gesta sunt, sive illa prava, sive bona, memoria hominum dilapsa, oblivione, quæ tempore irrepit, obruantur, scribenda historia est. Narrationis nobis principium sit Constantinopolis expugnatio, urbis sane conspicuæ, omnibusque notæ, & cujus nomen in humano genere nemo est, qui non teneat.

II. Alexio Comneno, Isaacii, qui ante Imperium rexerat, fratre, (utrique Angelo nomen fuit) Romani Imperii sceptra tenente, Itali Constantinopolim ducto agmine invaserunt. Expeditionis causa fuit. Alexius Isaacium fratrem Imperio spoliatum obcæcat, indeque Romanorum dominatum occupat: sed Isaacii filius e priore illi uxore susceptus, tum primum e pueris excedens facinus patratum in parentem ægre ferens, fugam meditatus Romam appulit, & ad pedes Pontificis provolutus, impenseque exorans, acrius ad ulciscendas paternas injurias incumbebat. Sors tunc tulerat, ut cumplures in Italiam, non ex Italia modo, sed ex ditione Gallica, aliique ex aliis locis (nec deerant Veneti) in unum convenirent, eo nomine, ut Hierusalem, ubi Dominicum erat sepulcrum, suo accessu in libertatem vindicarent. Eos in eumdem locum coegerat, qui tunc tamquam summus Sacerdos seniori Romæ præerat, quem, uti dixeram, pro paterno Imperio recuperando Isaacii filius supplici oratione exorabat. Adolescentis precibus, imo promissorum, neque enim exigua pollicitus fuerat, expectatione motus, copiarum ducibus juvenem committit, ut eum de via decedentes paterno solio restituerent, sumptus sive in itinere, sive apud Byzanteos mora, impensos ab ipso susciperent. Triremibus itaque & navibus conscensis, secundissime rapacibus ventis acti Constantinopolim perveniunt: ibi manifestant adolescentem, patrata scelera, unde enata jussa Pontificia ante oculos omnium proponunt. Congressi sunt per breve tempus, colloquia inter ambas partes processerunt, prœliis nec contemnendis ad urbem decernunt, sed legationibus irritis gravius dissident. His Imperator Alexius animum despondens, quin imo tractationibus civium confusis illis quidem ac lubricis diffidens, contemptis, negle-

Edit. Paris. pag. 3.

A λου ἤ τινος ἄλλου τῶν ἐθνῶν ἕκαστος πρὸς τὸν ἑαυτοῦ σκοπὸν τὸ οἰκεῖον καταρτιζόμενος σύγγραμμα. καὶ ἡμῖν οὐχ ἥκιστα ὑπὸ ταῖς τῆς συγγραφῆς τελεσθήσεται. Τὰ μὲν γὰρ ἀπ' ἀρχῆς γεγενημένα τῆς τοῦ κόσμου γενέσεως πολλοῖς τε καὶ πολλάκις ἐξιστορήθη. οὐ χρὴ δὲ λέγειν καὶ ὡς πρὸς ἀλλήλους οἱ πλείους ἠναντιοφώνησαν, τὰ τῶν βασιλέων συγγράφοντες, ἀλλοιώσεις τε χωρῶν, καὶ πόλεων στάσεις, καὶ πολέμων συρρήξεις, ἀνδραποδισμούς, καὶ νίκας, καὶ ἥττας, καὶ ὅσα τοιαῦτα συμβαίνει τοῖς καθ' ἡμᾶς. Πολυσχιδῶν γὰρ τινῶν τελούντων, καὶ μηδὲ παρ' αὐτῶν ἴσως τῶν ἐνεργούντων γινωσκομένων, σχολῇ γ' ἂν τοῖς ἐξιστοροῦσι τὸ ἀληθὲς παντάπασι γενέσεται, ἡ ἐπίδειξις. Εἰ τὸ μᾶλλον δὲ καὶ ὅσα τῇ κοινῇ φήμῃ γνωρίζεται, ταῦτα τὸν ἐξιστοροῦντα πα- B ραλήψεσθαι δέον, εἰ μὴ ἀδικεῖν ὅπως ἐθελήσειε τὴν ἀλήθειαν, ὡς οἱ τοὺς ὀβολοὺς κερματίοις λυμαινόμενοι, ἢ καὶ παραχαράττειν βουλόμενοι. Οὔτε γοῦν πρὸς χάριν, οὔτε πρὸς φθόνον, ἀλλ' οὐδὲ πρὸς μῖσος, ἢ καὶ πρὸς εὔνοιαν συγγράφειν χρεών ἐστι τὸν συγγράφοντα, ἀλλ' ἱστορίας μόνον χάριν, καὶ τὸ μὴ λήθης βυθῷ, ὃν ὁ χρόνος οἶδε γεννᾶν, παραδοθῆναι τὰ ὑπό τινων γεγενημένα, εἴτ' ἀγαθά, εἴτε φαῦλα τυγχάνοιεν. Ἀρχὴ δὲ ἡμῖν γενέσθω ἡ τῆς Κωνσταντινουπόλεως ἅλωσις, ἥτις τοι περιφανὴς καὶ γνώριμος οὖσα σύμπασιν, ὡς μηδὲ ἓν εἶναι τῶν ἐθνῶν ὃ μὴ ταύτην ἐγνώρισεν.

β'. Ἀλεξίου τοῦ Κομνηνοῦ ἀδελφοῦ τελοῦντος τοῦ προβεβασιλευκότος Ἰσαακίου, Ἀγγέλων καὶ ἀμφοῖν ὀνομαζομένων, C τότε τῶν Ῥωμαίων τότε διιθύνοντος σκῆπτρα, οἱ ἐξ Ἰταλίας κατὰ τῆς Κωνσταντινουπόλεως ἐξεστράτευσαν. ἡ δὲ αἰτία τοιάδε. κατέβαλε μὲν τῆς ἀρχῆς τὸν ἀδελφὸν Ἰσαάκιον ὁ προειρημένος Ἀλέξιος, καὶ οἱ τὰς ὄψεις ἐπήρωσε. καὶ ἦν τὸ ἀπὸ τοῦδε τῆς τῶν Ῥωμαίων κρατήσας ἀρχῆς. ὑπῆρχε δὲ τῷ Ἰσαακίῳ υἱὸς ἐκ τῆς προτέρας αὐτοῦ γυναικὸς γεννηθείς, τὸ μειρακιῶδες ἀμείβων, ὃς δυσανασχετήσας τῇ τοῦ πατρὸς παροινίᾳ, τὴν φυγήν τε μηχανησάμενος, περὶ τὴν Ῥώμην χωρεῖ, καὶ τῷ ταύτης Ἀρχιερεῖ ἑαυτὸν προσρίπτει, λιπαρῶς τε τούτῳ προσκείμενος, τὴν πατρικὴν ἐκδίκησιν ἐπεζήτει. Ἐπεὶ δὲ τῷ τότε τύχοι πλήθη πολλὰ εἰς ἓν συναχθῆναι τῶν Ἰταλῶν, οἱ μὲν ἐξ αὐτῆς Ἰταλίας, οἱ δὲ ἐκ τῆς τῶν Φράγγων ἀρχῆς, ἐκ δ' Ἐνετῶν, καὶ ἐξ ἄλλων ἄλ- D λοι καὶ ἡ πρόφασις εἰς ἐλευθερίαν τὴν Ἱερουσαλὴμ ἀπελθεῖν, ὅπου ὁ κυριακὸς τυγχάνει τάφος. οὓς δὲ ὁ τότε συναθροίσας ὁ ἀρχιερατικῶς τῆς πρεσβυτέρας προϊστάμενος Ῥώμης, ὅν, ὡς προειρήκειν, ὑπὲρ τῆς πατρικῆς ἀρχῆς ὁ τοῦ Ἰσαακίου ἐξελιπάρει υἱός. τῇ παρακλήσει τοῦ παιδὸς δυσωπηθεὶς ὁ Πάπας, μάλιστα δὲ ταῖς ὑποσχέσεσιν, αἳ ἐτύγχανον γὰρ ἁδραί, παραδίδωσι τὸν παῖδα τοῖς ἡγεμόσι τῶν στρατευμάτων, ὡς ἂν αὐτόν, τῆς προκειμένης ἐκκλίναντες, τῷ πατρικῷ ἐγκαταστήσωσι θρόνῳ, ἀναλώματά τε παρ' αὐτοῦ λάβοιεν, ὁπόσα ἂν καθ' ὁδὸν ἀναλώσαιεν, καὶ ὁπόσα περὶ τὴν Κωνσταντίνου βραδύναντες. ἀνήχθησαν οὖν οὗτοι τριήρεσί τε καὶ ναυσὶ κοίλαις εὐτυχῶς ἐν πνεύμασι φοροῖς πεποιημένοι τὴν ἄνοδον. ἐπεὶ δὲ E τῆς Κωνσταντίνου προσώκειλαν, γνωρίζουσι τοῖς ἔνδον τὸν παῖδα, τὴν ἀδικίαν, τὰ διὰ ταῦτα τῆς Ῥώμης ἐντάλματα. μέχρι μὲν οὖν τινος λόγοι τε ἐξ ἀμφοτέρων ἐγεγόνεισαν τῶν μερῶν, καὶ μάχαι κατὰ χέρσον ἐχωρεῖ, ξυμβάσεις τε ἐκ πρεσβειῶν οὐδ' ὅλως συνέβαινον. ἐπεὶ δὲ ὁ Βασιλεὺς Ἀλέξιος τοῖς τοιούτοις ἀπώκνησε πράγμασι, μάλιστα δέ γε ἀπειρακὼς τοῖς ἐντός, εἰς σύγχυσιν ἀποβλέπουσι, καὶ νοσοῦσι τὸ στα-

τὸν, τὰ πάντα χαίρειν ἐάσας, φυγῇ ἐχρήσατο, ἑκὼν ἀέκοντί γε θυμῷ, τοῦτο δὴ προσειπὼν, ὡς οἱ ἀκηκοότες ἔφασκον, τὸ, Δαβὶδ φυγὼν ἐσώθη, προσεπαγόμενός τε καὶ τὴν γυναῖκα, καὶ χρήματα τοῦ βασιλικοῦ ταμιείου ἱκανά.

γ΄. Ἐπεὶ γοῦν οὗτος ἔξεισι τῆς Κωνσταντίνου, πρεσβεύουσι πρὸς τοὺς Ἰταλοὺς οἱ οἰκήτορες, ὡς ἂν ὁ τοῦ Ἰσαακίου Ἀλέξιος, δι' ὃν, ὡς ἐδόκει, τὸ μάχιμον ἦν, ἐντὸς εἰσαχθείη, καὶ βασιλεὺς ἀναγορευθείη. εἰσάγεται γοῦν εἰς τὴν πόλιν ὁ παῖς, ἐπὶ ταῖς προτέραις συνθήκαις, αἷς ὑπέσχετο τοῖς ἀναβιβάσασιν αὐτὸν Ἰταλοῖς, καὶ βασιλεὺς παρὰ παντὸς ἀναγορεύεται τοῦ λαοῦ. ὥσπερ οὖν τὸ ἀπὸ τοῦδε οἵ τε πολῖται, οἵ τε Ἰταλοὶ τῷ δοκεῖν εἰρήνευοντες, τῶν μὲν Ἰταλῶν ἀπαιτούντων τὰς ὑποσχέσεις, καὶ τὰ ἀναλώματα, τῶν δὲ οἰκητόρων τῆς πόλεως ὑπὲρ ἀριθμὸν ἡγουμένων τὸ χρῆμα, καὶ δεῖν ἰσχυριζομένων, ὡς οὐκ ἂν ἔχοιεν τοσαῦτα τοῖς Ἰταλοῖς ἐπιδοῦναι. Συνέβη δὲ τῷ τότε καὶ γογγυσμὸν ἐν τῇ πόλει τινὰ χάριν γενέσθαι. ὁ γὰρ πατὴρ Ἀλεξίου ὁ Ἄγγελος Ἰσαάκιος (ἔτι γὰρ περιῆν τῷ βίῳ) καίπερ ἀπῆρε μετὰ μικρὸν, μήπω ἀλούσης τῆς Κωνσταντίνου, γνώμην δέδωκεν, ὡς τῶν ἱερῶν κειμηλίων συνάθροισιν γεγονέναι τὰ πρῶτα, ἐκεῖθέν τε ἄρξασθαι τῶν πρὸς τοὺς Ἰταλοὺς χρεῶν, τὸ δὲ ἐλλεῖπον ἐκ τῶν βασιλικῶν ταμιείων δοθῆναι, καὶ τῶν οἰκητόρων τῆς πόλεως. ἐν τῷ μεταξὺ δὲ τῆς ἀμφισβητήσεως οὔσης, καὶ ἐξ ἑκατέρων τῶν μερῶν ἀφικνουμένων τῶν πρέσβεων φονεύεται ὁ παῖς τοῦ Ἰσαακίου Ἀλέξιος, παρ' Ἀλεξίου τοῦ Δούκα, ὃν Πρωτοβεστιάριον οὗτος τετίμηκεν, οἱ δὲ τῆς πόλεως ὡς εἴς τι τῶν αὐτοῦ ἐπιμεμφόμενοι Μούρτζουφλον ἐκάλουν. Ἀνηγορεύθη γοῦν παρὰ τῶν πολιτῶν ὁ ῥηθεὶς Ἀλέξιος Μούρτζουφλος βασιλεύς. τοῦ τοιούτου γοῦν χάριν ἐπὶ πλέον μανέντες οἱ Ἰταλοὶ, ἄσπονδον τὴν ἔχθραν κατὰ τῶν Κωνσταντινουπολιτῶν ἐποιήσαντο. Συνέβη δὲ καὶ ἕτερόν τι γενέσθαι τοῖς πολίταις βούλευμα ἐπαίνου ἄξιον. τοὺς γὰρ Λατίνους, οὓς οἰκήτορας εἶχεν ἡ Κωνσταντίνου οἱ προύχοντες, καὶ τῶν ἐν τέλει συνεβουλεύσαντο, ἀποπέμψαι τῆς πόλεως, ὡς μὴ ἐπιβούλους αὐτοὺς ἐντὸς ἔχοιεν. οἱ δὲ αὐτόμολοι πρὸς τοὺς πολεμίους χωροῦσι χιλιοστύες πολλαὶ, ὅρκοις ἀρρήκτοις τὸ πρῶτον τοὺς πολίτας πληροφοροῦντες, μὴ ἄν ποτε μελετῆσαι κατ' αὐτῶν προδοσίαν, συναποθανεῖν δὲ, εἰ συμβαίη αὐτοῖς, ὡς ἰθαγενεῖς καὶ αὐτόχθονας, καίτοι καὶ γυναῖκας τε, καὶ παιδία διδόντες ἐν ἀσφαλεστέροις ταῦτα τόποις ἐπαγαγεῖν, οὐκ ἔπεισαν. ἐξελθόντες δὲ πολλὰ τοῖς ἐναντίοις συνήραντο, ἅτε πλῆθος πολὺ ὄντες καὶ εἰδήμονες τῶν πραγμάτων.

δ΄. Τεσσαράκοντα γοῦν παρῆλθον ἡμέραι, καὶ ἑάλω παρὰ τούτων ἡ Κωνσταντίνου, ἔτους μὲν ὄντος ἀπὸ γενέσεως κόσμου ͵ςψιά. ιβ΄. τοῦ Ἀπριλλίου ἄγοντος. τῷ γὰρ ι΄. ἔτει Μαΐου ὄντος τῇ πόλει προσώρμησαν, ἐν ἑνδεκάτῳ δὲ μηνὶ συνέβη γενέσθαι τὴν πόρθησιν. καὶ ἡ μεγίστη, καὶ περιφανεστάτη πόλις ἑάλω, ἑνὸς, ὥς φασιν, ἢ καὶ δύο ἐπιπηδησάντων τῷ τείχει ἀπὸ κλίμακος εἰς ἱστὸν κειμένης μεγίστης ὁλκάδος νηός. Ὅσα μὲν οὖν συνέβη τῇ πόλει, μακροτέρων ἂν εἴη ταῦτα λόγων, καὶ οὐ πρὸς τὴν παροῦσαν ὑπόθεσιν. πάντως δὲ νοεῖν ἔξεστι πᾶσιν, ὁπόσα ταῖς αἰχμαλωτιζομέναις πόλεσιν ἐπιπίπτουσι πάθη, φόνοι τε ἀνδρῶν, γυναικῶν ἀνδραποδισμοὶ, σκυλεύσεις, οἰκιῶν κατασκάψεις, τἄλλα τε πάντα ὁπόσα μαχαίρας ἔργον καθέστηκεν. Ἐπεὶ γοῦν ἐγκρατεῖς γεγόνασι τῆς πόλεως οἱ Ἰταλοὶ, ὡς ἐξ ὑπερδεξίων ὁρμώμενοι, τήν τε δυσμὴν πᾶσαν ἐπέδραμον, ἀλλὰ δὴ καὶ τῆς ἑῴας μέρος οὐκ ἔλαττον.

A ctisque omnibus, fugam arripuit, sponte quidem, sed illubenti animo, cum illud enunciasset, ut auriti testes referunt, David fuga salutem sibi peperit, una secum & uxore, & ingenti pecuniarum vi ex Imperatorio ærario avecta.

III. Eo itaque Constantinopoli egresso, legationem cives ad Italos mittunt, ut Isaacii filius Alexius, cujus caussa, ut videbatur, ad arma protectum erat, invectus Imperator acclamaretur. Quare adolescens, quibus se devinxerat, deducentibus Italis, conditionibus introducitur, & uno omnium ore Imperator salutatur. Erant interim cives cum Italis imagine tantum pacis, & amicitiæ specie concordes, cum Itali promis- B sa, impensasque acrius reposcerent, cives earum summam subductam ratione immanem esse existimarent, minimeque se eam persolvere posse contenderent. Interea novæ turbæ Byzantii concitæ sunt. Pater enim Alexii Angelus Isaacius, licet ea urbe declinasset, adhuc in vivis, paululum ante quam Byzantium caperetur, sententiam tulerat, ut ex denariis sacris in unum collectis, divenditisque Italis debitum primum reponeretur: si quod deesset ex ærario, civiumque facultatibus persolveretur: dum inter se dissident, & hinc illinceque legati mittuntur, filius Isaacii Alexius, ab Alexio Duca, ab hoc eodem Isaacii filio *Edit. Paris. pag. 4.* Protovestiarii dignitate insignito, & a C civibus, nescio quid illi vitio vertentibus, Murtzuphlo dicto, obtruncatur. Murtzuphlus postea Imperator non dissentiente populo eligitur. Hinc magis ac magis Itali in furorem acti, graves ac sempiternas inimicitias in Byzantinos susceperunt. Per idem tempus laudabili consilio a civibus deliberatum est; nam qui præerant, & dignitatibus præfulgebant, decrevere, ut Latini, qui Constantinopoli, veluti accolæ sedem posuerant, urbe pellerentur, ne Byzantini internis insidiis appeterentur: illorum multa millia in hostes transfugiunt, licet prius fidem suam solemni jurejurando obligarent: numquam se in cives proditionem meditaturos, commorituros D potius, si opus fuerit, veluti domesticos & indigenas: imo cum uxores ac filios traderent, ut securioribus locis custodirentur, non suasere. Hi urbe egressi, multi nimium, rerumque periti, re, & opera, & consilio quam plurimum hostes juvarunt.

IV. Post quadraginta itaque dies exactos Constantinopolis ab istis expugnatur anno ab orbe condito V. I. M. DCCXI. duodecimo mensis Aprilis. Decimo namque anno mense Majo ad urbem applicant, & mense undecimo diripiunt. Sicque maxima, ac urbium celeberrima capta est, uno aut altero, ut rumor increbuit, e scala malo navis maximæ adnexa, in muros insilientibus. Quæ vero mala urbs subiit, prolixiorem poscunt E orationem, longeque sunt ab hoc argumento. Ad ea porro quisque animum desixerit, quæ in excidio, ac direptione urbium accedunt, cædes hominum, mulierum captivitates, prædas, domorum fossiones, cætera omnia, quibus gladii scelere, ac facinore hostes desæviunt. Itali devicta urbe, veluti & loco superiori imperii facto, occidentis oram omnem & orientis partem non minimam

excurrere. Primum occidentis partes, fugientibus omnibus, tamquam ira cælitum invectum malum eos abegerat, in deditionem subigunt.

V. Imperator Alexius Angelus, quem antea Constantinopoli declinasse commemoraveram, Philippopolim veniens, nec ab accolis exceptus, Mosynupolim confugit, ubi moras trahebat. At Ducas Alexius, qui filium Isaacii peremerat, illius affinitatem ambiens, statim atque Alexium jugulavit, Imperatoris Alexii filiam Eudociam, filiarum illius postremam, sibi in matrimonio junxit. Tres etenim filias susceperat, quarum prima Irene Palæologo, qui Despotæ dignitate honestatus ante direptionem urbis vitam finierat, collocatur: secunda Anna Theodoro Lascari desponsa: Eudociam tertiam impuberem adbuc nec maturam viro Crali Serviæ nuptam dederat, quam ille, ut ajebat, nescio, in quo deprehensam patri remisit, cum quo ætatem degebat, eam Ducas Alexius, exclusa propria, uxorem duxit. Sed potitis Italis Byzantio inde secum inter alia uxorem deferens excessit, certiorque factus Mosynupoli Imperatorem Alexium socerum immorari, alacri ad eum animo festinat, qui multis aliis titulis, sed filiæ potissimum causa ab eodem abhorrebat: affinis nihilominus personam induens Alexium excipit, præparatoque lavacro, ut una cum filia lavaret, jussit, balneumque ingressum Alexium Imperatoris Alexii administri, impetu facto invadunt, & luminibus spoliant; traditum est ab oculatis testibus filiam ad balnei fores stantem patrem injuriis lacessere, contra eam a patre pro impudico, atque flagitioso amore proscindi. Obcæcatus itaque Ducas Alexius apud Mosynupolim, & loca vicina palans vagusque oberrabat: & Imperator Alexius inde deflectens, Thessalonicam contendit. Itali vero Constantinopoli excedentes, circaque Mosynupolim immorantes, compertum Alexium Murtzuphlum Constantinopolim avexere, scelusque quod in Imperatoris Isaacii filium ediderat, ulciscentes auctores fuere, ut præceps adigeretur. Namque in columnam maximam, cui Tauro nomen est, sublatum egere præcipitem. Et hic finis vitæ illius fuit. Sed Imperator Alexius Thessalonicam venit.

Edit. Paris. pag. 5.

VI. Itali urbe potiti, civibus potestatem fecere, ut qui vellent, manerent, ac subditi essent: qui nollent, libere, quo vellent, proficiscerentur: jamque qui ante alios eminebant, hi clam, alii palam sese surripiebant. Theodorus Lascaris, quem Imperatoris Alexii generum fuisse, ab eodemque Despotam declaratum supra oratio nostra narraverat, una cum uxore Anna, & filiis (tres namque filiæ illi erant, Prima Irene, altera Maria, tertia Eudocia) ante direptionem abscedens, & circa Nicæam profectus, Nicænos exorabat, ut semet intus reciperent, sibique veluti Domino obtemperarent: cum non proficeret, acrius incumbens, & vel uxorem solum admitterent, impense deprecans, vix tandem obtinuit: quare

A πρῶτα μὲν οὖν χειροῦνται τὰ τῆς δύσεως, πάντων ὑποφευγόντων αὐτούς, ὡς ὑπό τινος θεηλάτου ἐλαυνομένων πληγῆς.

έ. Ὁ μὲν οὖν βασιλεὺς Ἀλέξιος ὁ Ἄγγελος, ὃν ὑποδρᾶσαι ὁ λόγος εἴρηκε τὴν Κωνσταντίνου, περὶ τὴν Φιλιππούπολιν ἀφικόμενος, καὶ μὴ πρὸς τῶν οἰκητόρων δεχθείς, περὶ τὴν Μοσυνόπολιν ἀφικνεῖται, κἀκεῖσε τὰς διατριβὰς ἐποιεῖτο. Ἀλέξιος δὲ ὁ Δούκας, ὃς τὸν υἱὸν Ἰσαακίου ἀπέκτεινε, βουλόμενος ἵνα αὖθις αὐτῷ προσαρμόσασθαι, ἅμα τε τὸν τοῦ Ἰσαακίου υἱὸν πεφόνευκε, καὶ ἅμα τὴν τοῦ βασιλέως Ἀλεξίου θυγατέρα Εὐδοκίαν προσηγάγετο εἰς γυναῖκα, ὑστάτην οὖσαν τῶν θυγατέρων ἐκείνου. τρεῖς γὰρ ὑπῆρχον αὐτῷ, καὶ ἡ μὲν πρώτη Εἰρήνη κατωνομάζετο, ἣν B καὶ ἀνδρὶ συνέζευξεν Ἀλεξίῳ τῷ Παλαιολόγῳ, ὃς καὶ δεσπότην τετίμηκεν. ἀλλὰ προῴχετο οὗτος τῆς Κωνσταντίνου ἁλώσεως. ἡ δὲ δευτέρα ἐκαλεῖτο Ἄννα, εἰς ἣν Θεόδωρον τὸν Λάσκαριν ἐπεγαμβρεύσατο. ἡ δὲ τρίτη Εὐδοκία κατωνομάζετο, ἣν πρὸ καιροῦ ὁ πατὴρ αὐτῆς τῷ Κράλῃ Σερβίας συνέζευξεν. ἐπί τινι δὲ πάθει, ὡς ἔφασκον, ταύτην οὗτος φωράσας, ἐπὶ τὸν πατέρα πάλιν ἐκπέμπει, καὶ ἦν μετ' αὐτοῦ. Ταύτην εἰλήφει ὁ εἰρημένος Δούκας Ἀλέξιος, τὴν οἰκείαν καταλιπὼν γαμετήν. Ὡς γοῦν παρὰ τῶν Ἰταλῶν ἑάλω ἡ Κωνσταντίνου, ἀπέδρα καὶ οὗτος ἐκεῖθεν ἐπιφερόμενος καὶ τὴν σύζυγον Εὐδοκίαν. μαθὼν δὲ ὡς ἐν Μοσυνοπόλει τὰς διατριβὰς ποιεῖται ὁ πενθερὸς αὐτοῦ βασιλεὺς Ἀλέξιος θαρρούντως πρὸς αὐτὸν ἄπεισιν. ὁ δὲ τοῦτον πολλῶν C τε ἄλλων χάριν, καὶ οὐδὲν ἧττον τῆς θυγατρὸς ἐμυσάττετο. κηδεστείας οὖν ὑπεισδὺς προσωπεῖον, ὑποδέχεται τὸν Ἀλέξιον, λουτρόν τε ἑτοιμάσας, ἅμα τῇ θυγατρὶ λουθῆναι τοῦτον προσέταξεν. ἐντὸς οὖν τοῦ λουτῆρος γενομένου τοῦ Ἀλεξίου ἐπεισπίπτουσιν ἀθρόως αὐτῷ οἱ τοῦ βασιλέως Ἀλεξίου ὑπηρέται, κἀκεῖσε τοὺς ὀφθαλμοὺς ἐξορύττουσιν. ἔφασκον δὲ οἱ ξυντυχόντες, ὡς ἡ θυγάτηρ ἑστῶσα περὶ τὴν θύραν τοῦ λουτροῦ, τὸν πατέρα ὕβρεσιν ἔπλυνε, κἀκεῖνος ταύτην τῆς ἀναιδείας καὶ τῆς ἀσελγοῦς ἀγαπήσεως ἐλοιδόρει. Τυφλὸς οὖν γεγονὼς ὁ δηλωθεὶς Δούκας Ἀλέξιος περὶ τὰ τῆς Μοσυνουπόλεως ἐπλανᾶτο μέρη, ἀλήτης διερχόμενος τὰ ἐκεῖσε. Ὁ δὲ βασιλεὺς Ἀλέξιος ἀπάρας ἐκεῖθεν, περὶ τὰ μέρη τῆς Θεσσαλονίκης ἐχώρει. Ἐπεὶ δὲ ἐξώρμησαν τῆς Κωνσταντί- D νου οἱ Ἰταλοί, καὶ ἀπῆλθον περὶ τὴν Μοσυνόπολιν εὑρόντες ἐκεῖσε Μούρτζουφλον Ἀλέξιον εἰς τὴν Κωνσταντίνου ἀπήγαγον, τοῦ δὲ δηλωθέντος αὐτοῦ μιάσματος ἀμυνόμενοι, ὅπερ εἰς τὸν υἱὸν Ἰσαακίου τοῦ βασιλέως εἰργάσατο, ἁρμονιώδει θανάτῳ τοῦτον καταδικάζουσιν. εἰς γὰρ τὸν μέγιστον ἀνάξαντες κίονα, ὃ Ταῦρος ἡ κλῆσις, κάτω βάλλουσι. καὶ τοιοῦτον μὲν τὸ τέλος αὐτοῦ. ὁ δὲ βασιλεὺς Ἀλέξιος εἰς τὴν Θεσσαλονίκην ἀφίκετο.

ς'. Τῆς οὖν πόλεως κυριεύσαντες οἱ Ἰταλοὶ ἄδειαν δεδώκασι τοῖς ταύτης οἰκήτορσι τοὺς θέλοντας, μένειν τε καὶ ὑπὸ χεῖρας εἶναι αὐτῶν, τοὺς δὲ ἀπολύτως ἀπέρχεσθαι, ὅπη ἂν E βούλοιντο. Ἐξήρχοντο τοίνυν οἱ μὲν φανερῶς, οἱ δὲ καὶ κρύφα, ὅσοι τῶν περιφανεστέρων ἐτύγχανον. Ὁ μὲν οὖν Λάσκαρις Θεόδωρος προεξελθὼν ἔφθακεν ἅμα τῇ γαμετῇ Ἄννῃ, ὃν γαμβρὸν ὁ λόγος φθάσας ἐδήλωσε τοῦ βασιλέως Ἀλεξίου τελεῖν, καὶ δεσπότην ὑπ' ἐκείνου τετιμημένον. Ἀπελθὼν οὖν οὗτος μετὰ τῆς σφετέρας γυναικὸς καὶ τῶν τέκνων, (ὑπῆρχον γὰρ αὐτῷ θυγατέρες τρεῖς, ὧν ἡ μὲν πρώτη Εἰρήνη, ἡ δὲ δευτέρα Μαρία, ἡ δὲ τρίτη Εὐδοκία κατωνομάζοντο) καὶ περὶ τὴν Νίκαιαν πόλιν γενόμενος, παρεκάλει τοὺς Νικαεῖς, ἔσω τοῦτον τῆς πόλεως δέξασθαι, καὶ ὡς κυρίῳ προσανέχειν αὐτῷ. οἱ δὲ οὐκ ἐδέχοντο. λιπαρῶς γοῦν ὁ Λάσκαρις τούτοις προσκείμενος, κἂν γοῦν τὴν γυναῖκα μόνην δέξασθαι ἐκδυσωπῶν, μόλις ἐς τοῦτο πειθοῦς

ἐγνώρισεν. ἀφεὶς οὖν τὴν γυναῖκα ἐπὶ τῆς Νικαίας, διέτρεχε τὰ πέριξ Προύσης τε καὶ τὰ περὶ αὐτήν, ὅπως τε ὑπὸ χεῖρα ταῦτα ποιήσαιτο, καὶ ὡς βασιλεὺς ἀντὶ τοῦ πενθεροῦ Ἀλεξίου τούτων κατάρξειεν, ὃ δὴ καὶ τετύχηκε. καὶ γὰρ τὸ ἐν τῷ μεταξὺ καὶ περὶ τὸν Περσάρχην ἀφίκετο, συνήθη τούτῳ τελοῦντα, καὶ συμμαχίαν προσείληφε, καὶ τὰ πρὸς σκοπὸν διεπράξατο. Δύο γοῦν παραδραμόντων ἐνιαυτῶν, καὶ ὡς Δεσπότου παρὰ πάντων φημιζομένου τοῦ Λασκάρεως, ἐποίει συνδρομὴν γενέσθαι κατὰ Νίκαιαν ἀπὸ περιφανῶν ἀνδρῶν καὶ τῶν λογάδων τῆς Ἐκκλησίας, σκέψις τούτων ἐγένετο, ὅπως βασιλεὺς φημισθείη ὁ δεσπότης Θεόδωρος. πατριάρχου δὲ μὴ παρόντος ἐκεῖσε, ὁ γὰρ Καματηρὸς Ἰωάννης, ὃς τὸν πατριαρχικὸν ἐκόσμει θρόνον, ἡνίκα τῆς Κωνσταντίνου ἐκράτησαν Ἰταλοί, περὶ τὸ Διδυμότειχον ἀπῆρε, κἀκεῖσε τὰς διατριβὰς ἐπεποίητο, καὶ διαμηνυθεὶς παρά τε τοῦ Λασκάρεως καὶ τῶν λοιπῶν, ἀπηνήνατο τὴν πρὸς αὐτοὺς ἄφιξιν, ἔγγραφον τὴν παραίτησιν ποιησάμενος. Ψηφίζεται γοῦν πατριάρχης Μιχαὴλ ὁ Αὐτωρειανός, λόγιος τυγχάνων, καὶ πάσης γραφῆς ἔμπειρος τῆς τε ἡμετέρας καὶ θύραθεν, ὃς καὶ τὸν δεσπότην Θεόδωρον τῷ βασιλικῷ διαδήματι ἐταινίωσε.

ζʹ. Ἐντεῦθεν βασιλεὺς ὁ Λάσκαρις ἀναγορευθείς, συντονώτερον ἥψατο τῶν πραγμάτων, μάχαις δὲ προσεπάλαισεν οὐκ ὀλίγαις καὶ χαλεπαῖς. οἵ τε γὰρ Ἰταλοὶ κατὰ τὴν ἑῴαν τὸν πόρον πεποιηκότες, τὰ πλείω ταύτης ὑφ᾽ ἑαυτοὺς ἐποιήσαντο. Τότε γὰρ ἅπαν θέμα Ὀψικίου, καὶ Αἰγαίου, καὶ αὐτὸ δὴ τὸ Ἀτραμύτιον τῶν Ἰταλῶν ἐγεγόνει, Βάρις τε, καὶ Αὐλωνία, Ποιμανηνόν τε, καὶ Λεντιανὰ μέχρι τοῦ Λοπαδίου αὐτοῦ δεσπότας ἐγίνωσκον Ἰταλούς. ἀλλά γε δὴ καὶ τῆς Βιθυνίας πάντα μέχρι καὶ Νικομηδείας αὐτῆς. ἐντεῦθεν ἐστενοῦτο πολὺ ὁ βασιλεὺς Θεόδωρος. οὐδὲν δὲ ἧττον καὶ πρὸς τῶν Ῥωμαίων κατεβιάζετο. Ἐν γὰρ τῇ συγχύσει τῆς Κωνσταντίνου ἁλώσεως ἄλλοθεν ἄλλος ἡγεμόνες εἶναι τυχόντες, ἢ καὶ οἱ τῶν ἄλλων προύχοντες ὡς οἰκείαν ἀρχὴν νέμειν ὑφ᾽ ἑαυτοὺς ἐποιοῦντο χώραν, ἢ ἐξ αὐτῶν εἰς τοῦτο ὁρμήσαντες, ἢ καὶ παρὰ τῶν οἰκητόρων μετακληθέντες εἰς τὴν τῆς χώρας διαφύλαξιν. αὐτίκα Θεόδωρός τε, ὃν καὶ Μαυροθεόδωρον ἀπεκάλουν, ἄρχων ἦν τῆς Φιλαδέλφου πόλεως. ἕτερος δὲ Σάββας τοὐπίκλην τοῦ ἄστεως ἐδέσποζε τοῦ Σαμψών, μετὰ καὶ τῶν πλησίον τυγχανόντων αὐτῷ. Παφλαγονίας δὲ πάσης ἐγκρατὴς ἦν Δαβίδ, ἀδελφὸς ὢν Ἀλεξίου τοῦ τῆς Τραπεζοῦντος κρατήσαντος, ὃς καὶ μέγας ὠνομάζετο Κομνηνός, οἳ τοῦ βασιλέως Ἀνδρονίκου ὑπῆρχον ἔγγονοι μετὰ τὸν τούτου τεχθέντες υἱόν. Διὰ ταῦτα ἐν πολλῇ στενοχωρίᾳ τὰ πράγματα ὑπῆρξε τῷ βασιλεῖ Θεοδώρῳ. ἀλλὰ τὸν μὲν Μαυροθεόδωρον, καὶ τὸν Σάββαν δι᾽ ὀλίγου μετῆλθεν. κἀντεῦθεν ἐδέσποζεν ἀδεῶς Κελβιανοῦ τε παντὸς, Μαιάνδρου, Φιλαδελφείας, καὶ Νεοκάστρων.

ηʹ. Ἀλλ᾽ ἐνταῦθα μοι ὁ λόγος ἀναμεινάτω. Ἱστορῆσαι γὰρ βούλεται νῦν τῷ βασιλεῖ Ἀλεξίῳ συμβάντα. ἤδη δὲ καὶ τ᾽ ἄλλα νῦν ἐπὶ τῆς ἑσπέρας γενέσθαι φθάσαντα. ἀφίκετο μέν, ὡς εἰρήκειν, εἰς Θεσσαλονίκην, ὁ εἰρημένος βασιλεὺς Ἀλέξιος, καὶ ὑπεδέχθη παρὰ τῆς αὐτοῦ νύμφης, ὃ ἐξ Οὐγγρων μὲν ὥρμητο, ἐπεγαμβρεύθη δὲ τῷ βασιλεῖ Ἰσαακίῳ μετὰ τὴν τῆς γυναικὸς αὐτοῦ τελευτήν, ἣν καὶ ὡραίαν πάνυ τῷ εἴδει οἱ κατιδόντες ἔφασκον εἶναι. Τῶν γοῦν Ἰτα-

A Nicææ uxore relicta circa Prusam loca omnia excurrebat, eo animo, ut illa sibi subjiceret, & pro socero Alexio ipse veluti Imperator res ageret, ac ministraret: nec spes eum fefellit. Nam interim ad Persarum principem sibi amicitia devinctum profectus, atque auxiliaribus copiis auctus, quæ jamdia animo conceperat, perfecit. Duobus itaque annis integris cum omnibus ut Despota Lascaris agnosceretur, conventuique ex viris celeberrimis, ac Ecclesiæ Primatibus Nicæam concurrentibus haberetur, illud inter eos agitatum est, qua ratione Theodorus ad illa usque tempora Despota Imperator acclamaretur. Patriarcha non B aderat, Joannes quippe Camaterus, qui Patriarchale solium, Italis Byzantium expugnantibus, honestabat, Didymotichum abierat, ibique commorabatur: accersitus a Lascari, aliisque scripto etiam Patriarchatui renuncians noluit accedere. Ideo in ejus locum Michael Auctorianus sufficitur, vir disertus, litteratumque non nostrarum solum, sed exterarum etiam peritissimus. Is Despotam Theodorum Imperatorio diademate coronavit. *Edit. Paris. pag. 6.*

VII. Hinc Imperator Lascaris renunciatus impensius ad res gerendas accingitur, bellisque se plurimis, iisque ingentibus exercuit. Itali namque in orientem prætergressi potissimam illius partem debellaverunt. Thema siC quidem Opsicii, & Ægæi, necnon Atramyttium ipsum Italis cesserat. Baris item & Aulonia, Pœmanenum, Lentiana ad Lopadium, & Bithyniæ omnia ad Nicomediam Italorum Imperium subierunt. Quare Imperator Theodorus in summas angustias adductus est: nec minus a Græcis ipsis urgebatur. Enimvero in perturbatione, ac confusione Constantinopolitanæ direptionis hinc inde alius atque alius cum exercitus ducerent, sive etiam qui aliis præstarent, partem, quam ipsi moderabantur, sive id ex semetipsis tentantes, sive ab accolis in locorum propugnationem accersiti, veluti dominatum propriam occupabant. Sic Theodorus coD gnomento Morotheodorus Philadelphiam dominatui suo subjecit. Alius item cognomento Sabbas Sampsonis urbem cum his quæ adjacebant, tenuit. Paphlagoniam universam David Alexii Trapezuntis domini frater, qui & magnus Comnenus vocabatur, Imperatoris Andronici nepos uterque ab illius filio prognatus obtinuit. Propterea in maximis turbinibus, ac fluctibus res Imperatoris Theodori nutabant, qui primum quidem Morotheodorum & Sabbam facile oppressit: ideoque tuto & sine metu totius Celbiani, Mæandri, Philadelphiæ, & Neocastrorum dominationem tenebat.

VIII. Sed hic paululum coercenda oratio est, namque mihi in aniE mo est, quæ Imperatori Alexio contigere, nec non gesta in occidente reliqua recensere. Appulerat Imperator Alexius, uti supra memoravi, Thessalonicam, exceptusque est a nuru, genere quidem Ungara, sed Imperatori Isaacio post uxoris obitum desponsata, muliere specie nimium egregia ac decora, ut qui illam viderant fassi sunt. Ab Italis itaque Ro-

maoe ditione in plurimas partes, ac homines divise, Balduinus Flaodet Imperator eligitur, Dux Venetiarum, cum ipse præsens adesset, Despotæ dignitate insignitur, & noo perexiguam rerum eccipit partem, ut scilicet rerum omnium, quæ Franci obtinuissent, quartem ipse partem, quartæque mediam haberet. Cum vero & Marchio non parum in suppetiis afferendis adjovisset, a Flendro Rex Thessalonicæ fit, & sibi Mariam Ungaram prius, ut jam diximus, Imperatori Isaacio desponse am metrimonio jungit. Ab hac Alexius Imperetor excipitur, nec multo post novis tebus inhiare deprehensus urbe pellitur, una cum uxore Eudociaque filia, quam Corinthum veniens Sguro illius regionis Dynastæ in matrimonium copulat. Sgurus etenim post Byzantinum excidium, solus tebellione facta, Corintho, & locis edjacentibus imperavit, quemadmodum alii aliis. Paululum autem ibidem commoratus, cum a nonnullis insidias sibi parati eudisset, sese subterduxit, & parvæ Longobardorum manui impingens, dum ed consobrinum Michaelem contendit, cepitur. Micheel quippe parti veteris Epiri tunc tempotis dominabatur Italis circa ea loca excurrentibus molestus, operosusque. Hic, inquam, usquequaque Michael dominabatur, cum Joanninis, & Artæ usque ad Neupactum imperatet, ad Sultenum Iconii Jethatinem sibi familiaritate notum proficisci deliberat. Captus itaque a Longobardis Imperetot Alexius, namque Jethatines, e fretris tunc Musulmanarum rerum moderetoris manibus fugiens, profugus Constentinopolim appellit, exceptusque ab Imperatore Alcaio sacro initiatur levacro, filiusque adoptatut. Hic cum Imperetore Alexio Constentinopoli fugiente,

Edit. Paris. pag. 7.

una aufugit. Nec multo post vir quidam clam ed ipsum proficiscens stratris obitum nunciat: qui vili io veste, ac squallente cum nuncio iter ingreditur, & a suis cognitus Persarum ptincipatui præest: Theodoro Imperatori belli discriminibus sæpe effiicto, debilitatoque non modo euxiliaribus copiis, sed fœdere etiam pacto, Annam enim Imperatricem sorotem compellabat, epprime proficuus.

IX. Ad hunc ut accederet sua studia convertit omnie Aleaius Imperator: ad Imperatorem enim, & generum Theodorum moleste accedebat. Commeatus itaque subvehens e ditione Michaelis solvit, & ventis opetam dantibus Attelum descendit, & quam copidissime e Sulteno excipitur. Interim Nicææ Theodoro Imperatori degenti a Sultano legatio mittitur, quæ & Imperetoris & soceri ounciaret adveotum, & quam injustus esset elieni principatus occupator. Conturbatus animo Imperator, nimis male timuit totus. Sultanus enim specie propugnandi Alexii, re autem ipse Romenos agros omnes excurrere populabundus, & ditioni Persicæ addete, animum induxerat. Erantque res Theodori in engusto oppido coactæ, & ut ajunt in acie novaculæ. Quare convocatis suis omnibus explorabat, in suamne, an in soceri Imperatoris Alexii

A λῶν εἰς πολυμερείας τὰ τῆς Ῥωμαΐδος κληρωσαμένων, καὶ τοῦ μὲν ἐκ Φλάντρας ὡρμημένου Βαλδουΐνου βασιλέως ἀναγορευθέντος, τοῦ δὲ Δουκὸς Βενετίας, ᾧ καὶ αὐτοπροσώπως συνῆν, μείζονα ἢ σμικρὸν εἰληχότος, καὶ δεσποτείας ἀξιώματι τιμηθέντος, ἔχειν τὰ ἐξ ὅλων, πρὸς τὸ ὅλον, ὃ τὸ τῶν Φράγκων ἐκτήσατο γένος, τὸ τέταρτον, καὶ τοῦ τετάρτου τὸ ἥμισυ. ἐπειδὴ καὶ ὁ Μαρκέσιος ἀξιόλογον μοῖραν τῇ συμμαχίᾳ ἦν εἰσενεγκάμενος, Ῥὴξ Θεσσαλονίκης παρὰ τοῦ Φλάντρα τετίμητο, προσλαβόμενος καὶ γυναῖκα τὴν δηλωθεῖσαν Μαρίαν τὴν ἐξ Οὐγγρίας πρότερον προσηρμοσμένην Ἰσαακίῳ τῷ βασιλεῖ. ὑπὸ ταύτης, ὡς ἔφην, ὁ βασιλεὺς ὑπεδέχθη Ἀλέξιος. Μετὰ μικρὸν δὲ φωραθεὶς τὰ ἐκεῖσε νεωτερίζεσθαι ἀποδιώχθη
B σὺν ἅμα τῇ γυναικὶ καὶ τῇ θυγατρὶ Εὐδοκίᾳ, ἣν καὶ ἐς Κόρινθον ἀφικόμενος, τῷ ἐκεῖσε τῆς χώρας κατάρχοντι συνεζεύξατο Σγουρῷ. ἦν γὰρ καὶ ὁ Σγουρὸς οὗτος μετὰ τὴν τῆς Κωνσταντίνου ἅλωσιν νεωτερίσας καθ' ἑαυτόν, καὶ Κορίνθου ἄρχων, καὶ τῶν περὶ ταύτην χωρῶν ὡς καὶ ἕτεροι ἑτέρων. μικρὸν δὲ καὶ τοῖς ἐκεῖσε προσδιατρίψας, γνοὺς παρά τινων, ὡς ἁλίσκεσθαι μέλλει ἀπέδρα, ἐκ Λογγιβαρδίας δέ τισι ξυντυχών, ἁλίσκεται. πρὸς τὸν ἐξάδελφον αὐτοῦ Μιχαὴλ τὰς κινήσεις ποιούμενος. ἦν γὰρ οὗτος τότε μέρους τινὸς τῆς παλαιᾶς Ἠπείρου κρατήσας, καὶ πολλὰ τοῖς πρὸς τὰ ἐκεῖσε μέρη ἀφιγμένοις Ἰταλοῖς παρέχων πράγματα. καὶ ἦν οὗτος δυναστεύων τῆς τοιαύτης χώρας. Ἰωαννίνων γὰρ ἦρχε, καὶ Ἄρτης, καὶ μέχρι
C Ναυπάκτου. Ὡς γοῦν ἑάλω παρὰ τῶν Λογγιβάρδων ὁ βασιλεὺς Ἀλέξιος, βούλεται πρὸς τὸν τοῦ Ἰκονίου Σουλτὰν ἀπελθεῖν, ὃν Ἰαθατίνην ὠνόμαζον. ἦν γὰρ τούτῳ συνήθης. Ὁ γὰρ εἰρημένος Ἰαθατίνης τὰς τοῦ ἀδελφοῦ αὐτοῦ χεῖρας ἀποδρὰς κατάρχοντος τηνικαῦτα τῶν Μουσουλμάνων, φυγὰς παρὰ τὴν Κωνσταντίνου ᾤχετο, καὶ τῷ βασιλεῖ ὑποδέδεκται Ἀλεξίῳ, βαπτίζεταί τε παρ' αὐτοῦ, καὶ υἱοθετεῖται. ὃς καὶ τῷ βασιλεῖ Ἀλεξίῳ συναπέδρα ἀποδράντι τῆς Κωνσταντίνου· ἀλλ' οὔπω συχναὶ παρῆλθον ἡμέραι, καὶ ἀφικνεῖται πρὸς αὐτὸν ἀνὴρ κρύφα μηνύων αὐτῷ τὸν τοῦ ἀδελφοῦ αὐτοῦ μόρον, ὃς καὶ ῥάκεσι πενιχροῖς ἐσταλμένος μετ' αὐτοῦ ἀφικνεῖται, καὶ τοῖς αὐτοῦ καταστὰς γνώριμος, Περσάρχης ἐπιφημίζεται· ὃς καὶ τῷ βασιλεῖ Θεοδώρῳ ἔν τισι καιροῖς στενοχωρηθέντι χρήσιμος ἀνεφάνη, συμμαχίαν δούς, καὶ τὰ εἰς εἰρήνην σπεισάμενος· ὡς ἀ-
D δελφὴν γὰρ τὴν βασιλίδα Ἄνναν ὠνόμαζε.

Θ'. Πρὸς τοῦτον ἡ πᾶσα σπουδὴ τοῦ βασιλέως Ἀλεξίου ἀφικέσθαι προσῆν. ἐδυσανασχέτει γὰρ ἐλθεῖν περὶ τὸν βασιλέα καὶ γαμβρὸν Θεόδωρον. Ἐφοδίοις γοῦν ἀπάρας τῆς τοῦ Μιχαὴλ γῆς, καὶ φορῷ χρησάμενος πνεύμασι, τῇ τῆς Ἀτταλείας προσώρμισεν. ἀσμενέστατα γοῦν παρὰ τοῦ Σουλτὰν προσδέδεκται. ὁ βασιλεὺς δὲ Θεόδωρος διῆγεν ἐν τῇ Νικαίᾳ, καὶ πρεσβεία πρὸς τοῦ Σουλτὰν παρ' αὐτὸν ἀφικνεῖται, τὴν τοῦ βασιλέως, καὶ πενθεροῦ γνωρίζουσα ἄφιξιν, καὶ ὡς ἄδικος εἴη ξενικῆς ἐπειλημμένος ἀρχῆς. Ἐταράχθη γοῦν ἐπὶ τοῖς λόγοις ὁ βασιλεύς, καὶ δέος αὐτῷ ἐπεισῆλθεν οὐχὶ σμικρόν. ὁ μὲν γὰρ Σουλτὰν πρόφασιν εἶχε τὸν βασιλέα Ἀλέξιον, τῇ δ' ἀληθείᾳ σκοπὸς ἦν αὐτῷ πᾶσαν τὴν Ῥωμαίων κατα-
E δραμεῖν, καὶ κατακληρώσασθαι, ἢ καὶ ὑπὸ χεῖρα ποιήσασθαι· καὶ ἦν ἐπὶ ξυροῦ, ὅ φασι, τῷ βασιλεῖ Θεοδώρῳ τὰ πράγματα. Συναγαγὼν οὖν τοὺς αὐτοῦ ἐπηρώτα τινάς, εἴτε αὐτῷ προσανέχοντες ἂν εἶεν, εἴτε τῷ πενθερῷ αὐτοῦ τῷ βασιλεῖ Ἀλεξίῳ. οἱ δὲ πανσυδὶ μιᾷ φωνῇ,

ὡς ἐκ γνώμης μιᾶς, ἢ συζῆν αὐτῷ, ἢ συναπολέσθαι εἰρήκεισαν. Θαρσαλέως γοῦν ὁ βασιλεὺς τοῖς τῶν ὑπὸ χεῖρα λόγοις γενόμενος, τῆς Νικαίας ἐξήει ἔχων καὶ τὸν τοῦ Σουλτὰν πρέσβιν μεθ' ἑαυτοῦ. ταχύτερον δὲ τῷ δρόμῳ χρησάμενος ἀφικνεῖται τῇ Φιλαδελφείᾳ. ὁ δὲ Σουλτὰν ἐπάρας μεθ' ἑαυτοῦ καὶ ὃν ὡς δέλεαρ ἐπεφέρετο βασιλέα Ἀλέξιον, τὴν ἔφοδον ἐν Ἀντιοχείᾳ πεποίηται. πόλις δὲ αὕτη χώρας προσανακειμένη Μαιάνδρου, κρατεῖν δὲ ταύτης ἦν ὁ σκοπός. Διὰ ταῦτα καὶ ἑλεπόλεις ἐστήσατο, καὶ ἐπόρθει τὴν πόλιν. καὶ ἦν γε αὕτη ἐν χρῷ τοῦ ἁλῶναι. ὃ δὴ καὶ δεδιὼς ὁ βασιλεὺς Θεόδωρος, ἦν γὰρ καὶ ἀληθὲς ὡς εἰ ταύτης ἐκράτησεν ὁ Σουλτάν, οὐδὲν ἂν ἦν αὐτῷ ἐμποδὼν τοῦ μὴ πᾶσαν τὴν τῶν Ῥωμαίων χειρώσασθαι· καὶ οἷον ἐπὶ κύβου τὸν πόλεμον θείς, ἢ μᾶλλον, ἀληθῶς εἰπεῖν, ἐπὶ τῷ δεσπότῃ θαρρήσας Χριστῷ, οὗ τὴν κλῆσιν ὡς σύσσημόν τι, ἢ σφραγῖδα οἱ εὐσεβεῖς περιφέρομεν, ἐπισπεύδει τὸν δρόμον παραγγείλας μηδένα, ἢ σκηνὴν φέρειν, ἢ ἄχθος, ἢ ἕτερόν τι τῶν οὐ λυσιτελούντων ἐν τῷ πολέμῳ, ἄνευ μέντοι τῶν ἀναγκαίων τροφῆς μικρᾶς καὶ ἐνδύματος. ἦν δ' ἅπαν αὐτῷ τὸ στράτευμα εἰς δισχιλίους ἠριθμημένον, ὧν ὀκτακόσιοι μὲν Ἰταλοί, ἄνδρες γενναῖοι καὶ τὴν χεῖρα θερμοί, ὡς ὁ καιρὸς ἔδειξε, Ῥωμαῖοι δὲ οἱ λοιποὶ ἐτύγχανον.

ι΄. Ἐγγὺς τοίνυν γενόμενος τῆς Ἀντιοχείας ὁ βασιλεύς, ἀφίησι τὸν πρέσβιν Πέρσην παρὰ τὸν σφέτερον ἀφικέσθαι δεσπότην· καὶ ὃς ἀπελθών, καὶ μηνύει τῷ Σουλτὰν τὴν τοῦ βασιλέως ἔφοδον, δύσπιστον ἐκείνῳ πάνυ τυγχάνουσαν. ὅρκοις γοῦν ἐβεβαίου ὁ πρέσβις, ὡς ἐγγὺς ὁ βασιλεὺς πάρεστι. Ταῦτα οὖν ἀκηκοὼς ὁ Σουλτάν, ὡς εἶχε τάχους τὰς δυνάμεις συνάγει, καὶ παρατάττεται πρὸς τὸν πόλεμον. Ἐμπίπτουσι γοῦν ταῖς τοῦ Σουλτὰν πρῶτον δυνάμεσιν Ἰταλοί· ἀλλ' ἦν τὸ τῶν Μουσουλμάνων πλῆθος πολύ. ἔργα δὲ κρατερᾶς χειρὸς ἐνδειξάμενοι, καὶ γενναιοτέρας ψυχῆς, σχεδὸν πίπτουσι πάντες ἀπειροπλασίους ξίφους ἔργον ποιήσαντες. τῶν γοῦν Ἰταλῶν οἱ Μουσουλμάνοι περιγενόμενοι, ῥᾷον καὶ τῶν Ῥωμαϊκῶν ἐκράτουν δυνάμεων. καὶ οἱ μὲν προτροπάδην ἔφευγον, ὀλίγοι δὲ ἐκαρτέρουν τὸ τέλος τῆς μάχης ἀποσκοπούμενοι. τῆς μάχης οὖν ἐγκρατὴς γενόμενος ὁ Σουλτάν, ἐζήτει τὸν βασιλέα, καὶ δεικνυσί τις τοῦτον αὐτῷ ἐν ἀμηχανίᾳ γενόμενον. ὡς εἶχε γοῦν τάχους πρὸς τὸν βασιλέα ὁρμᾷ, τῇ τοῦ σώματος ἰσχύϊ θαρρῶν ἐπ' αὐτῷ· ἔγνωσαν οὖν ἑκατέρους ἑκάτεροι. καὶ ὁ μὲν Σουλτὰν κορύνῃ κατὰ κεφαλῆς πλήττει τὸν βασιλέα, καὶ πίπτει τοῦ ἵππου. ἦν γὰρ τῇ βολῇ σκοτοδινιάσας. συνεποδίσθη γὰρ ὥς φασι τῇ βολῇ καὶ ὁ ἵππος. οὐκ οἶδ' εἰ καὶ τὴν δευτέραν παρὰ τοῦ Σουλτὰν λαβόντος πληγήν. ἔξω γοῦν τοῦ ἵππου ὁ βασιλεὺς γενόμενος, καὶ οἷον ῥωσθεὶς ὑπὸ θειοτέρας δυνάμεως, ἐπὶ πόδας σταθείς, τὴν σπάθην ἐξάγει τοῦ κολεοῦ, καὶ τοῦ Σουλτὰν ἐνθένδε στραφέντος, καὶ ὑβριστικῶς ἐπειπόντος, λάβετε τοῦτον, πλήττει τοὺς ὀπισθίους πόδας τοῦ τοῦ Σουλτὰν ἵππου ὁ βασιλεύς, θηλείας δὲ ἐπωχεῖτο καὶ ὑπερμεγέθους. ὡς ἐκ πύργου γοῦν ὁ Σουλτὰν καταβάλλεται, καὶ οἱ αἰφνηδὸν ἡ κεφαλὴ ἀποτέμνεται, μήτε τοῦ βασιλέως γνόντος, μήθ' ἑτέρου τῶν συμπαρόντων τῷ βασιλεῖ, παρ' ὅτου κατατέμνεται. νικᾷ γοῦν ἐντεῦθεν ὁ βασιλεὺς τὸ πλεῖστον ἐξηττημένος. οὐδὲ γὰρ εἶχεν ἐπὶ τοῖς πρόσω χωρεῖν μετὰ μυρίων ἐλελειμμένος. τοῦτο τοῖς Ῥωμαίοις ἀναψυχῆς ἐγένετο πρόφασις. σπονδὰς γὰρ ἐντεῦθεν ἀρρήκτους οἱ Μουσουλμάνοι μετὰ Ῥωμαίων ἐποίησαν. ἐντεῦθεν τῆς ἐκείνων μάχης ἐκεχειρίαν εἶχεν ὁ βασιλεύς, τοῖς δ' Ἰταλῶν πολέμοις ἐσχόλαζεν. προσελάβετο δὲ καὶ τὸν πενθερὸν αὐτοῦ τὸν βασιλέα Ἀλέξιον ἐν τῇ μάχῃ εὑρών, καὶ τὰ εἰκότα νεμήσας, ἀπήγαγέ τε εἰς Νίκαιαν, καὶ τῶν βα-

A partem abituri sunt? Illi omnes uno ore, veluti ex tessera inclamare, aut una cum eo se vivere, aut una mori velle: recollecto igitur animo subditorum vocibus Imperator Nicæa exit, secum legatum Sultani convehens, ocyusque approperans Philadelphiam occupat. Sultanus cum Imperatore Alexio, quem veluti Romanorum escam secum conducebat, in Antiochiam irrupit. Est ea civitas Mæandro adjacens, illiusque potiundæ propositum erat. Hinc machinis adactis urbem premebat, & tantum non ceperat: quod pertimescens Theodorus (neque enim dubium erat, quin ea subacta, Sultano nullum in posterum impedimentum foret, quo minus Romani Imperii re- B liquum debellaret) & veluti in cubo belli exitu posito, sive ut verius dicam, Christi Domini, cujus nomen veluti tesseram & signum pii nos circumferimus, præsidio nisus, propere celerat, prius commisso, ne quis attegias, aut sarcinas, vel quid simile prælio inutile præ necessariis tenui victu vestituque deferrent. Exercitus bina millia hominum non excedebat, quorum octingenti Itali, viri strenui, & manu fortes, ut occasio palam fecit, reliqui Romani fuere.

Edit. Paris. pag. 9.

X. Prope itaque Antiochiam factus Imperator, Persam legatum, ut remearet ad dominum, dimittit. Ille Sultano nuntiat Imperatoris accessum, creditu omni- C no difficilem, adeout Imperatorem jam adesse jurejurando confirmare necesse fuerit legatum. His auditis Sultanus quam celerrime collectis copiis in aciem militem excit. Primum Itali Sultani ordines nimium multos adoriuntur, ac manus validæ, viriliorisque animi facinoribus effectis fere omnes occumbunt, cum multo plures, ac multo numerosiores obtruncassent. Exsuperatis a Musulmanis Italis, nullo negotio Romanorum exercitus fusus est, cujus potior pars fugiens terga vertere, pauci se sistere, pugnæ exitum expectantes. Ubi Sultanus pugnam indipiscitur, Imperatorem vestigat, hærentem illum, atque attonitum quispiam monstrat. Sic celeritate qua poterat, corporis robo- D re fidens in Imperatorem rapitur: se cognoscunt invicem, & primus Sultanus clava caput Imperatoris ferit; ille plaga vertigine correptus equo, quippe equus etiam, plaga, nescio an iterata, externitur, decidit, quo deturbatus, & divino auxilio veluti fultus, erectus, strictoque gladio, Sultani inde reversi, injurioseque conclamitantis *Capite hunc*, posteriores equæ, qua immanis ille vehebatur, pedes cædit; indeque tamquam e turri dejecti Sultani caput humeris avellitur; a quonam vero abscissum sit, neque Imperator ipse, neque ex iis, qui aderant, quispiam perspexit. Potissima itaque sui parte devictus cum ultra progredi cum millibus haud posset Imperator devicit. Hinc relaxatis animis Romani respirarunt. Perpetuo namque Musulmani cum Romanis, numquam rescindendo amicitiæ fœdere sociati sunt, quo a Persicis pugnis liber Imperator Italorum præliis animumadvertebat. Comprehendit & socerum Alexium in acie, quem debito honore affectum Nicæam

conduxit, insignibusque imperatoriis spoliatum in Hyacinthi monasterium relegavit, ubi & diem suum obiit. Conjux illius Euphrosine in Arta urbe, in qua & sepulta est, vita excessit.

X I. Profligavit deinceps Imperator Theodorus & Davidem Paphlagoniæ dominum, & in potestatem redegit, Heracleam, Amastrim, loca in eis, atque oppidula omnia. Rursum cursus orationis

Edit. Paris. pag. 10.

id postulat, ut quæ gesta sunt in occidente enarrem: ut vero historia omnibus perspicua sit, pauca quidem prædicenda sunt. Cum Imperator Isaacius rem gereret Constantinopolitanam, uxore demortua, quam supra diximus Ungaram, Ungarorum principis filiam uxorem duxit; cum appararet nuptias easque regias magnificis quoque sumptibus decorare decrevit. Hinc ex universa Romanorum ditione pecudes, sues, ac boves congregabantur. Sed cum harum rerum Bulgaria omnium feracissima sit, plurima quoque ab ea deposcebantur. Bulgari & antea quidem inimici Romanis, illisque multorum bellorum, captivitatum, excidiorum urbium, & aliorum sexcentorum infortuniorum per annos plures causa, tandem ab Imperatore Basilio, quem non aliam ob causam *Bulgaroctonum* dictum, fama atque auditione accepimus, debellati ad Imperatoris usque Isaacii tempora Romanis tributa pendebant, tum ob ea, quæ memoravimus, rebellionem moliuntur, & ab Asano, nescio quo suasore, atque impulsore, omnibus, quæ intra Hæmum ad Histrum usque excurrunt in potestatem redactis, regio occupatur, eo res Romana quam maxime afflicta est. Bulgari namque, cum Scythæ mutuas operas tradidissent, multis malis Romanos vexarunt. Propterea indignatus Imperator Isaacius, in unum collectis copiis adversus eos aciem ducit, & maritima prætergressus, atque per Mesembriam civitatem iter faciens, Hæmum ingreditur. Asanus cum exercitu in oppidulo, cui nomen Strinabo, immoratur; & Imperator Alexius tentoriis fixis Bulgaros obsidet; sed ab illis eluditur. Unus enim ex illis, transfugam simulans, Imperatori Scytharum irruptionem denuntiat. Imperator conturbatus nuncio, licet die sequenti oppidulum subacturus esset, loco cedit, nec eam, quam inierat, redit viam, sed delusus a Bulgaro breviorem nec inconsultus aggreditur. Progredientem itaque & in angusta semita laborantem Bulgari aggrediuntur, militem fundunt, apparatumque omnem bellicum deprædantur, ipsam etiam Imperatoris supellectilem diripiunt. Ex Romanis plures cæsi sunt, qui cum Imperatore evaserant pauci admodum fuere, & prorsus nudi. Hac victoria, præda, spoliisque Romanorum Bulgari nimis, & insolenter animos sublevarunt, quippe ex ipsis imperatoriis insignibus pretiosiora

pag. 11.

conquisierant, & præter ea regias pyramidas, Phialas celebres, pecuniæ vim immensam, ipsam etiam imperatoriam Crucem quam sacerdos abjecerat, non multo post in flumine offendunt, ex auro compactam, in medio ex sacro-sancto ligno, cui Christus Dominus affixus pependerat in modum crucis efformato complectentem, nec non parvas, & plurimas

A σιλικῶν παρασήμων ἐκδύσας ἐν τῇ τῆς Ὑακίνθου μονῇ ἐνέκλεισεν, ἔνθα καὶ θνήσκει. ἡ γὰρ σύζυγος αὐτοῦ Εὐφροσύνη ἐν τῇ τῆς Ἄρτης ἐναπεβίω χώρᾳ, ἔνθα καὶ ἡ νεκρὸς αὐτῆς κατετέθη.

ια'. Περιεγένετο δὲ καὶ ὁ βασιλεὺς Θεόδωρος καὶ τοῦ τῆς Παφλαγονίας κρατοῦντος Δαυίδ, καὶ Ἡράκλειαν παρεστήσατο, καὶ Ἄμαστριν, καὶ τὰς πέριξ χώρας καὶ τὰ πολίχνια. πάλιν δέ μοι τὰ τῆς ἱστορίας βούλεται τὰ ἐν τῇ ἑσπέρᾳ ξυμβάντα συγγράψασθαι. ἵνα δέ μοι ἡ ἱστορία τοῖς πᾶσιν εὔγνωστος εἴη, δέον ὀλίγα ἄττα προεξειπεῖν. Τοῦ βασιλέως Ἰσαακίου τῆς Κωνσταντίνου κατάρχοντος, καὶ τῆς γαμετῆς θανούσης αὐτῷ, ἠγάγετο εἰς γυναῖκα τὴν ἣν προειρήκειν, ἐξ Οὐγγρίας ὡρμημένην,
B θυγατέρα οὖσαν τοῦ τῶν Οὔγγρων ἄρχοντος. Ἐπεὶ δὲ ἔμελλε τοὺς γάμους ποιεῖν, καὶ ὑπῆρχεν οὗτος βασιλικός, ἀξιόλογα ἔδει γενέσθαι τούτῳ τὰ ἀναλώματα. Ἐντεῦθεν ἐξ ἁπάσης τῆς Ῥωμαίων ἐπαρχίας πρόβατά τε καὶ χοῖροι καὶ βόες συνήγοντο. Ἐπεὶ δὲ πλείω τῶν ἄλλων ἡ Βουλγάρων τρέφει ταῦτα, καὶ πλείω παρὰ ταύτης ἀπῃτοῦντο. Τὸ δὲ Βουλγάρων φῦλον, ἔκπαλαι μὲν τὰ πρῶτα Ῥωμαίοις πολέμιον, καὶ πολέμων πολλῶν πρόξενον γεγονὸς αὐτοῖς, ἀνδραποδισμῶν τε καὶ ἁλώσεων πόλεων, καὶ μυρίων ἄλλων δεινῶν, καὶ ταῦτα ἐν πολλοῖς τοῖς ἔτεσιν, ὕστατα παρὰ τοῦ βασιλέως Βασιλείου χειροῦται, ὃν διὰ ταῦτα Βουλγαροκτόνον ἡ φήμη ἐκάλεσε. Μέχρι γοῦν τοῦ βασιλέως Ἰσαακίου ὑπόφορον τὸ γένος ἦν Ῥωμαίοις.
C Διὰ δὲ τὴν τοιαύτην πρόφασιν μεμελέτηκεν ἀντάρσιον, καὶ ἀνίσταταί τις Ἀσὰν τοὔνομα, καὶ βασιλεύει τῆς χώρας, ἅπαντα τὰ ἐντὸς τοῦ Αἵμου, μέχρι καὶ τοῦ Ἴστρου ὑφ' ἑαυτὸν ποιησάμενος. Ἐκ τούτου ἐν ὀλίγα πράγματα Ῥωμαίοις ξυνέβη. Ἔχοντες γὰρ οἱ Βούλγαροι τὸ Σκυθικὸν σύμμαχον, πολλὰ ἐποίουν τῇ Ῥωμαίων δεινά. διό τοι καὶ ὁ βασιλεὺς ἀγανακτήσας Ἰσαάκιος, τὸ τῶν Ῥωμαίων ἅπαν συναγαγὼν εἰς ἓν στράτευμα, κατ' αὐτῶν ἐχώρει. τὴν γοῦν παράλιον παρελών, καὶ διὰ τῆς Μεσημβρείας πόλεως τὴν δίοδον ποιησάμενος, ἔσω τοῦ Αἵμου γίνεται. Ὁ δὲ Ἀσὰν μετὰ τοῦ ὑπ' αὐτὸν στρατεύματος ἐντὸς τοῦ πολιχνίου, ᾧ δὴ τὸ ὄνομα Στείναβος, εἰσέρχεται, ἔνθα καὶ τὰς σκηνὰς ποιησάμενος ὁ βασιλεὺς Ἰσαάκιος, τοὺς Βουλγάρους ἐπολιόρκει. καταστρατηγεῖται δὲ παρ' αὐτῶν. τῶν τις Βουλγάρων γὰρ προσωπεῖον ὑποδυθεὶς
D φυγάδος, ἀφικνεῖται παρὰ τὸν βασιλέα, καὶ μηνύει αὐτῷ Σκυθῶν ἔφοδον. ὁ δὲ βασιλεὺς τῷ λόγῳ θροηθείς, καὶ ταῦτα τῇ ἐπιούσῃ τὸ πολίχνιον χειρώσασθαι μέλλων, ἀπανίσταται τοῦ τόπου. Οὐκ ἐξῆλθε δὲ οὖν τὴν ἣν εἰσῆλθεν ὁδόν, ἀλλ' ἐξαπατηθεὶς ὑπὸ τοῦ Βουλγάρου, τὴν ταχυτέραν τάχα διεξιέναι βεβούλευται. Ἐπιπίπτουσιν οὖν αὐτῷ διερχομένῳ οἱ Βούλγαροι ἐπί τινι στενωπῷ γενομένῳ, καὶ καταλύουσι τὸ ὑπ' αὐτὸν ἅπαν στράτευμα, καὶ σκυλεύουσι πᾶσαν μὲν τὴν τῆς στρατείας ἀποσκευήν, ἀλλὰ δὴ καὶ τὴν τοῦ βασιλέως αὐτοῦ. πίπτουσι δὲ πολλοὶ τῶν Ῥωμαίων. οἱ δὲ διασωθέντες μετὰ τοῦ βασιλέως γυμνοὶ ἦσαν, καὶ ὀλίγοι πάνυ. ἐντεῦθεν ἐφυσιώθη τὸ τῶν Βουλγάρων φῦλον, λείαν πολλὴν ἐκ τῶν Ῥωμαίων κερδῆσαν.
E Ἀλλὰ δὴ καὶ ἐκ τῶν βασιλικῶν παρασήμων τὰ τιμιώτερα. τάς τε γὰρ τοῦ βασιλέως πυραμίδας ἀνελάβοντο, καὶ φιάλας τὰς ἐπισήμους, καὶ χρῆμα εἰς πλῆθος, καὶ αὐτὸν δὴ τὸν βασιλικὸν σταυρόν. τῶν τινος γὰρ αὐτὸν ἱερέων ῥίψαντος, μετὰ μικρὸν ἐφεῦρον ἐν τῷ ποταμῷ, ἐκ χρυσοῦ μὲν κατεσκευασμένον, φέροντα δὲ εἴσω ἐκ τοῦ ἁγίου ξύλου, ἐν ᾧ περ διαπόνως προσηλώθη Χριστός, εἰς σταυροῦ σχῆμα τετυπωμένον, θήκας δὲ μικρὰς παμπόλλας ἔχοντα· ἐν οἷς λείψανά τε πρό-

πρόσεστι τῶν περιφανεστέρων μαρτύρων, τῆς Θεομήτορος τὸ γάλα, καὶ μέρος τι τῆς ζώνης αὐτῆς, καὶ ἄλλα πλεῖστα, ὁπόσα τῶν ἁγίων καθοσιοῦσι. ὁ μὲν οὖν βασιλεὺς Ἰσαάκιος εἰς τὴν Κωνσταντίνου οἷον φυγὰς ᾤχετο.

ιβʹ. Ἐντεῦθεν οὐκ ὀλίγα πράγματα τοῖς Ῥωμαίοις ἐκ Βουλγάρων ὑπῆρχεν. ἀλλὰ καὶ τοῦ βασιλέως Ἰσαακίου ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ Ἀλεξίου τυφλωθέντος, καὶ αὐτοῦ δὲ τῶν Ῥωμαϊκῶν σκήπτρων ἐπειλημμένου, πόλεμοι πάμπολλοι τοῖς Ῥωμαίοις παρὰ τῶν Βουλγάρων ἐγένοντο, περὶ τὰ μέρη τῆς Φιλιππουπόλεως καὶ Βερόης. ἔνθα καὶ ὁ Πρωτοστράτωρ Καμύτζης ὑπὸ τῶν Βουλγάρων ἑάλω μαχόμενος, τοῦ ἀδελφοῦ τοῦ Ἀσὰν Ἰωάννου τότε κατάρχοντος. ὁ γὰρ δηλωθεὶς Ἀσὰν δύο ἔσχεν ἀδελφούς, ὧν ὁ μὲν Πέτρος ἐκαλεῖτο, ὁ δὲ Ἰωάννης. καὶ τὸν μὲν Ἰωάννην εἶχε μεθ᾽ ἑαυτοῦ, τῷ δὲ Πέτρῳ τμῆμά τι δοὺς τῆς αὐτοῦ ἐπαρχίας ἄρχειν ἐκείνου διεκελεύσατο. ἥ τε μεγάλη Παραθλάβα καὶ ὁ Προβάτος, καὶ τὰ περὶ αὐτὰ τῷ Πέτρῳ παρὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἀσὰν, ὡς οἰκεῖος κλῆρος δεδώρητο, ὅθεν καὶ μέχρι τοῦ νῦν τὰ τοιαῦτα τοῦ Πέτρου ὀνομάζεται χώρα. ἐννέα γοῦν ἐνιαυτοὺς ἐξανύσας ὁ Ἀσὰν, βασιλικῶς κατάρχων τοῦ Βουλγαρικοῦ γένους, φονεύεται παρὰ τοῦ πρωτεξαδέλφου αὐτοῦ Ἰβάγγου. ὃς καὶ παραυτίκα ἀπέδρα. βασιλεύει δὲ τοῦ γένους ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης, μὴ θελησάντων τῶν Βουλγάρων εἰς βασιλείαν τὸν Πέτρον ἀναγαγεῖν. καὶ ὁ τοῦ Ἀσὰν δὲ υἱὸς Ἰωάννης ἔτι ἀφῆλιξ ὑπῆρχεν.

ιγʹ. Οὗτος οὖν ὁ Ἰωάννης βασιλεὺς Βουλγάρων ὀνομασθεὶς, πολλῶν τε τοῖς Ῥωμαίοις αἴτιος ἐγεγόνει κακῶν, εὐτυχῶς δὲ καὶ τοῖς Ἰταλοῖς αὐτοῖς. ἦν γὰρ οὗτος βασιλεὺς Βουλγάρων, ὁπότε ἡ Κωνσταντίνου ἑάλω. ὡς γοῦν οἱ Ἰταλοὶ πᾶσαν τὴν τῆς Μακεδονίας χώραν, ὑφ᾽ ἑαυτοὺς ἐποιήσαντο, βασιλεύοντος τοῦ πρώτως ἐν τῇ Κωνσταντινουπόλει κατάρξαντος Βαλδουίνου, τὰ κατ᾽ αὐτοὺς διαθεμένου, καὶ πρὸς τὴν πόλιν Ἀδριανοῦ διεμηνύσαντο, ὅπως ὑπ᾽ αὐτοὺς γένηται. ὁ γὰρ βασιλεὺς Βουλγάρων Ἰωάννης προὔλαβε χειρώσασθαι τὴν Φιλιππούπολιν, καὶ ἀνδραποδισμὸν μέγαν τῶν Ῥωμαίων ἐκεῖθεν ποιήσασθαι. μὴ βουληθέντων δὲ τῶν Ἀδριανουπολιτῶν ὑπὸ χεῖρας γενέσθαι τῶν Ἰταλῶν, ἐκστρατεύουσιν οἱ Ἰταλοὶ κατ᾽ αὐτῶν, αὐτοῦ τε τοῦ βασιλέως Βαλδουίνου συνιόντος αὐτοῖς, καὶ τοῦ τόπον τοῦ Δουκὸς ἐπέχοντος Βενετίας ἐν τῇ Κωνσταντινουπόλει. εἰς στενοχωρίαν γοῦν οὐ μικρὰν ἐλθόντες οἱ τῆς Ἀδριανοῦ οἰκήτορες, ἀποστέλλουσι πρὸς τὸν βασιλέα τῶν Βουλγάρων Ἰωάννην, ἵνα συναίρηται τούτοις, καὶ τοῦ ἐπηρτημένου κινδύνου ῥύσηται. ὁ δὲ ἀσμένως δέχεται τοῦτο, καὶ Σκύθας μεθ᾽ ἑαυτοῦ προσλαβόμενος, ἐπεὶ φανερῶς οὐκ εἶχε τοῖς Λατίνοις μαχέσασθαι, περιγενέσθαι βεβούλευται μηχαναῖς. καὶ ὁ μὲν ἐσκήνωτο μακρὰν που τῆς Ἀδριανουπόλεως, ἐκπέμπει δὲ κατὰ τῶν Ἰταλῶν τοὺς Σκύθας, τῇ Σκυθικῇ στρατείᾳ χρήσασθαι κατ᾽ αὐτῶν. Ἰταλοῖς μὲν οὖν ἔθος, ἐφ᾽ ἵπποις ὑψαύχεσιν ἐποχεῖσθαι, καταφράκτοις τε δι᾽ ὅλου εἶναι τοῖς ὅπλοις τοῦ σώματος, κἀντεῦθεν δυσκινήτως κατὰ τῶν ἐναντίων ὁρμῶσι. Σκύθαι δὲ κουφότερον ὡπλισμένοι ἐλευθεριώτερον ἐπιπηδῶσι τοῖς ἐναντίοις. οὐ μὴ ξυνιόντες οἱ Ἰταλοὶ παρὰ τῶν Σκυθῶν καταστρατηγοῦνται. ὥστε καὶ αὐτὸν τὸν βασιλέα Βαλδουῖνον ὑπ᾽ αὐτῶν ἁλῶναι, καὶ δέσμιον ἀπαχθῆναι πρὸς τὸν βασιλέα Βουλγάρων Ἰωάννην, ὑπερ, ὥς φασι, καὶ τὴν κεφαλὴν μετὰ τὴν σφαγὴν, εἰς κύπελλον χρηματίσαι τῷ βαρβάρῳ, τῶν ἐντὸς ταύτης πάντων κεκαθαρμένων, καὶ κόσμῳ περιπυκασθεῖσαν κύκλωθεν. οἱ μέντοι Ἀδριανοπολῖται οὐ παραυτίκα τὸ γεγονὸς συνεγνώκεισαν. εἰ γὰρ εἴδησαν, ἐξῄεσαν ἂν τῆς πόλεως, καὶ λείαν αὐτῶν ἐπεποιήκεισαν τὰς Ἰταλικὰς σκηνάς. οἱ γοῦν ἀπολειφθέντες Ἰταλοὶ,

thecas habentem, in quibus celebriorum Martyrum reliquiæ, Deiparæ lac, zonæ ejusdem pars, & reliqua multa, quæ sanctis loculis asservantur, continebantur. Imperator ergo Isaacius Constantinopolim fugiens se recepit.

XII. Hinc detrimentis noxisque non paucis Romanos Bulgari affecerunt, sed & ab Imperatore Isaacio a fratre Alexio obcæcato, eoque Romani imperii habenas moderante, multis præliis versus Philippopolim, Beroemque ubi Protostrator Camytzes depugnans a Bulgaris captus est, Joanne Asani fratre tunc dominante, Romanos Bulgari vexarunt. Asanus enim duos habuit fratres, uni nomen fuit Petro, alteri Joanni. Joannes penes illum residebat. Petro partem e dominio avulsam commisit, ut regeret. Tum magnam, Perathlabam, & Probatum, & loca adjacentia, frater Asanus Petro, ut jure suo, ac nutu gubernaret, elargitur. Sic factum est, ut ad hunc diem ea loca, Petri regio cognominentur. Per integros novem annos cum Asanus regie admodum rem Bulgarorum gessisset, a consobrino suo Ivango, qui se postmodum illico in fugam dederat, jugulatur: Hæres fuit Imperii Joannes ipsius frater; renuere namque Bulgari Petro provinciæ dominandi tradere.

XIII. Joannes itaque Asani filius tenera adhuc ætate rex Bulgaris constitutus, multa in Romanos mala ingessit, & in Italos etiam ipsos, prospere, & fortunate: erat enim, cum Constantinopolis direpta est, Bulgarorum rex. Quando itaque Itali universam Macedoniam subegerunt, rex eorum, qui primus Constantinopoli imperium tenuit, regie administrante Balduino pro deditione Adrianopolitas sollicitant; namque rex Bulgarorum Joannes Philippopolim magna Romanorum clade, præda ditatus præripuerat. cum Italorum jugum Adrianopolitæ detrectassent, Itali in eos copias, quibus Balduinus Imperator, & vices Ducis Venetiarum Byzantii gerens præsto aderant, educunt; quare Adrianopolitæ in summas angustias adducti, ad regem Bulgarorum Joannem ut suppetias ferret, & a scopulo in tranquillum deduceret, viros delegant. Postulatis ille oblectatus, sociosque sibi Scythas asciscens, cum palam in acie adversus Latinos prodire non posset, ex insidiis eos opprimere statuit. Ipse quidem longe Adrianopoli aberat, Scythas vero in Italos mittit, ut Scythico bellandi modo eos aggrederentur. Italis in more est, equis ferocitate exultantibus vehi, munirique armis circumquaque toto corpore, ideoque segnes, ac tardos in hostes ferri. Verum Scythæ cum levius armentur, liberius adversarios impetunt; illud ignorantes Itali a Scythis præter opinionem dolis opprimuntur. Balduinus Imperator captus, & vinculis gravis ad Bulgarorum regem Joannem adducitur; illius caput abscissum, sordibusque internis expurgatum, & ornamentis undique circumseptum, poculi loco barbaro inservisse, fama est. Adrianopolitæ non statim rem perceperant, nam urbe egressi castris adsultarent Italorum, ac bona diripuissent. Reliquiæ utrumque Italorum in tentoriis, clarissimis luminibus accensis, quasi adessent, media nocte pedem Constantinopolim referunt. Eo

Edit. Paris. pag. 12.

mane cognito, ab Adrianopolitanis, quæ in tentoriis remanserant, prædatum itum est. Rex Bulgarorum Adrianopolitarum promissionibus fretus, urbem sibi subjicere avens iter arripit: illi se dedere recusarunt. Sed dolo Rex Bulgarorum indignatus ad eos obsidendos in animum advertit. Verum in apparandis obsidionibus Bulgari omnino inepti sunt; neque enim admoveodatum machinarum artem callent, neque quippiam aliud diripiendis urbibus peropportunum moliri possunt. Propterea inde discedens, cum nullus illi se opponeret, Italis ab eo penitus debellatis, universam Macedoniam excurrit, præda ingenti locupletatus, urbes cum ipsis habitatoribus spolians, funditusque evertens, eo animo, ut si quando Romani infortunio desæviente respirassent, propria oppida recuperare nequirent. Quare e fundamentis sustulit Philippopolim præclaram nimium, atque egregiam urbem, quæ Hebro adjacet, alias deinceps universas, Heracleam, Panium, Rædestum, Charioupolim, Trajanupolim, Mactem, Claudiupolim, Mosynupolim, Peritheorion, aliasque quamplurimas, quas enumerare operæ pretium non est. Multitudinem abigens circa Istri fluenta collocat, & ex jam direptis oppidis, urbibus nomina propriis colonis imponit, damna, ut ipse dictitabat, compensans, quibus Imperator Basilius Bulgaros afflixerat, eumque fatebatur dici *Bulgaroctonum*, se vero *Romæoctonum* indigitabat; is usque Thessalonicam perveniens laterali morbo vitam finit, vel ut alii afferebant, ira numinis tristi morte mulctatus est. Somniavit enim ab armato sibi adstante hasta latus confodi: nemo enim, nec mentior, e memoria hominum tot, ac iste calamitatibus Romanos afflixit, adeo ut a cane nomen illi impositum sit, & *Scylo-Joannes* ab omnibus compellaretur. Cum enim Scythas sibi devinxisset, affinitate cum illis contracta, & mores sibi vindicaret ob ferociorem naturam, immaniores, cædibus Romanorum admodum delectabatur. Hoc satis functo sororis illius filius Phrorilas nomine, Scythide avia in matrimonium ducta, regnum Bulgarorum occupat. Filius vero Asani Joannes clam ereptus, ut diximus, ad Scythas asportatur. Et hæc quidem de Bulgaris, reliqua oratio, quibus gesta sunt temporibus enodabit.

Edit. Paris. pag. 13.

XIV. Michaeli porro, quem Epiro imperasse, & partem aliquam dominii Romani obtinuisse, supra enunciavimus, tres fuere fratres Cõstantinus, Theodorus, & Manuel: Theodorus cum Theodoro Lascari Imperatore vivebat, illi quemadmodum, & reliqui Romanorum morigerans, atque obsequiosus. Propterea Theodorum Imperatorem Michael deprecatur, ut eum ad se mitteret, quod nullum genuinum filium adultum possideret: (quem enim susceperat Michael ex pellice erat, de quo infra dicemus) & mortem intempestam pertimesceret, & alios fratres ineptos ad dominandum judicaret. Theodorum Imperator fratri Michaeli dimittit cum prius jusjurandum fidelitatis in semet, & in successores suos Romanorum Imperatores exegisset. Sic dimissus

A φῶτα λαμπρὰ ἐν ταῖς σπείραις ἀνάψαντες σκηναῖς, καὶ ὑπόνοιαν δόντες τοῖς πολίταις, ὡς πάρεισι, μέσων νυκτῶν φυγάδες περὶ τὴν Κωνσταντίνου χωροῦσι. πρωΐας γοῦν γνόντες τοῦτο οἱ τῆς Ἀδριανοῦ οἰκήτορες τὰ ἐλλελειμμένα τῶν σκηνῶν ἐληΐσαντο. Ὁ μὲν οὖν βασιλεὺς Βουλγάρων κατὰ τὰ ὑπεσχημένα τοῖς Ἀδριανοπολίταις, ἐγκρατὴς γενέσθαι τῆς σφῶν πόλεως ὥρμησεν. οἱ δὲ ἀπείπαντο τοῦτο. Δυσανασχετήσας οὖν ὁ τῶν Βουλγάρων βασιλεὺς τῇ ἀπάτῃ, πολιορκῆσαι τούτους ἠθέλησεν, ἀλλ' ἀφυεῖς παντελῶς εἰς πολιορκίαν οἱ Βούλγαροι. οὔτε γὰρ ἑλεπόλεις οἴδασι στῆσαι, οὔθ' ἕτερόν τι τῶν δυναμένων πορθῆσαι διανοήσασθαι. ἀπάρας γοῦν ἐκεῖθεν ὁ βασιλεὺς τῶν Βουλγάρων, μὴ ἔχων τὸ ἐμποδὼν, B ὡς τῶν Ἰταλῶν αὐτῷ καταπορθηθέντων τὸ ἔσχατον, ἑτέρου δὲ μὴ ὄντος τοῦ ἀνθισταμένου, πᾶσαν κατατρέχει Μακεδονίαν. λείαν οὖν παμπόλλην ἐποιήσατο, αὐτάνδρους τὰς πόλεις ἀνδραποδισάμενος, καὶ τέλεον κατασκάψας αὐτάς. τὸ δέ οἱ διανόημα ἦν, ὡς μήποτε Ῥωμαίους ἀνάκλησιν σχεῖν, τῶν φρουρίων ἐπιδράξασθαι πόλεων. κατέσκαψε γοῦν ἐκ βάθρων αὐτῶν τὴν Φιλιππούπολιν, θαυμαστὴν ἄγαν οὖσαν, ἥτις παρὰ τῷ Εὔρῳ κεῖται. εἶτα τὰς ἄλλας πάσας πόλεις, τὴν Ἡράκλειαν, τὸ Πάνιον, τὴν Ῥαιδεστὸν, Χαριούπολιν, Τραϊανούπολιν, Μάκρην, Κλαυδιούπολιν, Μοσυνούπολιν, Περιθεώριον, καὶ ἄλλας πολλὰς, ἃς ἀριθμεῖν οὐ χρεών. τὸν δὲ λαὸν ἀπάρας ἐκεῖθεν, περὶ τὰς παραρροίας καθίζει C τοῦ Ἴστρου ἐκ τῶν ἰδίων τῶν ἠνδραποδισμένων κωμῶν καὶ πόλεων τὰς κλήσεις ἐπιθεὶς ταῖς οἰκήσεσιν. ἀντιπήμονα δ' οὖν, ὡς ἔφασκεν, ἐποιεῖτο, τῶν ὧν εἰργάσατο πρὸς Βουλγάρους κακῶν ὁ βασιλεὺς Βασίλειος, καὶ καλεῖσθαι μὲν ἔλεγεν ἐκεῖνον Βουλγαροκτόνον, Ῥωμαιοκτόνον δὲ ὠνόμαζεν ἑαυτόν. μέχρι γοῦν καταντήσας καὶ αὐτῆς τῆς Θεσσαλονίκης, ἐκεῖσε θνήσκει πλευρίτιδι νόσῳ κατασχεθείς· ὡς δέ τινες ἔλεγον, ὅτι ἐκ θεομηνίας αὐτῷ ὁ θάνατος γέγονεν. ἔδοξε γὰρ αὐτῷ καθ' ὕπνους, ἔνοπλον ἄνδρα ἐπιστῆναι αὐτῷ, καὶ δόρατι πλῆξαι εἰς τὴν πλευράν. ἦν γὰρ καὶ ἀληθῶς, ὡς οὐδέποτε τῷ Ῥωμαίων τοσαῦτα παρέσχε ξυμβῆναι κακὰ, ὡς καὶ ὄνομα τεθῆναι τούτῳ, ἐκ κυνὸς τὴν ἐπίκλησιν ἔχον. Σκυλο-D ϊωάννης καὶ γὰρ ἐπεκλήθη τοῖς πᾶσι. τὸ γὰρ τῶν Σκυθῶν γένος ἰδιοποιησάμενος, καὶ κοινωνήσας αὐτοῖς συγγενείας, καὶ τρόπου μετασχὼν ἐκ φύσεως θηριωδεστέρου, φόνοις ἐνετρύφα Ῥωμαίων. ὡς γοῦν οὗτος ἐτεθνήκει, ὁ τῆς ἀδελφῆς αὐτοῦ παῖς Φρουζίλας τοὔνομα, τὴν Σκυθίδα θείαν γαμετὴν εἰληφὼς, τῆς ἀρχῆς τῶν Βουλγάρων γέγονεν ἐγκρατής. τὸν δὲ τοῦ Ἀσὰν παῖδα Ἰωάννην, ἀφήλικα ὄντα ἔτι, κρύφα τις λαβὼν, ὡς εἰρήκειμεν, περὶ τοὺς Σκύθας κεχώρηκε. Καὶ ταῦτα μὲν τὰ περὶ Βουλγάρων. ὁ λόγος δὲ μετὰ ταῦτα τοὺς ἰδίους ἐξιστορήσει καιρούς.

ιδ'. Ὁ δὲ Μιχαὴλ, ὃν ἱστορήσας ὁ λόγος πέφθακε τῆς Ἠπείρου κατάρξαι, καί τινος μέρους τῆς χώρας Ῥωμαίων, τρεῖς αὐτοσυγγενεῖς ἐκέκτητο, τὸν Κωνσταντῖνον, τὸν Θεόδωρον, καὶ τὸν Μανουήλ, ὧν ὁ μὲν Θεόδωρος τῷ βασιλεῖ Ῥωμαίων συνῆν Θεοδώρῳ τῷ Λάσκαρι, ὑπηρετῶν αὐτῷ, ὡς καὶ οἱ λοιποὶ τῶν Ῥωμαίων. διὰ τοῦτο παρακαλεῖ τὸν βασιλέα Θεόδωρον ὁ Μιχαὴλ, ἵνα τοῦτον πρὸς αὐτὸν ἐκπέμψῃ διὰ τὸ μὴ ἔτι ἔχειν παῖδα εἰς ἥβην ἐλθόντα, ἀλλ' οὐδὲ γνήσιον. ὁ γὰρ αὐτῷ γεννηθεὶς Μιχαὴλ, ἐκ παλλακῆς ἐκείνῳ γεγένητο, περὶ οὗ ἐροῦμεν ἐν τοῖς μετέπειτα. καὶ τὸν θάνατον δὲ δεδιέναι τὸν ἄωρον. τοὺς γὰρ λοιποὺς τῶν ἀδελφῶν ἀφυεῖς ἐγίνωσκεν εἰς ἀρχήν. τοῦτον δὲ τὸν Θεόδωρον ὁ βασιλεὺς πέμπει τῷ ἀδελφῷ Μιχαὴλ, ὅρκοις πρῶτον ἐμπεδωσάμενος, πίστιν δουλείας εἰς τοῦτον φυλάττειν, καὶ εἰς τοὺς μετ' αὐτὸν Ῥωμαίων βα-

πάρξοντας. ὃς καὶ ἀφικόμενος συνῴκει τῷ ἀδελφῷ Μιχαήλ. μετ' οὐ πολὺ καὶ φονεύεται παρά τινος τῶν ὑπηρετῶν ὁ Μιχαὴλ νύκτωρ ἐπὶ τῆς κλίνης συγκαθεύδων τῇ γυναικί. Ῥωμαῖος δὲ ἦν τῷ φονευτῇ τοὔνομα. Ἐπιλαμβάνεται γοῦν τῆς ἐξουσίας ἐκείνου ὁ ἀδελφὸς Θεόδωρος, ἔχων καὶ τοὺς ἀδελφοὺς Κωνσταντῖνον, καὶ Μανουήλ. ἄρξας δὲ βυληθεὶς πάνυ ἐπηύξησε τὴν αὐτοῦ ἀρχήν. ἔκ τε γὰρ τῶν Ἰταλῶν οὐκ ὀλίγην χώραν ἐκτήσατο, κἀκ τῶν Βυλγάρων πολλήν. τήν τε γὰρ Θετταλίαν ὑφ' ἑαυτὸν ἐποιήσατο, Ἀχρίδα τε, καὶ Πρίλαπον, Ἀλβανόν τε, καὶ αὐτὸ τὸ Δυρράχιον. ἔνθα καὶ Πέτρον μετὰ μεγίστης στρατιᾶς ἐξ Ἰταλίας ὁρμώμενον, καὶ ὡς πρὸς τὴν Κωνσταντινούπολιν πεποιημένον τὴν δίοδον ἀνηγορευμένον πρὸς τοῦ Πάπα καὶ βασιλέως αὐτοῦ που γεγενημένον, προκαταλαβόμενός τε καὶ αὐτὸ τὸ Δυρράχιον γενναίως κατετροπώσατο. Ὁ μὲν οὖν ῥηθεὶς Πέτρος γαμβρὸς ὑπῆρχεν ἐπ' ἀδελφῇ τοῦ πρώτως βασιλεύσαντος ἐκ τοῦ Λατίνων μέρους Βαλδουίνου, καὶ τοῦ μετ' αὐτὸν Ἐρῆ, ἐκαλεῖτο δὲ ἡ αὐτῶν ἀδελφὴ Ἰολέντα, ἐξ ἧς παῖδες τῷ Πέτρῳ γεγένηνται τρεῖς, ὅ τε Φίλιππος, ὁ Ῥομπέρτος, καὶ ὁ Βαλδουῖνος, ὧν ὁ μὲν Ῥομπέρτος καὶ ὁ Βαλδουῖνος τῆς Κωνσταντίνου βεβασιλεύκασι, τοῦ πρώτου αὐτῶν ἀδελφοῦ τοῦ Φιλίππου, τῷ ἀδελφῷ Ῥομπέρτῳ τῆς βασιλείας παραχωρήσαντος. ὑπῆρχον δὲ σφίσι καὶ ἀδελφαί, ὧν μία Μαρία ἦν, ᾗ συνεζύγη ὁ βασιλεὺς Θεόδωρος. ὁ μὲν οὖν δηλωθεὶς Θεόδωρος, καθὼς εἰρήκειν, τὸ οἰκεῖον παραλαβὼν στράτευμα, ἀντιπίπτει τῷ Πέτρῳ μικρὸν ὑπερπηδήσαντι τὸ Δυρράχιον, καὶ ἐν ταῖς τοῦ Ἀλβανοῦ δυσχωρίαις γεγενημένῳ. νικῶσι γοῦν κατὰ κράτος οἱ τοῦ Κομνηνοῦ Θεοδώρου τὸ τῶν Λατίνων στράτευμα, ὡς πάντας ἄρδην δεσμώτας ποιῆσαι σὺν πᾶσι σκεύεσι, καὶ αὐτὸν δὲ τὸν βασιλέα Πέτρον ἔργον μαχαίρας γενέσθαι. τοῦτο δὲ τότε μέγα τοῖς Ῥωμαίοις ἐγεγόνει βοήθημα.

ιε΄. Ἀλλ' ὁ λόγος μοι καὶ πάλιν ἐπὶ τὸν βασιλέα Θεόδωρον τὸν Λάσκαριν ἐφορμᾷ. οὗτος γὰρ ἐκ τῆς αὐτοῦ γαμετῆς Ἄννης, ὡς ἔφην, τρεῖς ἐποιήσατο θυγατέρας, Εἰρήνην, Μαρίαν, καὶ Εὐδοκίαν. τὴν γοῦν Μαρίαν τὴν δευτέραν τῶν αὐτοῦ θυγατέρων τῷ ῥηγὶ Οὐγγρίας διερχομένῳ τὴν αὐτοῦ χώραν ἐκ τῶν Ἱεροσολύμων, εἰς κῆδος ἐπὶ υἱῷ παραδίδωσι. τὴν δὲ πρώτην αὐτοῦ θυγατέρα τὴν Εἰρήνην ἀνδρὶ συζεύγνυσι τῷ Παλαιολόγῳ Ἀνδρονίκῳ, ὃν καὶ δεσπότην τετίμηκε. μετ' οὐ πολὺ δὲ ὁ δεσπότης Παλαιολόγος θνήσκει, καὶ προσλαμβάνεται ὁ βασιλεὺς εἰς γαμβρὸν Ἰωάννην τὸν Δούκαν, οὗ Βατάτζος τὸ ἐπίκλην, καὶ ἐκ Διδυμοτείχου ἦν ὡρμημένος, τὸ τοῦ Πρωτοβεστιαρίτου διενεργῶν ὀφφίκιον. ἡ μὲν οὖν βασιλὶς Ἄννα ἔφθη πρὸς καιροῦ τελευτῆσαι. ἠγάγετο δὲ ἐξ Ἀρμενίων γυναῖκα ὁ βασιλεύς. δυσαρεστήσας δὲ πρὸς αὐτὴν πρὸς τὴν ἰδίαν πατρίδα τὴν Κιλικίαν ἐκπέμπει. ἐπιφέρει δὲ αὐτῷ γαμετὴν τὴν τοῦ βασιλεύοντος τῶν Ἰταλῶν ἀδελφήν, ὃς Ῥομπέρτος, ὡς ἔφην, ἐκέκλητο, καὶ τὸν θεῖον Ἐρῆ διεδέξατο. οὗτος καὶ γὰρ ὁ Ἐρῆς πολλὰ πράγματα παρεῖχε Ῥωμαίοις, καὶ αὐτῷ τῷ βασιλεῖ Θεοδώρῳ. ἀνδρεῖος γὰρ ὤν, περὶ μάχας ὀξύρροπος, καὶ τεταπεινωμένα τὰ τῶν Ῥωμαίων ὁρῶν, καὶ μάλιστα ἐξότε τὸν Σουλτὰν πεφόνευκεν ὁ βασιλεὺς Θεόδωρος. τότε γὰρ τὸ ἐκ Φράγγων πρόσον ἀπολώλεκε στράτευμα, ἐν ᾧ καὶ τὰς πρὸς τοὺς ὁμογενεῖς τεθαρρηκὼς ἦν μάχας, οὓς καὶ ὁ βασιλεὺς Ἐρῆς ἐδεδίει. πολλοὶ γὰρ ἦσαν ὀνομαστοὶ ἀπό τε γένους, ἀπό τε μὴν τῆς προσούσης ἐκείνοις ἀνδρείας. διὰ ταῦτα, ὥς φασί τινες, καὶ τὴν τοῦ

cum fratre Michaele in communitate vitæ, atque victus erat: non multo post a servo Michael noctu in lectulo una cum uxore cubans, Romæo nomen erat parricidæ, interimitur. Quare Theodorus frater in dominatu, secum habens Constantinum, & Manuelem fratres succedit. Cum vero ad principatum incumberet, imperii sui jura nimium extendit; namque ex Italis non parvam, ex Bulgaris vero multam regionem suæ ditioni adjecit, sibique Thessaliam, Achrida, Prilapum, Albanum, & Dyrrachium ipsum subegit: ubi Petrum cum ingenti militum vi ex Italia venientem, & quasi Constantinopolim iter intenderet, a Summo Pontifice electum, declaratumque circa eadem loca Imperatorem, Dyrrachio præoccupato fortiter in fugam vertit. Petrus sororem primi ex Latinis Balduini, & successoris illius Erici sibi matrimonio junxerat. Sorori nomen Jolentæ fuit, ex qua tres Petrus susceperat filios Philippum, Robertum, & Balduinum, quorum Robertus, & Balduinus, cum primus eorum frater Philippus Roberto administrandi imperii potestatem fecisset, Constantinopolis regionem tenuerunt. Ex eorum sororibus Maria Theodoro Imperatori copulatur. Porro, quem supra innuimus, Theodorus, exercitu coacto, Petro paululum Dyrrachium prætergresso, & inter Albani angustias adducto sese opponit, ibi Theodori Comneni milites Latinorum copias strenue fundunt, oppressis universis, adeo ut omnes comprehensos vinculis alligarint, impedimenta abripuerint, ipsumque etiam Imperatorem Petrum gladio peremerint. Hac victoria res Romana haud minimum sublevata est.

Edit. Paris. pag. 54.

XV. Verum rursus oratio in Theodorum Lascarim Imperatorem deflectit. Huic ex Anna uxore, ut dixi, filiæ natæ sunt tres Irene, Maria, & Eudocia. Mariam secundam Ungariæ regis Hierosolymis per illius ditionem revertentis filio nuptum dederat, primam Irenem Andronico Palæologo, quem & Despotæ dignitate insigniverat, uxorem locarat: nec multo post Palæologus Despota morte obit, & Imperator eam Joanni Ducæ, Batatzæ cognomine, qui e Didymotæcho ortum duxerat, & hinc Protovestiarii officium administrabat, despondit. Imperatrix Anna antea vitam finierat. Hinc ex Armeniis uxorem accipit Imperator, cui deinceps subiratus in Ciliciam illius patriam remittit, & cum sorore Italorum Principis, Roberto, ut innui, nomen erat, & Erico patruo successerat, nuptias facit. Per Ericum res Romana, & Theodorus Imperator multum detrimenti cepit; cum enim esset fortis, & ad pugnam dum præceps, & audax, videretque Romanos depressos, & potissimum postquam Sultanum Imperator Theodorus letho dedit: tunc enim Italum militem, quo fultus cum suæ nationis hominibus audacter bellum conferebat, & quem Imperator Ericus metuebat, quod in eo & genere nobiles, & irato sibi ingenio viribus valentes conspicerentur, perdidit. Præterea, ut quidam memorant, de Imperatoris victoria certior factus *Lascaris*, exclamat, *victus est*,

A *non vicit*. Sed ne diutius orationem protraham, vel hoc solo res conspicua erit. Edit. Paris. pag. 15. Nymphæum usque, cum nullius adversaretur, castra posuit Ericus, indeque rediens, partim præda parta opimus, ac saturus, partim a laboribus feriari optans, neque enim in sustinendis bellorum certaminibus Latina natio perdurat, cum Imperatore Theodoro fœdus iniit; concordatumque est, Cimeni, sic enim mons Achirao adjacens appellatur, universa, & ipsam Achiraum a Latinis possideri; Calamum vero, id oppidum est, ex quo Neocastrorum thema initium sumit, inhabitatum deseri; quæ sequerentur sub arbitrio esse Imperatoris Theodori, ea erant Neocastra, Celbianum, Chliara, Pergamus, & quæ a latere erant Magidia, & Opsiela. B Præter hæc alius etiam regionis Imperator Theodorus dominabatur, quæ a Lopadio principium habens Prussam, Nicæamque suo ambitu continet. Et sic Theodoro Imperatori res cesserant.

XVI. Sed Ericus licet Italus genere, Romanos tamen, & Byzantinos indigenas placidius, sedatiusque amplectebatur, & ex illis plures inter primates collocaverat, alios inter militem adnumeraverat, plebem vero veluti proprium populum fovebat. Etenim Romanis urbibus Lentianis, ac Pæmaneno expugnatis, viros in illis Martem spirantes, & editis facinoribus singulares præter spem inventos in lucro deputavit. Nam Lentianis non modo custodes aquarum penuria afflixit, verum & C fames adeo excruciavit, ut scutorum, necnon sagulorum pelles comedere compulsi sint, murum etiam machinis admotis solo æquatum, ideoque vaste, ac profunde hiantem unus post alium incendio ligna supergerens per quadraginta dies defenderunt; tandem urbe perdomita, nullus ex defensoribus præter germanum Imperatoris fratrem, & qui exercitui præerat Dermocaitem, & Palæologum Andronicum, cui Irenem filiam Imperator, ut antea diximus, collocaverat, occidit, quin omnibus Ericus in unum convocatis, & in turmas, ac cohortes dissipatis, ducibus ex eodem genere assignatis, omnium principatum Theophilopulo Georgio commisit, & orientalium partium custodiam D demandavit.

XVII. Sub uno Byzantii imperante ad reginam urbium a Summo Pontifice Præsul, ipsi Legatum indigitant, Pelagius nomine Papæ prærogativas omnes referens, ablegatur: namque calceos rubros induebat, neque diversi coloribus indumentis amiciebatur, quinimmo equi sagu- pag. 16. lum, & fræna eodem inficiebantur veneno. Et cum moribus esset immanioribus, fastus, ac insolentiæ plenus, nimium in Byzantinos sæviit. Et propositum a ratione aberrare non videbatur: omnes enim, ut veteri Romæ colla subjicerent, compellebat. Hinc Monachi in carcerem impingi, Sacerdotes in vincula, & templa omnia occludi: nec præter hæc duo tertium statui: etenim vel Papam primum omnium Pontificem faterentur, illiusque inter sacrorum solemnia memoriam face-

A βασιλέως νίκην ἀκηκοὼς ὁ Ἐρῆς. νενίκηνται, ἔφη, ὁ Λάσκαρις, οὐ νενίκηκεν. Ἵνα γοῦν μὴ πολλῷ κατατείνω λόγῳ τὴν ἱστορίαν, τοῦτ᾽ ἂν μόνον εἰπὼν τὸ πᾶν παραστήσαιμι. μέχρι καὶ αὐτοῦ τοῦ Νυμφαίου τὰς σκηνὰς ὁ Ἐρῆς ἐπήξατο, κατ᾽ ἐρημίαν πολλὴν οὐδενὸς κωλύοντος. ἐκεῖθεν τε ὑποστρέψας, τὰ μὲν τοῖς κρατηθεῖσι κορεσθεὶς, τὰ δὲ καὶ ἀνακωχὴν ἐθελήσας λαβεῖν. οὐ γὰρ ἄγαν καρτερικὸν τὸ Λατινικὸν φῦλον ἐν ταῖς μάχαις καθέστηκεν, εἰς ξυμβάσεις ἦλθε μετὰ τοῦ Βασιλέως Θεοδώρου. καὶ συμπεφώνηται, τὰ μὲν τοῦ Καμινᾶ πάντα, οὕτω γὰρ τὸ ὄρος καλεῖται τὸ ἐγγὺς τῆς Ἀχυράους τυγχάνον, μετὰ καὶ αὐτῆς τῆς Ἀχυράους παρὰ τοῦ τῶν Φράγγων μέρους διακατέχεσθαι, τὸν δὲ Κάλαμον, κώμη δέ ἐστιν ὁ Κά- B λαμος, ἐξ οὗ τὸ τῶν Νεοκάστρων ἄρχεται θέμα, μένειν ἀοίκητον, τὰ δὲ ἐντεῦθεν παρὰ τοῦ Βασιλέως Θεοδώρου διακατέχεσθαι. Νεόκαστρα δὲ ταῦτα ἦν καὶ Κελβιανὸν, Χλίαρά τε, καὶ Πέργαμος, καὶ τὰ πλαγίως ἐγκείμενα, Μαγίδιά τε καὶ Ὀψίκια. ὑπῆρχε δὲ καὶ ἄλλη χώρα τῷ βασιλεῖ Θεοδώρῳ ἡ ἀπὸ τοῦ Λοπαδίου ἀρχομένη, καὶ Προῦσαν περιλαμβάνουσα, καὶ Νίκαιαν. καὶ οὕτω μὲν ξυνέβη τῷ βασιλεῖ Θεοδώρῳ τὰ πράγματα.

ις'. Ὁ δὲ εἰρημένος Ἐρῆς, εἰ καὶ Φράγγος τὸ γένος ἐτύγχανεν, ἀλλ᾽ οὖν τοῖς Ῥωμαίοις καὶ ἰθαγενέσι τῆς Κωνσταντίνου ἱλαρώτερον προσεφέρετο, καὶ πολλοὺς εἶχε, τοὺς μὲν τοῖς μεγάλοις τούτου συντεταγμένους, τοὺς δὲ τοῖς στρατιώταις, τὸ δὲ κοινὸν πλῆ- C θος ὡς οἰκεῖον περιεῖπε λαόν. καὶ γὰρ περιγενόμενος τῶν Ῥωμαϊκῶν ἄστεων Λεντιανῶν τε καὶ Πημανηνοῦ, καὶ ἄνδρας τὸν Ἄρην πνέοντας, καὶ ἔργα ψυχῆς γενναίας ἐνδειξαμένους, ἕρμαιόν τι ἐδέξατο εὑρών. Ἐν γὰρ τῷ τῶν Λεντιανῶν ἄστει οὐ μόνον σπάνις ὕδατος τοὺς φυλάττοντας ἐξέκαυσεν, οὐδ᾽ ὅτι καὶ ὁ λιμὸς καὶ σκύτη φαγεῖν αὐτοὺς κατηνάγκασεν τὰ ἀπὸ τῶν ἀσπίδων καὶ ἐφεστρίδων αὐτῶν, ἀλλὰ καὶ τὸ τεῖχος οὐ μικροδιάστατον ταῖς ἑλεπόλεσι καταπεσὸν, μετὰ μεγίστης πυρκαϊᾶς, τεσσαράκοντα ἡμέρας ἐφύλαττον τοῦτο, ἀμοιβαδὸν τῇ πυρκαϊᾷ προσεπισωρεύοντες ξύλα. Κρατηθέντος γοῦν τοῦ ἄστεος, οὐδεὶς ἐξ αὐτῶν ἀπολέλυται, εἰ μὴ μόνος ὁ τοῦ Βα- D σιλέως αὐτάδελφος, καὶ ὁ εἰς ἡγεμόνα τοῦ στρατεύματος τεταγμένος Δερμοκαΐτης, καὶ ὁ Παλαιολόγος Ἀνδρόνικος, ὃν, ὡς ὁ λόγος ἔφθασε δηλῶσαι, καὶ εἰς τὴν θυγατέρα αὐτοῦ Εἰρήνην γαμβρὸν ὁ βασιλεὺς προσελάβετο. πάντας δὲ τοὺς ἄλλους ὁ Ἐρῆς συλλεξάμενος, καὶ κατ᾽ ἴλας συντάξας, καὶ ὁμογενεῖς αὐτοῖς παραδοὺς ἡγεμόνας, ὑπερέχειν δὲ πάντων τὸν Θεοφιλόπουλον Γεώργιον παρασκευάσας τὴν τῶν ἀνατολικῶν μερῶν φυλακὴν αὐτοῖς ἐνεπίστευσε.

ιζ'. Τοῦ δὲ τοῦ Ἐρῆ τῆς Κωνσταντίνου κατάρχοντος, ἀποστέλλεται παρὰ τοῦ Πάπα πρὸς τὴν βασιλίδα τῶν πόλεων Ἀρχιερεὺς, ὃν καὶ Λεγάτον αὐτοί φασι, τοὔνομα Πελάγιος, ἅπαντα τὰ προνόμια τοῦ Πάπα φέροντος. ἐρυθροβαφῆ καὶ γὰρ ὑπεδέδετο πέδιλα, ἐκ τοιαύτης δὲ χροιᾶς καὶ τὰ ἐνδύματα εἶχε, καὶ αἱ ἐφεστρίδες δὲ τοῦ ἵππου, καὶ τὰ χαλινὰ τῷ τοιούτῳ ἐβάπτοντο χρώματι. ἦθος δὲ τυχὼν ἀγριωτέρου, καὶ ἀλαζονείᾳ χρώμενος, πολλὰ δεινὰ ἐνεδείξατο ἐπὶ τοὺς τῆς Κωνσταντίνου οἰκήτορας. καὶ ἡ σκέψις ὡς εὔλογος. ἠνάγκαζε καὶ γὰρ τοὺς πάντας, τῇ τῆς πρεσβυτέρας Ῥώμης ὑποκύψαι ὑποταγῇ. ἐντεῦθεν καθείργνυντο μοναχοὶ, ἱερεῖς ἐδεσμοῦντο, καὶ ναὸς ἅπας ἐκέκλειστο. καὶ ἦν ἐν αὐτῷ δυοῖν θάτερον, ἢ ὁμολογῆσαι τὸν Πάπαν πρῶτον ἀρχιερέα, καὶ τούτου τὴν μνήμην ἐν ἱεροτελεστίαις ποιεῖν, ἢ θάνατον εἶναι τῷ μὴ διαπραξαμένῳ τοῦτο τὸ ἐπι-

τίμιον. τοῦτο εἰς βαρυθυμίαν ἦγε τοὺς οἰκήτορας τῆς Κωνσταντίνου, καὶ μάλιστα τῶν ἄλλων τοὺς πρώχοντας, οἳ καὶ πρὸς τὸν βασιλέα Ερῆν ἀφιγμένοι· ἡμεῖς μὲν, ἔφασαν, ἄλλου γεγονότες γένους, καὶ ἄλλον Ἀρχιερέα ἔχοντες, ἑαυτοὺς τῷ κράτει σου ὑπετάξαμεν, ὥστε σωματικῶς κατάρχειν ἡμῶν, οὐ μήν γε ψυχικῶς, καὶ πνευματικῶς. σοὶ μὲν γὰρ ἐν πολέμῳ ὑπερμαχεῖσθαι τῶν ἀναγκαίων. τῶν δ᾽ ἡμετέρων ἐᾶσαι σεβασμάτων, καὶ θρησκευμάτων, τῶν ἀδυνάτων πάντων καθέστηκεν. ἢ γοῦν λῦσον ἡμῖν τὰ ἐπελθόντα δεινὰ, ἢ ἄφες ὡς ἐλευθέρους ἐν τοῖς ἰθαγενέσιν ἀφῖχθαι. Ταῦτ᾽ εἶπον. κἀκεῖνος μὴ βουλόμενος ἐν στερήσει γενέσθαι τοσούτων καλῶν καὶ ἀγαθῶν ἀνθρώπων, καὶ ἄκοντος τοῦ εἰρημένου Λεγάτου, τοὺς τε ναοὺς ἀνέῳξε, καὶ τοὺς ὅσοι ταῖς εἱρκταῖς ἦσαν κατισχημένοι, μοναχούς τε, καὶ ἱερεῖς ἀπολέλυκε, καὶ τὸν κατασχόντα τότε τὴν Κωνσταντίνου κλύδωνα κατεστόρεσε. πολλοὶ δὲ τῶν μοναχῶν προεξιόντες τῆς Κωνσταντίνου, τῷ βασιλεῖ Θεοδώρῳ προσῆλθον, καὶ αὐτοῖς προστάξει τούτου μοναὶ πρὸς κατοικησιν ἐπιδέδονται, καὶ πρεσβύτεροι δὲ πρὸς τὴν Νίκαιαν ἀπιόντες, οἱ μὲν τῷ Πατριαρχικῷ κλήρῳ συγκατελέγησαν, οἱ δὲ θείοις ἐνασμενίσαντες τοῖς σηκοῖς, ἐλευθέρως ἐβίωσαν. καὶ οὕτω μὲν ἐγεγόνει ταῦτα παρὰ τοῦ βασιλεύσαντος τῆς Κωνσταντίνου Ερῆ.

ιη. Τούτου δὲ τελευτήσαντος, ὁ ἀδελφὸς αὐτοῦ Ρομπέρτος μαλακώτερον εἴχετο τοῖς πράγμασι. τούτου τὴν ἀδελφὴν εἰς γαμετὴν εἰλήφει ὁ Βασιλεύς. οὐ πολλοὶ παρῆλθον ἐνιαυτοὶ, καὶ ἐπεὶ ὁ τῆς Κωνσταντινουπόλεως Βασιλεὺς Ρομπέρτος οὐκ ἔφθασε συζυγῆναι γυναικὶ, παράνομόν τι πρᾶγμα βεβούληται ὁ Βασιλεὺς διαπράξασθαι ἐπὶ τῇ θυγατρὶ αὐτοῦ Εὐδοκίᾳ προσλαβέσθαι τοῦτον γαμβρὸν ᾑρετίσατο· Ενθένδε τοι καὶ ἔρις ἐκ τοῦ τότε πατριαρχοῦντος Μανουὴλ τῷ Βασιλεῖ ξυμβεβήκει, μηδ᾽ ὅλως τῇ τοιαύτῃ ἀθεσμογαμίᾳ συγκατανεύσαντος· Ἀλλ᾽ οὐκ ἔφθασεν ὁ Βασιλεὺς τέρματι δοῦναι τὸ θέλημα· μήπω γὰρ στείλας ταύτην εἰς Κωνσταντινούπολιν, ὡς εὐτρέπιζε, καταλύει τὸν βίον, τὴν βασιλείαν καταλιπὼν τῷ γαμβρῷ αὐτοῦ Ἰωάννῃ τῷ Δούκᾳ. Οὐ γὰρ εἶχεν ἄρρενα παῖδα εἰς ἥβην ἐλθόντα. Οὓς γὰρ δύο ἐκ τῆς βασιλίδος Ἄννης ἐσχήκει ἄρρενας παῖδας, τεθνάναι προὐφθάσαν· ἐκ δὲ τῆς ἐξ Ἀρμενίων εἱρμαμένης, ἓν παιδίον ἄρρεν πεποίηκεν, ὀκταετὴς ἦν, ἡνίκα ὁ Βασιλεὺς καὶ πατὴρ αὐτοῦ ἐτεθνήκει. Διὰ τὸ ἀμοιρεῖν γοῦν αὐτὸν ἄρρενος ἐνήβου γονῆς ὁ ἐπὶ τῇ θυγατρὶ γαμβρὸς αὐτοῦ τῆς Βασιλείας κληρονομεῖ. Ἦν δὲ ὁ Βασιλεὺς Θεόδωρος ὁ Λάσκαρις, ὁπότε τὸ τέλος ἔσχε τοῦ βίου, τῶν μὲν τεσσαράκοντα πέντε ἐτῶν ὑπερέκεινα, ἐλάττων δὲ τῶν πεντήκοντα, βασιλεύσας ἐκ τούτων ἔτη ιη. ἀνὴρ δὲ τὸ σῶμα μικρὸς, οὐκ ἄγαν δὲ, μελάγχρους ἐφεκτικὸν, καθειμένον ἔχων τὸ γένειον, καὶ περὶ τὸ ἄκρον σχιζόμενον, ἐπ᾽ ὀλίγον ἐπιπρόφθαλμος, περὶ τὰς μάχας ὀξὺς, θυμοῦ τε καὶ ἀφροδισίων ἡττώμενος, ἐλευθεριώτερος ἐν ταῖς δωρεαῖς, οἷς γὰρ ἂν βούλοιτο, πολὺ τὸ χρυσίον ἐδίδοτο, ὡς ἐν ἀκαρεῖ τούτους πλουτεῖν. πεπαλαικὼς δὲ πάμπολλα ἐν ταῖς μάχαις ταῖς τε πρὸς Ἰταλοὺς, καὶ τοὺς Πέρσας. Ἀρχὴ γοῦν οὗτος ἐγεγόνει τῆς τῶν Ρωμαίων ἀρχῆς, ᾧ καὶ πολλὴν χάριν ὀφλεῖν τοῖς Ρωμαίοις πάνυ δέον καθέστηκεν· κατετέθη δὲ ὁ νεκρὸς αὐτοῦ ἐν τῇ τοῦ Ὑακίνθου μονῇ, ἔνθα καὶ ὁ βασιλεὺς Ἀλέξιος τέθαπται, καὶ ἡ βασιλὶς Ἄννα ἡ τούτου σύζυγος.

ιθ. Καθὼς γοῦν εἰρήκειν μετὰ τὴν τελευτὴν αὐτοῦ ἐπιλαμβάνεται τῶν Ρωμαϊκῶν σκήπτρων Ἰωάννης ὁ Δούκας, ὁ γαμβρὸς αὐτοῦ, στεφθεὶς παρὰ Πατριάρχου Μανουὴλ, ὃς τὸν Μάξιμον διεδέξατο. μετὰ γὰρ

rent, vel qui id abnuissent, morte penderent pœoam. Hoc Byzantli accolæ, & inter eos primas obtinentes, angi, eacruciarique animo, & ad Ericum Imperatorem profecti, *Nos*, inquiunt, *alio genere orti, aliumque habentes Pontificem nosmet imperio tuo, & potestati subjecimus, itaut & corpora, non & animum, & spiritum dominaveris. Namque in tali defensionem, dum bellum geritur, arma capere necesse est; at nostris ritibus, & cæremoniis cedere fieri omnino nequit: aut itaque nos ab urgenti discrimine libera, aut iam quam liberis ad indigenas aditionem dato.* Sic locutis; ille cum tot probis, optimisque viris privari nollet, etiam invito Legato, renuente, templa reseravit, vinculis, custodiisque circumœnitos Monachos ac Sacerdotes liberavit, & tempestate, qua tunc Byzantium jactabatur, sedavit. Multi vero ea Monachis antequam hæc gererentur, Constantinopoli excedentes, ad Imperatorem Theodorum commigrarunt, quibus, illius mandato monasteria ad habitandum assignata sunt. Et Sacerdotes Nicæam petentes, partim Patriarchali clero adnumerati, partim locis sacris oblectati, libere vitam traduxere. Et hæc quidem hoc modo ab Imperatore Constantinopolit. Erico gesta sunt.

XVIII. Erico fato functo, frater illius Robertus mollius negotiis incumbebat. Hujus soror Imperatori nupserat. Paucis elapsis annis eum Constantinopolitanus Imperator Robertus uxori non esset obnoxius, Imperator impium facinus patrare sibi in animo proposuit, studens eum Eudociæ filiæ alligare, sibique generum assumere. Hinc dissidia inter Manuelem tunc temporis Patriarcham, atque Imperatorem suborta sunt, eum neutiquam adeo infandis nuptiis consensum ille præstaret. Verum Imperator, quod optabat, præstare non potuit. Nondum enim illa Constantinopolim transmissa, dum appararent nuptias, vitam finit, generi suo Joanni Ducæ, imperio relicto: nullum enim habebat puberem filium, namque bini ea Imperatrice Anna suscepti ante obierant, & ea Armenia filius unicus erat octennis, cum pater illius & Imperator vita defecit. Quod itaque ille masculo filio, eoque pubere destitueretur, filię suæ maritus imperii hæres fit. Imperator Theodorus Lascaris annos quinque & quadraginta, & amplius, minor quinquaginta natus excessit e vita, decem & octo regnavit, corpore, sed non nimium pusillus, moderate nigricante, promissa barba, sed quæ in extremis scinderetur, vatiis sed parumper oculis, præceps in prælia, iræ ac veneris impatiens, in muneribus munificentior; quibus enim illi collubitum erat, ingens auri vis donabatur, ut statim opulenti evaderent. Pugnis adversus Italos, & Persas quammaxime conflictatus; prima tamen Romanis imperii ipse fundamenta jecit, cui a Romanis quammaximæ gratiæ habendæ sunt. Sepultus fuit in Hyacinthi monasterio, ubi & Imperator Alexius positus fuerat, & Imperatrix Anna thalami consors.

Edit. Paris. pag. 17.

XIX. Quemadmodum ergo dixi, post illius obitum Romani imperii gubernacula Joannes Ducas, gener illius suscipit, a Manuele Patriarcha, qui Maximo successerat,

coronatus. Namque post Patriarchæ Michaelis excessum Irenicus Theodorus, cui a plerisque Copæ nomen inditum fuerat, in Patriarcham eligitur; post annos sex eo demortuo, Maximus monachus Patriarchale solium ascendit, Gynæceio palpans, ac supparasitans, & vice versa ex eo assentationes, & blanditias aucupans: neque enim aliud eum in tam sublime culmen evexerat, sed post menses sex moritur. Et Manuel in Patriarchali solio collocatur, vere Vir Philosophus, ut apparebat, & a multis eo nomine honestatus.

XX. Sed ad res Bulgaricas redeamus. Primus Bulgarorum rex Asanus duos habuit filios Joannem, & Alexandrum. Itaque Borila, cujus supra mentionem fecimus, regie Bulgaris imperante, Asani filius Joannes fuga se abripiens, in Rusos confugit, ibique per tempus aliquod commoratus, & convenarum Rusorum nonnullis in unum congestis, paternam hæreditatem reposcit, & in Borilam arma suscipit, & vincit, dominusque fit non exiguæ regionis. Borilas Trioobum ingressus septem annos obsidionem sustinet, & cum socii defatigati succumberent, ad Asani Joannem deficiunt, Borilas inde inter fugiendum deprehensus ab Joanne oculis læditur, sicque universa ditione Bulgarorum Joannes potitur. Et hæc quidem de Bulgaris.

Edit. Paris. pag. 18.

XXI. Comnenus interim Theodorus, cujus paulo ante meminimus, proprium ordinem indignatus, & quæ sunt imperii occupans, postquam Thessalonicam in potestatem recepit, non minimam Romanæ ditionis partem, ex ea, quæ suberat Italis, & a Bulgaris intercipiebatur, sibi vindicat, purpureaque chlamyde induitur, & rubris calceis convestitur, obluctante illi in hoc quam strenuissime Constantino Mesopotamita Metropolita Thessalonicensi, quem diris malis, & calamitosis exiliis canonica statuta propugnantem insectatus, misere afflixit; sed Bulgariæ Archiepiscopus Demetrius, tamquam qui, ut ipse fatebatur, sui juris esset, neminique sui facti rationem reddere teneretur, ideoque in ejus potestate esse, quoslibet, & ubicumque, & quandocumque illi libitum fuisset, reges ungere, regio eum diademate coronat. Theodorus ergo Imperator acclamatus, uti Imperatoribus moris est, res disponebat, Despotas, Sebastocratoras, magnos Domesticos, Protovestiarios creabat, & reliquum universum imperatorium ordinem pro nutu dispensabat; cum vero inepte circa imperatoria jura stultus esset, Bulgarico magis, sive potius barbarico more, neque ordinem servans, neque decorem, & si quæ alia sunt in imperatoria aula veneranda decreta negligens, negotiis incumbebat. Hic non parum Joanni Imperatori adversabatur. Quare eum Imperator, ut secundas imperii sibi haberet, suoque uteretur dominatu, in nullo sibi obnoxius concedebat. Ipse firmius, ac validius reluctari.

XXII. Joannes ergo Imperator tum primum sceptris obtentis, & Romaeorum imperium in angustum adductum conspiciens, nec sustinens cum multis aliis imperare, post elapsos duos annos, bellum cum Italis suscipit, & exercitum ex Latinis fortissimum, atque amplissimum conflat, quem Theodori Imperatoris fratres

A τοῦ Πατριάρχου τὴν τελευτὴν Μιχαὴλ, ὁ Εἰρηνικὸς Θεόδωρος, τῷ Πατριαρχικῷ ἐνιδρύεται θρόνῳ, ὃς καὶ Κωπᾶς ὑπὸ τῶν πολλῶν ἐκαλεῖτο, μετὰ δὲ ἐνιαυτοὺς ἓξ ἐκείνου τὸν βίον ἀπολιπόντος, ὁ μοναχὸς Μάξιμος εἰς τὸν Πατριαρχικὸν ἀνάγεται θρόνον, θεραπεύων τὴν γυναικωνῖτιδα, καὶ ὑπὸ ταύτης ἀντιθεραπευόμενος. Οὐδὲν γὰρ ἄλλο ἦν πρὸς ταύτην ἀναβιβάσαν αὐτὸν τὴν περιωπήν. ἐπιβιοὺς δὲ μῆνας ἓξ τελευτᾷ, καὶ ὁ Μανουὴλ εἰς τὸν Πατριαρχικὸν ἀνάγεται θρόνον, φιλόσοφος, ὡς ἐδόκει ὤν, καὶ ὑπὸ πολλῶν κατονομαζόμενος.

κ΄. Ἐπὶ δὲ τὰ Βουλγάρων καὶ αὖθις ὁ λόγος ἀναχωρεῖ. ὁ πρῶτος βασιλεὺς τῶν Βουλγάρων Ἀσὰν, δύο ἔσχεν υἱοὺς τὸν Ἰωάννην, καὶ τὸν Ἀλέξανδρον. Τοῦ γοῦν εἰρημένου Βορίλα
B βασιλικῶς τῶν Βουλγάρων κατάρχοντος, ὁ τοῦ Ἀσὰν υἱὸς Ἰωάννης φυγαδείᾳ χρησάμενος περὶ τὰ τῶν Ῥώσων χωρεῖ. ἐκεῖσέ τε χρόνον ἱκανὸν διαμείνας, καί τινας τῶν συγκλύδων Ῥώσων ἐν ἑαυτῷ περιαγαγὼν, τὴν πατρικὴν ἀνακαλεῖται κληρονομίαν, καὶ πολεμεῖ τῷ Βορίλᾳ, καὶ νικᾷ τοῦτον, καὶ χώρας οὐκ ὀλίγης ἐγκρατὴς γίνεται. Ὁ δὲ Βορίλας ἔνδον εἰσέρχεται τοῦ Τερνόβου, καὶ ἐπὶ ἑπτὰ ὅλοις τοῖς χρόνοις πολιορκεῖται. ἐπεὶ δὲ ἀπέκαμον οἱ συνόντες αὐτῷ, τῷ Ἀσὰν Ἰωάννῃ προσέρχονται. Φεύγων δὲ ἁλίσκεται ὁ Βορίλας, καὶ παρὰ τοῦ Ἰωάννου τυφλοῦται· καὶ οὕτως ἐγκρατὴς τῆς τῶν Βουλγάρων ἁπάσης ὁ Ἰωάννης γεγένηται. Καὶ τὰ μὲν ἐν τοῖς Βουλγάροις τοσαῦτα.

κα΄. Ὁ δὲ Κομνηνὸς Θεόδωρος, ὃν πρὸ μικροῦ ὁ λόγος ἱστόρησεν,
C μὴ θέλων μένειν ἐν τῇ οἰκείᾳ τάξει, ἀλλὰ τὰ τῆς βασιλείας σφετερισάμενος, ἐπειδὰν τῆς Θεσσαλονίκης γέγονεν ἐγκρατὴς, πολλήν τε χώραν τῆς Ῥωμαΐδος ἐκ τῆς κεκρατημένης παρὰ τῶν Ἰταλῶν, ὑφ' ἑαυτὸν ἐποιήσατο, ἔτι δὲ καὶ τὰς παρὰ τῶν Βουλγάρων κεχειρωμένας, πορφυρίδα τε ὑπενδύεται, καὶ ἐρυθρὰ περιβάλλεται πέδιλα, ἀντιστάντος αὐτῷ ἐπὶ τούτῳ στερρότατα τοῦ μητροπολίτου Θεσσαλονίκης Κωνσταντίνου τοῦ Μεσοποταμίτου, ὃν καὶ πολλαῖς κακουχίαις, καὶ ἐξορίαις ὑπέβαλε τῶν κανονικῶν ἐθῶν ἀντεχόμενον. Ὁ δὲ Βουλγαρίας ἀρχιεπίσκοπος Δημήτριος, τὸ βασιλικὸν περιδιδύσκει τοῦτον διάδημα, ὡς ἔφασκεν, αὐτόνομος ὢν, καὶ μηδενὶ εὐθύνας ὀφείλων δοῦναι, καὶ διὰ ταῦτα
D ἐξουσίαν ἔχειν βασιλέας χρίειν, ὡς τε ἂν καὶ ὅπη, καὶ ὅτε βούλοιτο. Βασιλεὺς οὖν ἀναγορευθεὶς ὁ Θεόδωρος, βασιλικῶς ἐχρᾶτο τοῖς πράγμασι, Δεσπότας τε προεβάλλετο, καὶ Σεβαστοκράτορας, μεγάλους τε Δομεστίκους, Πρωτοβεστιαρίους, καὶ τὴν λοιπὴν πᾶσαν τάξιν βασιλικήν. ἀφυῶς δὲ ἔχων περὶ τοὺς τῆς βασιλείας θεσμοὺς, Βουλγαρικώτερον, ἢ μᾶλλον βαρβαρικώτερον ταῖς ὑποθέσεσι προσεφέρετο, οὐ τάξιν γινώσκων, οὐδὲ κατάστασιν, οὐδὲ ὅσα ἐν τοῖς βασιλείοις ἀρχαῖα ἔθιμα καθεστήκασιν. οὗτος οὐ μικρῶς τῷ βασιλεῖ ἀντεφέρετο Ἰωάννῃ. ὁ μὲν βασιλεὺς ἠξίου αὐτὸν τῶν δευτερείων μετέχειν τῆς βασιλείας, καὶ τὰς χώρας αὐτοῦ ἐγκρατῆ εἶναι, καὶ κατ' οὐδὲν ἄλλο ὑπείκειν αὐτῷ. Ὁ δὲ
E ἀντέβαινε στερεώτερον.

κβ΄. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης ἄρτι τῶν σκήπτρων ἐνειλημμένος, καὶ κομιδῇ ἐν στενῷ οὖσαν τὴν τῶν Ῥωμαίων τεθεαμένος ἀρχὴν, οὐκ ἀνεχόμενος ἐν πολλοστοῖς βασιλεύειν, δύο παραδραμόντων ἐνιαυτῶν μάχην ποιεῖται μετὰ τῶν Ἰταλῶν, καὶ συνάγεται στράτευμα Λατινικὸν ἀξιόμαχον, οὗ προεμάχοντο οἱ τοῦ βασιλέως Θεοδώρου

αὐτάδελφοι, οἱ Σεβαστοκράτορες Ἀλέξιός τε καὶ Ἰσαάκιος. οὗτοι καὶ γὰρ ἅμα τὸν βασιλέα αὐτῶν ἀδελφὸν θανεῖν, τὴν θυγατέρα αὐτοῦ Εὐδοκίαν λαβόντες, ἀποδράναι πρὸς τὴν Κωνσταντινούπολιν ἐβουλεύσαντο. Ἀλλὰ τοῦ μὲν σκοποῦ αὐτῶν ἥμαρτον. ἐκεῖνοι δὲ δραπέται ᾤχοντο. Τῆς μάχης οὖν συῤῥαγείσης ἐν τοῖς μέρεσι τοῦ Ποιμανηνοῦ, ὅπου καὶ ὁ ναὸς τοῦ ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων ἐγκαθίδρυται Μιχαὴλ, νικᾷ κατὰ κράτος ὁ βασιλεὺς, τῶν μὲν πλείστων Ῥωμαίων σχεδὸν ἐξηττημένων τὸ πρῶτον, αὐτοῦ δὲ βασιλέως μετ' ὀλίγων πάνυ τὴν νίκην πᾶσαν ἐξειργασμένου. αὐτός τε γὰρ δόρατος ἥψατο, καὶ πολέμιον ἔβαλε, καὶ ἀνδρεῖον ἐν ἐκείνῳ τῷ πολέμῳ φρόνημα ἐνεδείξατο, οὐδὲ τοῖς πρότερον ἀγνοούμενον. ἡ τοιαύτη νίκη εἰς μεγίστην αὔξησιν ἐγεγόνει τῆς τῶν Ῥωμαίων ἀρχῆς, τῶν Ἰταλῶν δὲ συστολὴν καὶ κατάπτωσιν. τοὺς μὲν γὰρ ζωγρείας τοὺς κρείττους αὐτῶν ἐν τῷ τοιούτῳ πολέμῳ ὁ βασιλεὺς κατέσχεν, ἀλλὰ δὴ καὶ τοὺς αὐταδέλφους Λασκάρεις, οὓς τυφλοῖ ἐπαιτίους εὑρών. Ἄλλοι δὲ ξίφους ἔργον ἐγένοντο, οἱ δὲ μὴ συνιόντες τῷ πολέμῳ δειλίᾳ κάτοχοι ἐγεγόνεισαν. καὶ μέρος δὲ τῶν Ἰταλῶν τὸ τῶν Σεῤῥῶν κάστρον, τῷ τότε πολιορκοῦν ὑπὸ τοῦ Κομνηνοῦ Θεοδώρου δεσποζόμενον, ἐπεὶ τὴν τῶν οἰκείων τοιαύτην ἐπέγνωκεν ἧτταν, ἀπέδρα ἐλευθέρας τὰς Σέῤῥας καταλιπόν. ἐς μικρὸν γὰρ αὐτῷ κομιδῇ τοῦ ἁλῶναι ἦλθον. ἐντεῦθεν τὰ τῶν Ἰταλῶν ἔνθεν κἀκεῖθεν διαιρούμενα κατά τε τὴν ἕω καὶ τὴν ἑσπέραν, καὶ ἰσχυροῖς ἀντιπάλοις προσπταίοντα τούτῳ βασιλεῖ Ἰωάννῃ, καὶ τῷ Κομνηνῷ Θεοδώρῳ, βασιλεῖ φημιζομένῳ καὶ τυποῖ ἀπήρχοντο καταπίπτειν. Αὐτίκα γοῦν ὁ βασιλεὺς Ἰωάννης ἐπειδὰ τοὺς Ἰταλοὺς ἐν τῷ εἰρημένῳ τόπῳ καταλελύκει, τὰ ὑπ' ἐκείνων κρατούμενα τῶν Ῥωμαίων ἐπολιόρκει φρούρια, καὶ ἤλωσε ταῦτα, μαλακῶς τελοῦντος τοῦ βοηθήσοντος. μέχρι μὲν γάρ τινος οἱ ἐν τοῖς φρουρίοις ἀντείχοντο. Ὡς δὲ χρονιωτέρους ἐποίει τὰς πολιορκίας ὁ βασιλεὺς, μάλιστα δὲ καὶ παρακαιρίους, οὐ γὰρ ἐν ἔαρι, ἢ θέρει, ἢ μετοπώρῳ, ἀλλ' ἐν μέσῳ χειμῶνος τὰς ἐφόδους ἐποιεῖτο, ἑλεπόλεις τε συνίστα, καὶ τὰς ἐπάλξεις κατέβαλλεν, ἀποκάμνοντες οἱ ἐντὸς, τὰ μὲν παρεδίδουν ὅρκοις τὴν ζωὴν ἐξωνούμενοι, ἐκ δὲ τῶν ἔπιπτον μάχῃ καὶ καθείργνυντο ὡς δεσμῶται. ἑάλω γοῦν ὑπὸ τοῦ βασιλέως Ποιμανηνὸν, Λεντιανὰ, Χαρίορος, Βερβενίακον. Ὁ γοῦν βασιλεὺς Ἰωάννης παντοίως τοῖς Λατίνοις μαχόμενος, τριήρεις τε κατεσκεύασε, καὶ περὶ τὸν Ἑλλήσποντον ταύτας ἔστησεν ἐν τόπῳ, ὃς Ὁλκὸς ὀνομάζεται, καὶ ἦν πολλὰ παρέχων αὐτοῖς πράγματα, κατὰ δύσιν ὁρμώμενος, καὶ λείαν τὰ ἐκείνων ποιούμενος, πορθῶν τε τὸ τῶν Μαδύτων ἄστυ, καὶ τὴν Καλλίουπολιν, καὶ τὰ παραιγιάλια πάντα τοῖς Ἰταλοῖς ὑπόφορα ὄντα.

κγ'. Ἐν τούτοις δὲ ὄντος τοῦ βασιλέως Ἰωάννου, καὶ ἀκρατῶς μαχομένου τοῖς Ἰταλοῖς κατά τε χέρσον καὶ θάλασσαν, σκευωρεῖται τούτῳ ἐπιβουλή. Ὁ δὲ ταύτην συστησάμενος πρωτεξάδελφος ἦν τοῦ βασιλέως ὁ Νεστόγγος Ἀνδρόνικος. Οὗτος δὲ καὶ τὴν τῆς συγγενείας χάριν παρ' οὐδὲν θέμενος, καὶ τὸν τῆς φιλίας ἀποῤῥήξας δεσμὸν, ἀνταρσίαν κατὰ τοῦ πρωτεξαδέλφου βασιλέως βεβούλευται, ἔχων τε συνεργὸν εἰς τοῦτο τὸν ἀδελφὸν Ἰσαάκιον, καὶ ἑτέρους τῶν ἐπιφανῶν οὐκ ὀλίγους, τόν τε Φιλαμμούλιον, ὃν μέγαν ἑταιρειάρχην ὁ βασιλεὺς τετίμηκεν, τὸν Ταρχανειώτην Συναδηνὸν, τὸν ἐπ' ἀδελφῇ τούτου γαμβρὸν Σπασηνὸν, τὸν

germani Sebastocratores Alexius, atque Isaacius deducebant. His enim, statim atque Imperator eorum frater mortem oppetiit, illius filia Eudocia surrepta, Constantinopolim secedere in animo fuit. Sed spe frustrati fugiant. Ergo apud Poemaneonum, ubi & cælestium virtutum militiæ Divo Michaeli templum positum est, commisso prælio, vi, armisque superat Imperator marte ambiguo, primum quidem potiori Romanorum parte debellata; sed Imperatore deinceps cum paucis admodum insignem victoriam adepto. Ipse etenim hastam contorsit, hostem confodit, & magnas cogitationes in bello, quod & antiquioribus minime ignotum fuerat, commonstravit. Victoria hæc, mirum est, quantum res Romanas sublevaverit, Italas imminuerit, ac depresserit. Italorum enim præstantissimos quosque viros in eo conflictu cepit, fratres itidem Lascarides, quos criminis convictos luminibus spoliavit: alii gladio internecati sunt; qui vero pugnæ non affuere timore perciti hæsere. Itali etiam eo temporis Serrarum castellum prementes, ubi suos debellatos esse agnoverunt, Serris liberis derelictis fuga sibi consuluerunt, cum parum abfuisset, quin ab ipsis expugnarentur. Exinde res Itala hinc atque illinc per Orientem, ac Occidentem divulsa, & valentiores nacta adversarios Imperatorem Joannem, & Theodorum Comnenum, ipsum etiam Imperatorem vocitatum cadere cœperat. Statim itaque Joannes Imperator dicto in loco Italis expugnatis, ab illis Romanorum oppida oppressa obsidione tentare, & auxilio, opeque destituta expugnare: paulum enim qui in oppidis erant, obsistere; sed cum diuturnioribus, & potissimum intempestivis (neque enim vere, aut autumno, aut æstate, sed hyeme media irruptiones faciebat, admovebat machinas, & propugnacula dejiciebat) obsidionibus urgeret, qui in illis erant, defatigati ea, jurejurando vitam redimentes, dedere, plerique etiam ex his pugna periclitantes oppressi, tamquam captivi mancipati. Sic ab Imperatore Poemanenum, Lontiana, Chariores, Beerbeniacum expugnata sunt. Joannes ergo Imperator undique bellum in Latinos commovens triremes compegit, pergitque in Hellespontum, ubi Holco nomen est, quibus molestus erat, atque negotiosus in occasum irrepens, fortunas uniuscujusque, & bona depopulans, inter ea & Madytarum urbem, & Calliupolim, & oram maritimam Italis tributariam deprædatur.

Edit. Paris. pag. 19.

XXIII. Cum hæc ageret Imperator Joannes, acribusque Italos præliis terra, marique divexaret, insidiæ vitæ illius parantur. Facinoris auctor erat Nestongus Andronicus Imperatoris consobrinus, is arctissimæ affinitatis conjunctione neglecta, spretisque amicitiæ juribus in consobrinum suum Imperatorem conjurat, conjurationis consorte fratre Isaacio, & non paucis ex proceribus, nec deerant sceleris participes Phlamulius magni Hetæriarchæ dignitate, beneficio Imperatoris condecoratus, Synadenus Tarchaniota sororis

Edid. Paris. pag. 20.

illius maritus, Stasenus, Macrenus, aliique quamplurimi. Cum vero per multos dies conjuratio protraheretur, Lampsaci degens Imperator conatus conspirantium rescivit, & triremibus, ne ab Italis occuparentur concrematis, bello domestico magis, quam externo invigilandum ratus, inde digressus Achiraum proficiscitur; ibique quæstionem, ut consortes sceleris indicarentur, habet: & conjurati omnes convicti, condemnatique sunt. Attamen Imperator humaniorem se præbens, Nestongum Isaacium lumine, & manu mutilat, Macrenum quoque: sæpius enim cum a tergo Imperatoris esset, & gladium stringere, & vulnus infligere lethale tentasse deprehensus est: alios itidem mitioribus pœnis mulctavit, plurimos ad tempus detrusit in carceres, & ipsum conspirationis auctorem, & imperium affectantem Nestongum Andronicum, Magnesiæ in arcem relegavit. Sic amotis illecebræ ab illis malefaciendo Imperatorem abstraxere. Nestongus paulo post aufugit, ut quidam tradunt, annuente Imperatore, qui illum liberius vagari posse præceperat, ut quodam modo salutem suffuratus esse videretur. Noctu ille in fugam conjectus, Musulmanos convenit, inter quos ad extremum vitæ exitum, ætatem duxit. Hinc Imperator attentius rebus advertere, omnibus ad se adeundi facultatem, qua prius utebantur liberiore, coercere, custodes, ac vigiles, qui noctu, interdiuque se, ac rationes suas defenderent, addere; sed omnium maxime Imperatrix Irene moribus, ac ingenio mascula, & cum omnibus magis regie, quam par erat, conversans ad conservandum eum incumbere. Itali interim cum Imperatore concordiam confirmare volentes castro Pegarum cessere: sicque cum eis Joannes Imperator pacem composuit, cum ad Austrum omnibus renuntiassent, sed adhuc, quæ circa Boream affinia Constantinopoli erant, urbique Nicomediensi proxima retinerent.

XXIV. Contigit etiam illud prius. Adrianopolitani cives legationem ad Imperatorem obeunt, ut exercitu ad eos convecto, servitute Italica liberet. Ille Isem Protostratora cum copiis misit, militiæ consors erat Joannes Camytzes. Hi Hellesponto adnavigato, per Macedoniam iter facientes Adrianopolim veniunt, urbemque ingressi stativa habuere; certa vero spes Imperatori Joanni inhæserat, reliquorum etiam adjacentium locorum dominatum habiturum. (pag. 21.) Verum Theodorus Comnenus, de quo nos supra diximus, vicinis omnibus potitus, præter Rhodopes montem, cui & Achrido nomen est, & in eo oppida, & Melenium, quibus Sthlavus Asani regis affinis, & ab Imperatore Constantinopolitano Erico, cujus filiam e pellice susceptam sibi matrimonio junxerat, Despotæ munere decoratus dominabatur. Sthlavus hic, ut seriem orationis paulum abrumpam, castro Melenico potitus, valido illo quidem, & hostibus inexpugnabili, suo ipse jure utebatur, nemini vicinorum Principum obnoxius; quandoque enim Italis, affinitate cum eis coactus, auxilio erat, quandoque Bulgaris generis fretus conjunctione, quandoque etiam Theodoro

A Μακρηνὸν, καὶ ἄλλους εἰς πλῆθος τὸν ἀριθμόν. ἐγένετο δὲ ἡ ἐπιβουλὴ πολυήμερος. Ἐν τῇ Λαμψάκῳ δὲ διάγων μανθάνει ταῦτα. πυρὶ δοὺς τὰς τριήρεις καταναλώσας, ἵνα μὴ τοῖς Ἰταλοῖς ὑπὸ χεῖρα γένοιντο, καὶ ἀναγκαιότερον τὸν ἔσωθεν πόλεμον κρίνας τοῦ ἔξωθεν, ἀπάρας ἐκεῖθεν περὶ τὴν Ἀχυράους ἀφίκετο, κἀκεῖθεν τὴν ἐξέτασιν τῆς ἐπιβουλῆς ἐποιήσατο, καὶ ἅπαντες οἱ συνωμόται πάντες ταῖς δίκαις ὑπεύθυνοι. Ἀλλ' ὁ βασιλεὺς φιλανθρωπότερον τοῖς νόμοις ἐχρήσατο, καὶ τὸν μὲν Νεστόγγον Ἰσαάκιον τυφλώσει καταδικάζει, καὶ χειροκοπείᾳ, ὡσαύτως καὶ τὸν Μακρηνόν. ἐξελήλεγκτο γὰρ ὡς πολλάκις ἐφώρμησε κατόπιν αὐτοῦ τυγχάνων τοῦ βασιλέως, ἐφελκύσαι τὴν σπάθην, καὶ καταρράξαι καιρίαν· B καὶ ἄλλους δέ τινας μικραῖς ποιναῖς καθυπέβαλε, τοὺς δὲ πλείστους ἀφῆκεν, εἱρκταῖς μέχρι τινὸς περικλείσας, καὶ αὐτὸν δὲ τὸν πρωτουργὸν τῆς ἐπιβουλῆς τῆς καὶ βασιλείας ἐφιέμενον τὸν Νεστόγγον Ἀνδρόνικον ἐν τῷ φρουρίῳ τῆς Μαγνησίας συνέκλεισε. Τοσοῦτον ἡ τῆς ἀγάπης σχέσις τὸν βασιλέα τοῦ κακοποιῆσαι τοῦτον ἐκώλυσεν, ὃς καὶ μετ' ὀλίγον ἀπέδρα, ὡς μέν τινες ἔφασκον θελήσει τοῦ βασιλέως ἐλευθεριώτερον βαίνειν τοῦτον παρακαλεσαμένου, καὶ οἷον κλέψαι τούτου τὴν σωτηρίαν βουλευσαμένου. ὃς καὶ νυκτὸς φυγὼν περὶ τὰ τῶν Μουσουλμάνων ἐφώρμησε, καὶ διῆγεν ἐκεῖσε μέχρι τῆς αὐτοῦ τελευτῆς. ἐντεῦθεν ὁ βασιλεὺς προσεκτικώτερον ἐχρῆτο τοῖς πράγμασι, καὶ τὴν προτέρας ἐλευθεριότη- C τος οὐκ ἀντεποιεῖτο, φύλακάς τε περὶ αὐτὸν ἔστησε καὶ φρουρούς, νύκτωρ τε καὶ μεθ' ἡμέραν τοῖς ἐκείνου προσέχοντας· μάλιστα δὲ περὶ ταῦτα συνέτεινεν ἡ βασιλὶς Εἰρήνη, ἀρρενωπότερον τὸ ἦθος ἔχουσα, καὶ τοῖς πᾶσι βασιλικώτερον ἐντυγχάνουσα. Εἰς συνθήκας δὲ θελήσαντες ἐλθεῖν οἱ Ἰταλοί, ἀπέλυσαν πρὸς τὸν βασιλέα καὶ τὸ τῶν Πηγῶν ἄστυ. καὶ οὕτω δὴ μετ' αὐτῶν ὁ βασιλεὺς Ἰωάννης εἰρήνευσε, πάντων τῶν πρὸς νότον ὑποχωρησάντων αὐτῷ Λατίνων, ἔτι δὲ κρατούντων πρὸς Βορρᾶν τὰ πλησίον ὄντα τῆς Κωνσταντινουπόλεως, καὶ τῇ τῆς Νικομήδους πόλει ἐγγίζοντα.

κδ'. Συνέβη δέ τι πρὸς αὐτοῖς καὶ τοιοῦτον. Οἱ γὰρ τῆς Ἀδριανουπόλεως οἰκήτορες πρεσβείαν πρὸς τὸν βασιλέα ἐστείλαντο, ὅπως ἀποστείλῃ πρὸς αὐτοὺς στράτευμα, καὶ τῆς Ἰταλῶν ἐλευθερώσει χειρός. ὁ δὲ τὸν Πρω- D τοστράτορα Ἰσῆν, στράτευμα δοὺς αὐτῷ, ἐξαπέστειλε. συνῆν δὲ αὐτῷ καὶ ὁ Καμύτζης Ἰωάννης, οἳ καὶ διαπεράσαντες τὸν Ἑλλήσποντον, καὶ διὰ τῆς Μακεδονίας διελθόντες, εἰς Ἀδριανούπολιν ἀφίκοντο. Ἐντὸς δὲ γενόμενοι τῆς πόλεως διῆγον ἐκεῖσε. ἐλπὶς δὴ ἦν τῷ βασιλεῖ Ἰωάννῃ διὰ ταῦτα τῶν πέριξ ἐγκρατεῖ γενέσθαι. ἀλλ' ὁ Κομνηνὸς Θεόδωρος, ὃν φθάσας ὁ λόγος ἐδήλωσεν, τῶν ἐγγὺς πάντων γενόμενος ἐγκρατής, πλὴν μέντοι τοῦ τῆς Ῥοδόπης ὄρους, ὅπερ καὶ Ἀχριδὼς ὠνόμασται, καὶ τῶν ἐν τούτῳ ἀστέων, καὶ τοῦ Μελενίκου. Τούτων γὰρ ἦρχεν ὁ Ἀσθλάβος, προσγενὴς ὢν τοῦ βασιλέως Ἀσάν, καὶ δεσπότης τετιμημένος ὑπὸ τοῦ βασιλέως Κωνσταντινουπόλεως Ἐρρῆ, οὗ καὶ τὴν θυγατέρα ἐκ παλλακῆς αὐτῷ γε- E γεννημένην ἠγάγετο εἰς γυναῖκα. Οὗτος δὴ ὁ Ἀσθλάβος, ἵνα μικρόν τι τὸν εἱρμὸν τοῦ λόγου διέλωμαι, φρούριον τὸ Μελένικον ὡραῖον ὀχυρόν, καὶ σχεδὸν πᾶσιν ἐναντιουμένοις ἀνάλωτον, αὐτοκρατὴς ἦν, μηδενὶ τῶν πέριξ ἀρχόντων ὑποπίπτων. Ἐνίοτε μὲν γὰρ Ἰταλοῖς, ὑπῆρχε σύμμαχος ἐκ κήδους αὐτοῖς συναγόμενος, ἐνίοτε δὲ Βουλγάροις ἐκ συγγενείας ὁμοφρονῶν, ἐνίοτε δὲ τῷ Κομνηνῷ Θεοδώρῳ. Καὶ ἦν οὐδέποτέ τινι οὕτω

ὑπο-

ὑποπιαζόμενος, οὔτε εἰς ἀληθῆ πίστιν, καὶ ὁμοφροσύνην ἐρχόμενος. οὗτος συνεζύγη μετὰ θάνατον τῆς αὐτοῦ γαμετῆς ἡ τοῦ Πετραλίφα θυγάτηρ τοῦ γυναικαδέλφου τοῦ Κομνηνοῦ Θεοδώρου. περὶ ἧς παρακατιὼν ὁ λόγος ἐρεῖ. ἄνευ μέντοι, καθὼς εἰρήκειν, τῶν ὑποπιπτουσῶν τῷ τοιούτῳ Ἀθλάβῳ χωρῶν, τὰ πάντα ὑπὸ τὸν Κομνηνὸν ἐγεγόνει Θεόδωρον. ἐπεὶ γοῦν Μοσυνόπολις, καὶ Ξάνθεια, καὶ ἡ Γρατζιάνους αὐτὴ ὑπὸ τοῦτον ἐτέλει, τὸ τῆς Σταγείρας ὑπερβὰς ὄρος, ὃ δὴ Μάκρην ὀνομάζουσιν οἱ πολλοί, τὰ ἐκεῖθεν τοῦ Εὔρου κατέδραμεν, ἄνετα εὑρὼν πάντα, καὶ μηδενὶ φρουρίῳ περιπεφραγμένα. ἔνθεν τοι καὶ περὶ Διδυμότειχον γεγονὼς ἐν οὐ πολλῷ χρόνῳ Βασιλεὺς ἐπεφημίζετο τούτων. ἀφικόμενος δὲ καὶ περὶ τὴν Ἀδριανούπολιν εὗρεν ἐντὸς τὸν δηλωθέντα Ἰσῆν τὸν Πρωτοστράτορα, καὶ τὸν Καμύτζην μετὰ τοῦ στρατεύματος τοῦ Βασιλέως Ἰωάννου. Ἀπατηλοῖς δὲ λόγοις τοὺς οἰκήτορας ὑπελθών, ὡς πλουτίσειε τούτους ἄκρως καὶ τῶν ἄλλων Ῥωμαίων ὑπερυψώσειε, πείθει τὸ μὲν τοῦ Βασιλέως ἐξαγαγεῖν στράτευμα ἔξω, αὐτὸν δὲ εἰσαγαγεῖν. ἐξάγεται οὖν ὁ Πρωτοστράτωρ Ἰσῆς, καὶ ὁ Καμύτζης μετὰ τοῦ συνόντος τούτοις στρατεύματος, ἐπὶ ὅρκοις τοῦ μή τινα παθεῖν τούτων δεινόν τι. ἐξελθόντες οὖν, ὁ μὲν Πρωτοστράτωρ οὐδ᾽ ὅλως τὸν Κομνηνὸν Θεόδωρον τεθέαται. Τοῦτο γὰρ δὴ αὐτοῖς συμπεφώνηται. Ὁ δὲ Καμύτζης συντυχὼν αὐτῷ, οὐκ ἀπέβη τοῦ ἵππου, οὐδ᾽ ὡς Βασιλεῖ προσεκύνησεν. εἰς ὃ βαρυθυμήσας ὁ Κομνηνὸς Θεόδωρος, ἐβούλετο γὰρ ὡς βασιλέα ἐκεῖνον πάντας ἔχειν Ῥωμαίους, ἐπείπερ καὶ ὡς Βασιλεὺς ἐφημίζετο, ὕβρεις τε κατέχεε τἀνδρός, καὶ μικροῦ ἂν καὶ πληγὰς ἐπέθετο. τοῦτο τῷ Καμύτζῃ ἀφορμὴ ἐγεγόνει πρὸς τὸν Βασιλέα τιμῆς. ὡς γὰρ αὖθις τὸν Ἑλλήσποντον διεπέρασεν, καὶ πρὸς τὸν Βασιλέα ἀφίκοντο, μέγας Ἑταιρειάρχης διὰ ταῦτα ὁ Καμύτζης τετίμηται. Ὁ Κομνηνὸς οὖν Θεόδωρος ἐγκρατὴς καὶ τῆς Ἀδριανουπόλεως γεγονώς, πολλὰ παρέσχε τοῖς Ἰταλοῖς πράγματα. κατέδραμε γὰρ πάντα τὰ ὑπ᾽ ἐκείνων κρατούμενα, καὶ μέχρι καὶ αὐτῆς τῆς Βιζύης γενόμενος τὸ ἔξω κατέσχε τοῦ ἄστεως, καὶ λείαν πολλὴν ἐκεῖθεν ἐποιήσατο, καὶ μέχρι καὶ τῶν πυλῶν τῆς Κωνσταντίνου κατήντησε, καὶ πτοίαν πολλὴν τοῖς Λατίνοις ἐνέβαλε. Τότε δὴ καὶ ὁ Ἀσὲλ δεκᾶς, ὃς τῇ θυγατρὶ τοῦ Βασιλέως Θεοδώρου τοῦ Λασκάρεως συνεζύγη, ὑπό τινος τοῦ Κομνηνοῦ Θεοδώρου δόρατι ἐπλήγη τὸν τράχηλον. καὶ ἦν ὡς ἔδοξε τὰ τῆς βολῆς ἐκείνης θανάσιμα. Ἀλλ᾽ ὑπό τινος τῶν ἰατρῶν τεθεράπευται. Ἦν δὲ τὸ ἀπὸ τοῦδε τραχυτέρα αὐτῷ ἡ φωνή, καὶ οὐκ εὐχερῶς οἱ τοῦ τραχήλου στρεφόμενοι σπόνδυλοι.

κε΄. Οὕτως οὖν ἐπαυξήσας τοῖς πράγμασιν ὁ Κομνηνὸς Θεόδωρος ἐπειδὴ ὁμορῶν ἐγεγόνει τοῖς Βουλγάροις, εἰς σπονδάς τε συνῆλθε τῷ Βουλγάρων βασιλεῖ Ἰωάννῃ τῷ Ἀσάν, ὃν φθάσας ὁ λόγος εἴρηκε, μετὰ τὸν Βοερίλαν βασιλεῦσαι τῶν Βουλγάρων, καὶ συγγένειαν μετὰ τούτου πεποίηκε, προσλαβόμενος ἐπὶ τῷ ἀδελφῷ αὐτοῦ Μανουὴλ τὴν θυγατέρα αὐτοῦ Μαρίαν, ἥτις ἐκ παλλακῆς ἐκείνῳ γεγένηται. Ὁ μὲν οὖν Ἄγγελος Θεόδωρος τὰς μετὰ τοῦ Ἀσὰν Ἰωάννου σπονδὰς διαλύσας, οἷα ἐκεῖνος ἀνὴρ θρασύτερος καὶ ἀτακτότερον φερόμενος οὐ μόνον ἐν βασιλείοις, ἀλλὰ καὶ ἐν πᾶσιν ἁπλῶς τοῖς πολιτικοῖς, καὶ θαμὰ παραβαίνων τοὺς ὅρκους, καὶ παρασπονδῶν, τοῖς ἐν γειτόνων τῶν Βουλγάρων χωρεῖ, πολλὴν συναθροίσας τὴν στρατιὰν ἔκ τε Ῥωμαίων συγκεκροτημένην καὶ Ἰταλῶν. Παραμείψας οὖν τὴν Ἀδριανοῦ περὶ τὰ ἄνω τοῦ Εὔρου τὴν πορείαν ἐποιεῖτο, ζητῶν μετὰ Βουλγάρων συρρῆξαι πόλεμον. Ἐζήτει δὲ ἄρα τὸν αὐτοῦ ὄλεθρον. ἐδόκει δὲ γὰρ ὡς οὐδ᾽ ὅλως

Comneno, nemini umquam se, neque subdens, neque pacem conciliatam vere servans, neque assensus sustinens, illi, post elatam uxorem Petraliphæ Theodori Comneni uxoris fratris filia nupserat; de qua infra dicetur. Præter itaque urbes Sthlavo tributarias, reliqua omnia Theodoro Comneno subdebantur. Et cum Mosynupolis, Xanthia, Gratianus sub eo essent, Stagiræ monte, quem Macrem vulgus nominat, decurso, Hebri ea ea parte omnia aperta, atque incustodita, nec castello ullo munita excurrens, & Didymotchœchum appellens, non multos post dies rex eorum acclamatur; & Adrianopolim usque perveniens, in ea dictum Isem Protostratora, & Camytzem cum imperatoris copiis reperit, & fallacibus, ac captiosis sermonibus cives decipiens, opibus nempe, fortunis, dignitatibus, aliisque Romanos cæteros quam maxime sui causa superaturos, persuadet Imperatoris militem ejicere, suum admittere. Quare Protostrator Ises, atque Camytzes cum exercitu pelluntur, cum cives se prius jurejurando alligassent, nemini damnum illaturos. Pulsi, Protostrator Comnenum Theodorum nec vidit quidem, namque ita convenerunt, Camytzes eum illi occurrisset, neque equo descendit, neque uti decet Imperatorem adorarit. Quare ira incitatus Theodorus, volebat enim se ab omnibus Romanis Imperatorem agnosci, cum & Imperator diceretur, gravissimis injuriis virum cumulat, parumque absuit, quin etiam plagas infligeret. Hoc Camytzæ, ut ab Imperatore honores consequeretur, in causa fuit; nam ut rursum Hellesponto præterlapso ad Imperatorem accessere, magnus Hetæriarchæ, non aliam ob causam Camytzes efficitur. Comnenus itaque Theodorus Adrianopoli occupata non minimum res Italas turbavit, quæ enim illi tenebant, omnia adortus, & Byzantium ipsam usque profectus, quidquid extra urbem erat, pro arbitrio duxit, & opima præda auctus, ad fores Byziæ, ingente Latinis timore injecto, pervenit. Tunc temporis, & Afeldecae filiæ Imperatoris Theodori Lascaris maritus, ab iis, qui cum Comneno Theodoro erant, hasta jugulum feritur, vulnusque lethale judicatum, a perito tandem medico sanatur. Ex hinc postea erat vox asperior, nec colli vertebræ, ut antea flexu faciles.

Edit. Paris. pag. 22.

XXV. Sic ergo rebus prospere gestis Theodorus Comnenus, cum suo imperio fines iidem essent, ac Bulgaris, fœdus cum Bulgarorum rege Joanne Asano, qui, ut dixi, post Borilam Bulgaris præerat, init: illiusque filia Maria ex pellice suscepta fratri suo Manueli desponsata affinitate conjungitur. Sed enim Angelus Theodorus cum Asano Joanne conditionibus, ac pactionibus perturbatis, cum audacior esset, atque inordinatius non solum in regia, sed in aliis negotiis civilibus sese immisceret, sæpeque jusjurandum negligeret, fidemque violaret, in affines Bulgaros pedem movet, & ex Romanis, atque Italis ingentem militem exaggerat, & Adrianopolim prætergressus in superiorem partem Hebri agmine ducto, cum Bulgaris poscebat, sed exitium sibi quærens, acie confligere. Videbatur enim sibi Bulgaros timore percitos, nequaquam, vel solum

sibi exercitus imperium sustinere. At non sic Bulgari, sed Asanus Joannes perfidia, ac fœdere ab Angelo Theodoro fracto potius, quam propriis viribus fretus, parva sibi auxiliari manu e Scythis conducta, nec numero quidem millenis confidentius in conflictum agebatur, signo etiam militari, ut a nonnullis memoriæ proditum est, jurejurando Theodori scripto appenso. Et forte circa locum Hebro proximum, quem Clocotinitzam appellant, milites adversis signis irruunt, & ut verbo singula exprimam, debellatur a Bulgaris, & Scythis Theodorus, & ab hostibus, una cum eo non pauci illius affines, & dignitate conspicui, & illustres viri, eorum supellectile a Bulgaris depopulata, capiuntur. Asanus cum multitudine capta humanius se gerens, potiorem copiarum partem, & eos præcipue, qui humili loco nati convenerant liberat, inque eorum oppida, ac urbes dimittit, seu ex humanitate id gereret, seu ut hac ratione utilia sibi comparans, & commodis suis apta disponeret; eorum namque dominium sibi defectionis tempus circumspectans, moliebatur. Votique compos effectus est: quippe quos ipse persequebatur, marte incruento colla omnes subdebant, illi etiam se submisit Adrianopolis, non multo post Didymotechum, Bolerum totum, deinceps Serræ, Pelagonia, Prilapus, & loca contermina. Magnam item Blachiam excurrit, Elbanumque occupat, & usque Illyrium rapinis omnia vastat. Cum vero quæ sibi animo proposuerat, majori ex parte complesset, disposuissetque pro arbitrio, patrias repetiit sedes, & castellis nonnullis in custodiam, ac dominium Romanorum relictis, plerisque sibi reservatis, milites in illis, ac Duces, Quæstoresque, qui vectigalia, & tributa exigerent, constituit; judicatusque est ab omnibus tunc temporis admirabilis, & tute fortunatus; neque enim in domesticos gladio sævlit, neque Romanorum se cædibus polluit, ut qui ante eum Bulgaris dominabantur, sueverant. Hinc non a Bulgaris modo, sed Romanis, aliisque gentibus charus, ac intimus habebatur.

Edit. Paris. pag. 23.

XXVI. Theodorus Angelus, ut dixi, una cum aliis affinibus, & viris illustribus ab Asano spolium factus in custodiam conjicitur, cui Asanus prolixe ac benigne, & ad multum tempus favebat. Sed cum domi novis rebus inhiare deprehendisset, lumine privat. Frater illius Manuel Angelus, Despotæ dignitate a fratre cohonestatus, fugam meditatus, cum Romanus miles terga verteret, Thessalonicam reversus Despota vocabatur, illius & locorum adjacentium dominus, scriptionesque suas purpueris characteribus consignabat, in quem & Joannis Imperatoris Legatus non inurbana dicacitate jactavit. In eum scilicet magis aptari posse, quod de Christo in Psalmis legitur, *Te regem & Despotam*. Et ex tempore Angelus Manuel reliquorum in occidentali plaga oppidorum, ac urbium dominus habebatur, a Bulgaris nulla molestia lacessitus, dum ejus matrimonium cum Asani filia vigeret.

XXVII. Verum in Byzantinos Italos rursus orationis seriem convertamus. Constantinopolitani, cum ut ante narra-

A οἱ Βούλγαροι ὑποπτήξαντες τὴν ὁρμὴν καὶ μόνην τῆς στρατιᾶς αὐτοῦ ὑπεστάλησαν. οὐχ ὕπο δὲ καὶ οἱ Βούλγαροι, ἀλλ' ὁ Ἀσὰν Ἰωάννης τῆς ἐπιορκίας καὶ τῆς παρασπονδήσεως τοῦ Ἀγγέλου Θεοδώρου μᾶλλον τεθαρρηκώς, ἢ ταῖς σφετέραις δυνάμεσιν, ὀλίγον τι συμμαχικὸν ἀπὸ Σκυθῶν εἰληφώς, οὐκ εἰς χιλίους μετρούμενον, θαρραλεώτερον εἰς τὴν μάχην ἐφέρετο. ὡς φασί τινες καὶ τῇ σημαίᾳ τὸν ἔγγραφον ὅρκον τοῦ Θεοδώρου ἀπαιωρήσας. καὶ δὴ περί που τὸν παρώνυμον τόπον, Κλοκοτινίτζαν αὐτὸν ὀνομάζουσι, ξυμβάλλουσι τὰ στρατεύματα, καὶ ὡς ἐν μικρῷ τὸ πᾶν παραστῆσαι, κατὰ κράτος νικᾶναι παρὰ τῶν Βουλγάρων, καὶ τῶν Σκυθῶν ὁ Θεόδωρος, καὶ συλλαμβάνεται μὲν παρὰ τῶν πολεμίων οὗτος, οὐκ ὀλίγοι δὲ καὶ τῶν προσ- B γενῶν αὐτοῦ, καὶ τῶν ἐν τέλει τε, καὶ λογάδων, καὶ τὰ ἐκείνων πάντα λεία τοῖς Βουλγάροις ἐγένετο. Φιλανθρωποτέρως δὲ περὶ τὸ ἁλωθὲν πλῆθος ὁ Ἀσὰν ἐξετεθείς, τοὺς πλείους τῶν στρατευμάτων, καὶ μάλιστα τοὺς χυδαιοτέρους, καὶ σύγκλυδας ἐλευθεροῖ, καὶ πρὸς τὰς ἑαυτῶν ἀποπέμπει κώμας τε καὶ πόλεις, τάχα μὲν τὸ φιλάνθρωπον ἐνδεικνύμενος, τάχα δὲ καὶ τὸ συμφέρον τούτῳ πραγματευόμενος. Ἐβούλετο καὶ γὰρ δεσπόσαι τῶν τοιούτων, τῆς Ῥωμαϊκῆς ἀρχῆς ἀποστάσας. ὃ καὶ τετύχηκεν. Ἐπεὶ καὶ γὰρ κατ' αὐτῶν κατόπιν ἐχώρει, πάντες ἀναιμωτὶ τούτῳ ὑπέπιπτον. καὶ γίνεται μὲν ὑπ' αὐτὸν ἡ Ἀδριανοῦ, ἐκ τοῦ σχεδὸν δὲ, καὶ τὸ Διδυμότειχον, εἶτα Βολερὸν ἅπαν, Σέρραι, Πελαγονία, καὶ C Πρίλαπος, καὶ τὰ πέριξ τούτων. κατέδραμε δὲ καὶ τὰς μεγάλας Βλαχίας, ἀλλὰ καὶ τὴν Ἐλβάνου κατακυριεύει, καὶ μέχρι τοῦ Ἰλλυρικοῦ τὰς λείας ποιεῖ. Ἐπεὶ δὲ τὸ πολὺ τοῦ βουλεύματος κατειργάσατο, καὶ ὡς ἠγάπα, τὰ καθ' αὐτὸν διέθετο, εἰς τὰς οἰκείας ἐπανέζευξε τούτους, τινὰ μὲν τῶν φρουρίων καταλελοιπὼς ὑπὸ Ῥωμαίων διασώζεσθαι, τὰ πλείω δὲ ὑφ' ἑαυτὸν ποιησάμενος στρατιώτας ἐν τούτοις τάξας καὶ στρατηγούς, καὶ τοὺς εἰσπραττομένους τὰ δημόσια φορολογήματα. ἔδοξε γοῦν τοῖς πᾶσι τότε καὶ θαυμαστὸς καὶ μακάριος. οὐ γὰρ ἐχρῆτο μαχαίραις ἐν τοῖς οἰκείοις, οὐδ' ἐχραίνετο φόνοις Ῥωμαϊκοῖς, ὡς οἱ πρὸ αὐτοῦ τῶν Βουλγάρων. ἐνθέν τοι καὶ οὐ μόνον παρὰ Βουλγάρων, ἀλλὰ καὶ παρὰ Ῥωμαίων ἐφιλεῖτο, καὶ ἑτέρων ἐθνῶν.

D κϛʹ. Ἐπεὶ γοῦν, ὡς ὁ λόγος ἱστόρησεν, ὁ Ἄγγελος Θεόδωρος λάφυρον ἐγεγόνει μετὰ καὶ λοιπῶν προσηκόντων τῷ γένει, ἐκείνου ἀνδρὸς τοῦ Ἀσὰν, ἐφρουρεῖτο μὲν παρ' αὐτῷ, ἐφιλοφρονεῖτο δὲ τὰ πολλά· καὶ τοῦτο ἦν ἐπὶ πολύ. ἐπεὶ δὲ εἰς τὰ οἴκοι νεωτερισμοῖς χρῆσθαι πεφώραται, ἐκτυφλοῖ αὐτὸν ὁ Ἀσάν. Ὁ μὲν οὖν ἀδελφὸς αὐτοῦ Μανουὴλ ὁ Ἄγγελος, ὃς δεσποτικῷ ἀξιώματι παρὰ τοῦ ἀδελφοῦ ἐτετίμητο φυγῇ χρησάμενος, ἡνίκα τὸ Ῥωμαϊκὸν ἐτετρέπετο στράτευμα, περὶ τὴν Θεσσαλονίκην ἀπῄει καὶ δεσπότης ὠνομάζετο. ταύτης τε κυριεύων, καὶ τῶν περὶ αὐτήν, ἐρυθροῖς δὲ γράμμασι τὰς αὐτοῦ γραφὰς ἐπεκύρου. πρὸς ὃν καὶ ἀπεσκώψέ τις τῶν πρέσβεων παρὰ τοῦ βασιλέως Ἰωάννου ἀποσταλείς, ὡς εἰς σὲ μᾶλλον ἁρμόσει τὸ εἰς Χριστὸν ψαλλόμενον. Σὲ τὸν Βασιλέα καὶ Δεσπότην. ἦν μὲν τὸ ἀπὸ τοῦδε ὁ Ἄγγελος Μανουὴλ τῶν ἀναπολειφθεισῶν πρὸς τὰ δυτικὰ μέρη χωρῶν καὶ πόλεων ἐγκρατής, μὴ παρὰ τῶν Βουλγάρων τὸ σύνολον ἐνοχλούμενος, ἐπεὶ τῇ ἐκ παλλακίδος τοῦ Ἀσὰν συνεκοιτάζετο θυγατρί.

κζʹ. Ἀλλὰ περὶ τοὺς ἐν τῇ Κωνσταντίνου Λατίνους ἐλθέτω καὶ αὖθις ὁ τῆς ἱστορίας εἱρμός. Οἱ ἐν τῇ Κωνσταντινουπόλει ἐπειδὴ, ὡς προειρήκαμεν, ὁ Ῥομπέρτος, ὃν ὡς βασιλέα ἐλέγετο ἔχειν τούτους ἱστόρησε, τὸν Εὔριπον καταλαβὼν τετελεύτηκεν, ἐπεὶ

λείφθη δὲ ὁ ἀδελφὸς αὐτοῦ Βαλδουῖνος ἔτι ἀφῆλιξ ὤν, στέλλουσι πρεσβείαν πρὸς Ἰωάννην τὸν ὀνομαζόμενον Ἱεροσολύμων Ῥῆγα, φήμην πολλὴν αὐχοῦντα περὶ τὰς στρατιωτικὰς μεθόδους, θερμόν τε χεῖρα, καὶ τῷ μεγέθει τοὺς κατ᾽ αὐτὸν ὑπερβάλλοντα, ὡς ἂν ἀφίκοιτο πρὸς αὐτούς, καὶ Βασιλεὺς Κωνσταντινουπόλεως φημισθείη, καὶ ἄρξοι ὡς αὐτοκράτωρ τῶν εἰς αὐτήν, ἐπιγαμβρεύσοι δὲ ἑαυτῷ καὶ τὸν ὄντα εἰς τὴν κληρονομίαν, ὡς ἔφαντο, Βαλδουῖνον. ὑπῆρχε γὰρ τῷ Ῥηγὶ καὶ θυγάτριον. μετὰ δὲ τὴν τοῦ Ῥηγὸς ἀποβίωσιν βασιλεύσοι τούτων ὁ Βαλδουῖνος, αὔξην προσδεδεγμένος τῆς ἡλικίας. Ἐπεὶ καὶ ὁ Ῥὴξ ἔξωρος ἄγαν ἦν περί που τὰ ὀγδοήκοντα ἔτη, ἃ καὶ πλείω τούτων διαβιώσας. ὡς καὶ αὐτὸς τοῦτον εἶδον, ὑπερεξεπλάγην τὸ τοῦ ἀνδρὸς μέγεθος ἐν πάσῃ διαπλάσει τοὺς ἄλλους ὑπερβάλλοντος πολὺ ἀνθρώπειον μέγεθος, καὶ πλάτος. ξυνέθετο γοῦν ὁ Ῥὴξ τῇ πρεσβείᾳ, καὶ καταλαμβάνει τὴν Κωνσταντίνου τὴν πορείαν διὰ θαλάττης πεποιηκώς. οὐδὲ γὰρ εἶχε λαὸν ἀξιόχρεων, ὡς ἄγει πεζοπορήσειν. ἐπεὶ δὲ κατελάβετο τὴν Κωνσταντίνου, οὐκ εἶχε θάρρος ἐξιέναι καὶ μάχης κατάρξαι. καὶ γὰρ ἐπέγνω τὸν βασιλέα Ἰωάννην, στρατηγικώτατόν τε ὄντα, καὶ τὰς κατ᾽ ἐχθρῶν μάχας εὐμεθοδώτατον. Ἐμέμφετο γοῦν ἑαυτὸν τῆς ἐγχειρήσεως, καὶ ὅτι ὅλως τῷ ἔργῳ ἐπεβάλετο, καὶ κακῶς ἔφασκε τοὺς λέγοντας, εἴ γε καὶ ἄλλως ὑπελάμβανον, καὶ οὐκ ἠρέθιζον αὐτὸν διὰ τὸ σφίσι συμφέρον, ὡς καταλάβοι αὐτὸν εἰς χώρους, ὧν οὐκ ἐπίσταται ἄρχειν ὁ ἐπ᾽ αὐτοῖς βασιλεύων. καλῶς γὰρ ἐγνώκει καὶ ἔλεγεν, ὡς εἰ δέκα τοσοῦτοι χῶροι τῷ Βασιλεῖ Ἰωάννῃ πρὸς δεσποτείαν ὑπῆρχον, καλῶς ἠπίστατο τούτων κατάρχειν, καὶ βασιλεύειν, καὶ διασώζειν ἐκ τῶν ἐχθρῶν. εἴτε γοῦν διὰ ταῦτα, εἴτε καὶ τρυφᾶσαι εἰς ἄκρον ἐν τοῖς τῆς Κωνσταντίνου βεβουλημένος καλοῖς, δύο ἐνιαυτοὺς ἐπὶ τῆς αὐτῆς διήνυσε. μόγις γοῦν τριήρεις οἰκονομήσας, καὶ στράτευμα συναθροίσας, ὅσον εἶχε πρὸς δύναμιν, πρὸς τὴν ἕω ἐχώρησε, καὶ περὶ τὸ τῆς Λαμψάκου ἐλλιμενίζει νεώριον, προσεχῶς τῷ τότε τοῦ Βασιλέως Ἰωάννου ἐκ τῆς μετὰ τοῦ Καίσαρος Γαβαλᾶ μάχης ὑποστρέψαντος, ὃν διὰ νεωτερισμὸν ἐμαχέσατο.

κη'. Ὁ μὲν οὖν Βασιλεὺς περὶ τὰ τῆς Σταδίας μέρη τὰς σκηνώσεις πεποιημένος, τῷ Παλαιολόγῳ Ἀνδρονίκῳ, ὃν μέγαν Δομέστικον εἶχε, περὶ οὗ καὶ μικρὸν πρόσθεν εἰρήκειν, τὰ στρατεύματα, καὶ τοὺς στρατηγοὺς παραδούς, καὶ περὶ τὴν νῆσον Ῥόδον τριήρεσιν ἱκαναῖς, καὶ λοιπαῖς ἐξαποστείλας ναυσίν, ὅπως θερμότερον ἐπιτεθείη τῷ ἀποστάτῃ, καὶ καταβλάψειεν, οἷς οἶδε λόγοις τῆς στρατηγίας, ἐπειδὴ ταῦτα οὕτω συμβαίη κατὰ σκοπὸν Ἰωάννῃ τῷ Βασιλεῖ τὰ περὶ τὸν Καίσαρα γένοιτο. ἀκούσας δὲ καὶ ὡς ὁ Ῥὴξ ἔξεισι τῆς Κωνσταντίνου, καὶ βούλοιτο ἔχοι προσοκείλας τῇ Λαμψάκῳ, ἀρκεῖ ἐξελθεῖν, καὶ Ῥωμαίοις πολεμῆσαι, μεθ᾽ ὧν ἔτυχε διάγειν ὁ Βασιλεύς, ὀλίγοι δὲ ἦσαν οὗτοι. Ἐπεὶ τὸ πολὺ τῆς στρατιᾶς τῇ μάχῃ καὶ τῇ ὥρᾳ τοῦ χειμῶνος ταλαιπωρικός, περὶ τὰ οἴκοι ἐφέρετο, χωρεῖ πρὸς τὴν Λάμψακον, καὶ τοῖς τῆς Σιγρηνῆς μέρεσι τὰς σκηνὰς πήγνυσι.

κθ'. Τότε καὶ αὐτὸς πρὸς τῶν γονέων ἐκ τῆς Κωνσταντίνου ἀπεστάλην τῷ Βασιλεῖ ἑκκαιδεκαέτης ὤν, καὶ νεωστὶ τῆς ἐγκυκλίου ἀπηλλαγμένος παιδεύσεως, ἣν γραμματικὴν κατονομάζουσιν οἱ πολλοί. Ἐβούλετο δέ μοι καὶ ὁ Πατὴρ λάθρα τὰς τῶν Λατίνων ἀποδιδρᾶσαι χεῖρας· ἰσχυρῶς γὰρ παρ᾽ αὐτῶν ἐκαρατεῖτο τῶν ἀναλωμάτων δαψι-

A vimus, Robertus, quem veluti Imperatorem venerabantur, Europum profectus, exspirasset, & frater ejus Balduinus puer adhuc, ac impubes remansisset, ad Joannem Hierosolymorum regem militari prudentia, ut tunc fama ferebat, singularem, manu validum, multumque inter suos specie corporis eminentem Legatos destinant, ut ad illos concederet, & Constantinopolis Imperator acclamaretur, res in ea uti Imperator obtineret, nec non filiam, quam ipse susceperat, Balduino, sicuti ipsi existimabant, imperii hæredi, qui tamen post eum ætate jam matura, ac integra imperaret, in matrimonium collocaret. Ætas regis nimium processerat circa annos octoginta, vel ultra nati. Quemadmodum & ipse eum vidi, B & admiratus sum viri undequaque exactam molem: humanæ enim magnitudinis modum, longitudine, ac latitudine plus nimio excesserat. Rex Legatis animum advertit, iterque per mare ingressus Constantinopolim venit: neque enim multitudo, qua sibi tutum iter terrestre faceret, suppetebat. Cum Constantinopolim penetrasset, neque egredi, neque primus pugnam tentare audebat: fat enim illi comperta erat, Joannis Imperatoris rei militaris summa prudentia, & in conflictu cum hostibus ingenium supra cæteros solertissimum. Quare semetipsum aggressionis illius incusabat, & quod manus operi injecisset; & male eos asserere contendebat: si ipsi tamen ita sentirent, neque C ipsum propter propria commoda provocarent, eum ad loca accessurum fuisse, quæ dominus illorum ac Imperator administrare nesciret. Namque apprime callebat, dictoque firmabat, etiamsi decies tot loca ad regendum Joanni Imperatori suppeterent, optime eum illa agere, moderari, tuerique ab hostibus scire. Sive etenim horum causa, sive etiam quod Constantinopolitanis luxuriari deliciis, ac bonis animum implere vellet, duos in ea annos exegit. Tandem triremibus apparatis, & collectis, uti poterat, copiis, in orientem progreditur, & apud Lampsacum portum capit, Joanne Imperatore a bello cum Cæsare Gabala, quem propter motam seditionem debellaverat, gesto, continenter re- D gresso.

XXVIII. Imperator in Stadiæ partibus tabernaculis positis, Andronicum Palæologum magnum Domesticum, de quo supra diximus, copiis, ac Ducibus traditis in insulam Rhodum cum triremibus, quæ satis essent, & aliis navibus dimittit, ut validius rebellem invaderet, & militiæ quas noverat, artibus opprimeret. Hæc cum ita perfecta essent, resque contra Cæsarem pro sententia Imperatoris Joannis successisset, nec non relatum illi fuisset, regem Constantinopoli egredi in animo, ut Lampsacum appelleret, ibique adversus Romanos confligeret, cum his, quos secum habebat Imperator, admodum paucos, potissima namque exercitus pars prælio, ac tem- E pestate hyberna afflicta, domum remeaverat, Lampsacum petit, & apud Sigrenem castrametatur.

Edit. Paris. pag. 24.

pag. 25.

XXIX. Tunc temporis & ipse a parentibus undecim annos natus, & ex Encyclia, quam vulgus Grammaticam vocat, litteratura instructus ad Imperatorem mittor. Pater etiam e Latinorum manibus se surripere decreverat; licet ab illis, & sumptuosis impensis, & officiis, & benefi-

ciis, quibus eum prolixe admodum prosequebantur, detineretur, ne leve esset domesticæ supellectilis amplitudo, filii, famuli, famulæque impedimentum: in ea nihilominus perstabat sententia, si quando facultas esset, etiam vires experturum, & exitum tentaturum, & concepta vota obiturum, ideoque me ad Imperatorem præmiserat. Sed morbus gravis conatus intercepit; namque pene semivivus, & media sui parte fere exiccatus, annosque circiter duos lecto detentus, tandem vitam amisit: ipse vero in aula Imperatorio sumptu necessariis providebar.

XXX. Rex enim Joannes, ut dictum est, qui item Constantinopolitanus Imperator acclamabatur, Lampsacum appulsus in locum Holcum dictam naves suas subduxit. Joannes autem Imperator, cum ad resistendum, ac descensum impediendum ob jam dictas causas, copias non haberet, militaribus artibus cum exiguo milite hostium motus reprimebat. Descenderunt Latini, & eorum rex Joannes, perque loca quædam maritima iter intendebant, cum a navigiis discedere procul non auderent. Nam eos adversariis copiis Imperator sequebatur, ingenio promptus, & acer, qui cum parva etiam manu hostium impetus propulsaret. Imperator per radices montium, Itali per littora iter habebant. Parum itaque in ora maritima Imperatori subjecta commorati, neque enim quatuor menses exegerant, nec multo calcato solo, cum a Lampsaco Cenchrias usque, ne minimo quidem damno illato processissent, namque Imperator eminentioribus locis necessaria quæque antea conducta in custodiam tradiderat, ad Pegarum oppidum deflexere, unico tantum castello, cui Ceramidæ nomen est, circa Cyzici colles sito, devicto. Naves vero promptas, quibus se Constantinopolim reducerent, habebant. Et remeassent utique probris, ac damnis pleni, ni furto Pegarum oppidum expugnassent. Vir enim quidam saxorum prærupta scandere dexter, ac solers viam invenit, per quam noctu in arcem armatos Italos introduxit, qui improvisa irruptione custodibus contrucidatis oppidum occuparunt. Hoc Romanis non parum timoris incussit. Urbs enim ea viris probis, ac bonis, & inter milites celebrioribus abundabant. Verum Imperatoris circa hæc prudentia, & plusquam militaris calliditas, Romanorum quidem metum excussit, Latinis vero majorem formidinem injecit, & quos ipsi impetus ex præda facta sumpsere, inhibuit. Quare cum parum, aut nihil, ut dictum est, profecissent, Constantinopolim revetterunt.

Edit. Paris. pag. 26.

XXXI. Imperator Joannes, impendentibus periculis, & rebus in extremum adductis discrimen succurrere perspicax, & acutus, ut suos tueri, ac servare posset, quod & magis dignum consideratione erat, & hostes infirmare & per hæc duo propria constabiliret, ut ambo perficeret, modum invenit. Ex Imperatrice Irene filium susceperat, cui ab Imperatore Theodoro Lascari patruo nomen dederat, undecim jam annos eo temporis natum. Asanus item filiolam habuit Helenem nomine ab Unga-

A λίαις, καὶ τῶν σφῶν δεξιώσεσι, καὶ τὸ πολλὴν ἔχειν περὶ αὐτὸν ὑπηρεσίαν, τέκνα τε, θεράποντάς τε, καὶ θεραπαινίδας, οὐκ ὀλίγον ἐποίει τούτῳ τὸ ἐμποδών. Ἀλλ' ἦν αὐτῷ κατὰ νοῦν τὸ τότε, καθὼς ἂν ἄρα δυνάμεως σχοίη, εἰ δεήσει, παρακινδυνεῦσαι πρὸς τὴν ἐξέλευσιν, καὶ ἀποπλῆσαι τὸ σπουδαζόμενον. Διά τοι τοῦτο καὶ με πρὸς τὸν κρατοῦντα προπέπομφε. κεκώλυκε δὲ τοῦτον νόσος βαρεῖα. ἡμιθνὴς γὰρ σχεδὸν καὶ ἡμίξηρος γεγονὼς περὶ δύο που ἔτη τῇ κλίνῃ προσπεπατταλευμένος, ἀπέλιπε τὸ βίον· αὐτὸς δὲ ἐναπελείφθην τοῖς ἀνακτόροις προμηθείας βασιλικῆς ἀξιούμενος.

λʹ. Ὡς γοῦν ἔφημεν, καταλαβὼν ὁ Ῥὴξ Ἰωάννης, ὁ καὶ Βασιλεὺς Κωνσταντινουπόλεως φημιζόμενος τὴν Λάμ-B ψακον, περὶ τὸν ὑπό τινων ὀνομαζόμενον τόπον Ὁλκὸν, τὰς νῆας τούτῳ καθώρμιστο. ὁ δὲ Βασιλεὺς Ἰωάννης, ἐπεὶ μὴ εἶχε μεθ' ἑαυτοῦ στρατὸν ἀξιόμαχον κωλῦσαι τούτῳ τὴν ἔξοδον δι' ἃς εἰρήκειν αἰτίας, μεθόδοις στρατηγικαῖς μεθ' ὧν εἶχεν ὀλίγων, τὰς τῶν πολεμίων κινήσεις ἐκώλυεν. ἐξῆλθον γοῦν οἱ Λατῖνοι, καὶ ὁ τούτων Ῥὴξ Ἰωάννης, καὶ ἐβάδιζον μὲν τόπους τινὰς παραιγιαλίους. οὐδὲ γὰρ ἠδύναντο μακρότερον τῶν νηῶν αὐτῶν ἀποστῆναι. Ὁ γὰρ ἀντιστρατηγῶν αὐτοῖς Βασιλεὺς ἐπηκολούθει, καὶ ὑπῆρχε δεινὸς μετὰ μικρᾶς πάνυ δυνάμεως ἀναχαιτίσαι τοὺς ἐναντίους. Ὁ μὲν οὖν Βασιλεὺς περὶ τὰς τῶν βουνῶν ὑπωρείας ἐποιεῖτο τὰς πορείας, περὶ δὲ τὰς ἠϊόνας οἱ Ἰταλοί. Ὀλίγον οὖν χρό-C νον διαβιβάσαντες ἐν τῇ τοῦ Βασιλέως παραιγιαλίῳ χώρᾳ, οὔπω γὰρ παρέδραμον τέτταρες μῆνες, καὶ ὀλίγον τόπον πατήσαντες, ἀπὸ γὰρ τῆς Λαμψάκου μέχρι καὶ τῶν Κεγχρεῶν ἀφίκοντο, μικρὸν ἢ μηδὲν λυμηνάμενοι, προύφθασε γὰρ ὁ Βασιλεὺς τὰ χρειώδη πάντα τοῖς ὑψηλοτέροις τόποις διασώσασθαι, περὶ τὸ τῶν Πηγῶν ἐχώρησαν ἄστυ, ἓν μόνον φρούριον χειρωσάμενοι, ὃ Κεραμιδὰς ὀνομάζεται, περί που τοὺς βουνοὺς διακείμενον τῆς Κυζίκου. Εἶχον δὲ τὰς ναῦς αὐτῶν ἑτοίμους εἰς τὴν Κωνσταντίνου παλινοστῆσαι. καὶ ᾤχοντο ἂν αἰσχύνης καὶ ζημίας πεπληρωμένοι, εἰ μὴ τοῦ τῶν Πηγῶν ἄστεος περιεγένοντο τῇ κλοπῇ. Ἀνὴρ γάρ τις δεινὸς ἀναρριχᾶσθαι πρὸς ἀκρωνυχίας πετρῶν, ὁδὸν ἐφεῦρε, δι' ἧς D ὡπλισμένους Λατίνους εἰς τὴν ἀκρόπολιν νυκτὸς ἀνεβίβασεν, οἳ καὶ τοῖς φύλαξιν αἴφνης ἐπεισπεσόντες, αὐτούς τε ἐφόνευσαν, καὶ εἷλον τὸ ἄστυ. Τοῦτο πρὸς βραχὺ μὲν εἰς δειλίαν Ῥωμαίους ἐνέβαλε. πλήρης γὰρ ἦν ἡ πόλις ἀνδρῶν καλῶν τε κἀγαθῶν, καὶ ἅμα τῶν περιφανεστέρων ἐν στρατιώταις. Ἀλλ' ἡ τοῦ βασιλέως περὶ τὰ τοιαῦτα οἰκονομία, καὶ στρατηγικωτάτη δεινότης τὴν τῶν Ῥωμαίων δειλίαν τότε ἀπετινάξατο, καὶ εἰς πτοίαν μᾶλλον τοὺς Λατίνους ἐνέβαλε, καὶ τῆς τε φυσικῆς ῥοπῆς, καὶ τῆς ἁλώσεως τοῦ κατασχεθέντος γεγενημένης σφίσιν ὁρμῆς ἀνέστειλε. καὶ ὑπέστρεψαν εἰς τὴν Κωνσταντίνου, μικρὸν, ὡς ἔφημεν, ἢ οὐδὲν εἰργασμένοι.

E λαʹ. Ὁ μὲν οὖν Βασιλεὺς Ἰωάννης, οἷα ἐκεῖνος δεινὸς ἐφευρεῖν μεθόδους ἐν περιστάσεσι, σῶσαι τε τὸ οἰκεῖον, ὑπὲρ οὗ καὶ πλείονος ἐδεῖτο λόγου, ἀναχαιτίσαι τε καὶ τὸ ὑπεναντίον, ὡς ἂν δι' ἀμφοῖν τὰ οἰκεῖα κρατύνοιτο, εὑρίσκει τρόπον ἀποπληρωτικὸν τοῖν δυοῖν. Ἐγεννήθη γὰρ αὐτῷ υἱὸς ἐκ τῆς βασιλίδος Εἰρήνης, ᾧ καὶ κλῆσιν τοῦ πάππου καὶ Βασιλέως Θεοδώρου τοῦ Λασκάρεως ἐπετέθειτο. Ἐνδέκατον δὲ οὗτος ἔτος τότε ἠνύετο. καὶ ὁ Ἀσὰν δὲ θυγατέραν εἶχεν, Ἑλένη αὐτῇ τοὔνομα παρὰ τῆς ἐξ Οὔγγρων γαμηθείσης αὐτῷ, καὶ

ἔννατον καὶ ταύτῃ ἔτος ἦν. πρεσβείαν γοῦν στέλλει ὁ Βασιλεὺς πρὸς τὸν Βουλγάρων ἄρχοντα Ἀσὰν, καὶ μνηστείας τῶν παίδων μνημονεύει, καὶ τῆς ἀμφοῖν ἀγχιστείας, καὶ τῆς δι' ἀλλήλους συνασπισμοῦ τε, καὶ συγκροτήσεως· καὶ δέχεται ὁ Ἀσὰν τὴν πρεσβείαν, καὶ πληροῦνται αἱ συμφωνίαι. καὶ ἐπὶ τούτοις καὶ ὅρκοι προὔβησαν.

λβʹ. Τότε γοῦν καὶ αὐτὸς ἔρωτι τῶν μαθημάτων ἁλοὺς, καὶ τῆς ὑψηλοτέρας τῶν λόγων παιδεύσεως, τοῖς πᾶσι χαίρειν εἰπὼν, θελήματι τοῦ Κρατοῦντος μετὰ καὶ ἑτέρων μειρακίων, εἰς τὰς τῶν λογικῶν παιδευμάτων θύρας παρήγγισα. παιδευτὴς δὲ ἦν ἡμῖν ὁ Ἐξαπτέρυγος Θεόδωρος. Ἐπεὶ δὲ ἔμπροσθεν τοῦ βασιλέως συνήλθομεν, πρός με τείνας τὸν λόγον ὁ Βασιλεὺς, εἰρήκει. ὡς τούτους μὲν ἐκ Νικαίας λαβὼν, τῷ διδασκαλείῳ παρέδωκα, σὲ δὲ τῆς ἐμῆς ἐκβαλὼν οἰκίας τουτοισὶ συναφῆκα διδάσκεσθαι. δεῖξον οὖν ὡς ἀληθῶς τῆς ἐμῆς οἰκίας ἐξῆλθες, καὶ οὕτωσὶ τῶν μαθημάτων ἀντιποιήθητι. στρατιώτης μὲν γὰρ τὸ ἐπιτήδευμα γεγονὼς, ὁπόσα ἂν εἶχες τὰ τοῦ σιτηρεσίου παρὰ τῆς βασιλικῆς δεξιώσεως, τοσαῦτα ἂν ἴσως, ἢ καὶ ὀλίγον πλείω διὰ σοὶ τὸ τοῦ γένους περιφανὲς ἔσαι. ἔμπλεως δὲ φιλοσοφίας φανεὶς, μεγάλων ἀξιωθήσῃ τῶν τιμῶν τε καὶ τῶν γερῶν. μόνοι γὰρ ἁπάντων ἀνθρώπων ὀνομαστότατοι, Βασιλεὺς καὶ φιλόσοφος. Οὕτω μὲν τῶν ἀνακτόρων ὑποχωρήσας, ὡς διδασκάλῳ φέρων, ἐνέβαλον ἑαυτὸν ἑπτακαιδέκατον ἔτος ἄγων. ἦν δὲ οὗτος, ὡς ἔφην, ὁ Ἐξαπτέρυγος ἀνὴρ οὐ πάνυ μὲν ἐπισήμων ἐν τοῖς μαθήμασιν, ἀγαθὸς δὲ φράζειν, οἷα ῥητορικῆς κατάπλεως ἐνδιατρίψας λόγοις, καὶ τὸ ἐξαγγέλλειν εὐφυῶς μεμελετηκὼς, καὶ πολλοῦ διὰ τοῦτο ἠξιωμένος ὀνόματος. Ἐκείνου δὲ τελευτήσαντος μετὰ τὴν εἰς ἡμᾶς τῶν ποιημάτων σαφήνειαν, καὶ τὴν τῆς τῶν λόγων τέχνης διδασκαλίαν, παρὰ τὸν Βλεμμίδην Νικηφόρον, ὃν τότε πάντως οἴδαμεν πλειώτερον τῶν ἄλλων ἐν ταῖς κατὰ φιλοσοφίαν ἐπιστήμαις, ἐφοίτησά τε αὐτὸς, καὶ ὅσοι σὺν ἐμοὶ ἐτελοῦντο τὰ λογικά. καὶ ὁ περὶ ἡμῶν λόγος, μέχρι τοσούτου νυνί. ἐσαῦθις δὲ ὅπῃ παρήκοι τῇ ἱστορίᾳ παρεμβληθήσεται.

λγʹ. Ἐπεὶ δὴ, ὡς προειρήκειν, καὶ ἀμφοῖν τοῖν βασιλέοιν αἱ σπονδαὶ τῆς συμβιβάσεως γένοιντο, τῷ τε βασιλεῖ φημὶ Ἰωάννῃ τῷ Δούκᾳ, καὶ τῷ κρατοῦντι τῶν Βουλγάρων Ἀσὰν Ἰωάννῃ, προκατέλαβε μὲν ὁ Βασιλεὺς τὴν Λάμψακον, καὶ διαπεραιοῦται μετὰ τῶν ἐκείνου δυνάμεων εἰς Καλλιούπολιν, καὶ πολεμεῖ τὸ ἄστυ ἑλεπόλεις στήσας, καὶ ἐν οὐ πολλῷ χρόνῳ χειροῦται τοῦτο, τῆς τῶν Βενετικῶν ἐξωσάσας τοῦτο χειρός. Μετὰ τοῦτο καταλαμβάνει τὴν Καλλιούπολιν, καὶ ὁ Ἀσὰν σὺν τῇ οἰκείᾳ γαμετῇ τῇ ἐξ Οὔγγρων Μαρίᾳ, καὶ τῇ θυγατρὶ Ἑλένῃ, καὶ συνέρχεται εἰς Καλλιούπολιν τῷ Βασιλεῖ, καὶ τὰ εἰς φιλίαν ἀμφότεροι διαπράττονται. οὗτος μὲν οὖν οὐ διεπέρασε τὸν Ἑλλήσποντον, ἀλλ' ἔμεινεν ἐν τοῖς τῆς Καλλιουπόλεως μέρεσιν. Ὁ δὲ Βασιλεὺς Ἰωάννης τὴν αὐτοῦ σύζυγον σὺν τῇ θυγατρὶ Ἑλένῃ λαβὼν διαπεραιοῦται εἰς Λάμψακον, ἔνθα ἦν ἡ Βασιλὶς Εἰρήνη, καὶ πληροῦσι τὴν τῶν παίδων συνάφειαν, τοῦ Πατριάρχου Γερμανοῦ τὰ τῆς ἱερολογίας τελέσαντος. Τότε καὶ ὁ Τερνόβου Ἀρχιερεὺς ὑπὸ τὴν Κωνσταντινουπόλεως τελῶν, αὐτονομίᾳ τετίμηται, καὶ Πατριάρχης ἀναγορεύεσθαι κέκριται βασιλικῷ καὶ συνοδικῷ τῷ θεσπίσματι, χάριτας τῶν προὐχόντων ἀποτεινόντων τῷ Βουλγάρων ἄρχοντι Ἀσὰν, τοῦ κήδους ἕνεκα καὶ τῆς φιλίας. Ἐπεὶ γοῦν ὅσα ἐς τὰ τοιαῦτα φέρει πεπλήρωται, ἡ μὲν βασιλὶς Εἰρήνη τὸν υἱὸν μετὰ τῆς νύμφης λαβοῦσα τοῖς ἑῴοις συν-

ra ortum, novennem. Imperator ad Asanum Bulgarorum principem Oratores mittit, ut sponsaliorum inter pueros, & inter se affinitatis mentione inducta, de mutuo auxilio, mutuisque inter se tradendis operis sermonem consererent. Asanus legationem approbat; pacta conventa conficiuntur, & jurejurando confirmantur.

XXXII. Tunc mihi Mathematum & sublimioris disciplinæ amore excito, omnibus valere jussis, una cum aliis adolescentibus, ita annuente Imperatore, atque Exapterygo Theodoro informante, Logicæ scientiæ aditus, foresque aperiuntur. Cum ante Imperatorem convenissemus, in me oratione Imperator dixit. *Hos Nicæa desumptos Præceptori tradidi, tibi e domo mea accepto, ut una cum his instruereris, facultatem feci. Ostende itaque te vere e mea domu egressum fuisse, sicque Mathematis incumbe; militarem enim vitam secuto, quot ex liberalitate Imperatoris stipendia constitui poterunt, tot tibi, aut non multo plura, propter familiæ claritudinem supererunt: at ubi Philosophiæ infinuatus frugiferis opibus te impleveris, magnos honores, ac dignitates tibi comparabis. Namque inter homines maxime omnium conspicui præcellunt Imperator, atque Philosophus.* Hac ratione aula egressus Præceptori me dedidi annos septem, & decem natus. Veruntamen Exapterygus in Mathematis non admodum præstabat, sed multum dicendo valuit, ut pote Rhetoricis studiis eximie institutus, & ad eloquendum composite usu; atque ingenio comparatus, ideoque nomen illius celeberrimum fuit. Eo demortuo, postquam nobis Poematum ambages explicasset, & orationis conficiendæ artem tradidisset, ad Blemmidem Nicephorum, quo neminem in Philosophicis disciplinis præstantiorem novimus, me ipsum contuli, & quicumque una mecum Logicis speculationibus attendebant. Et de me ipso hæc in præsenti satis dicta sint: in posterum vero reliqua, ubi sese tulerit occasio, Historiæ inserentur.

Edit. Paris. pag. 27.

XXXIII. Cum itaque, ut prædixeram, ambo Joannes Ducas Imperator, & Asanus Joannes Bulgarorum rex in unum fœdere icto convenissent, Imperator Lampsacum præoccupat, & copiis Calliupolim trajicit, adactisque machinis castellum invadit, & non multo post, e Venetorum manibus recuperat. Post hæc Asanus cum uxore Maria Ungara, & filia Helena Calliupolim venit, ubi cum Imperatore sermonem conserit: ibidemque amicitiam uterque confirmant. Hic Hellespontum non trajecit, sed in Calliupolis partibus remansit. Joannes Imperator cum uxore, & filia Helena Lampsacum, ubi erat Irene Imperatrix remeat. Et puerorum nuptias apparant, cum Germanus Patriarcha inter rem divinam nuptiarum cæremonias absolvisset. Tunc & Trinobi Præsul Constantinopolitano obnoxius, imperatorio ac synodico decreto, ut Asano Bulgarorum principi, affinitatis, & amicitiæ causa gratificarentur, suo jure vivere, & Patriarchæ nomine condecorari obtinuit. His ergo, ac similibus expletis Imperatrix Irene cum filio, ac sponsa in orientalibus locis versa-

batur: Asani uxor in sedes suas reversa est. Joannes deinceps Imperator, & Asanus conductis copiis, uterque occiduam plagam, quæ Latinis serviebat, excurrerunt, ingentique inde præda deportata Scythicam solitudinem, ut proverbio utar, universam effecerunt; urbibus, ac regione, ut jurejurando convenerant, sibi divisis. Callipolis, cum ante adventum Asani expugnata fuisset, sub Imperatoris potestate venit. Simili ratione & Madyta, & omnis, cui Cherroneso nomen est; habebat præterea Imperator & Cissi castrum, & ad fluvium, qui Maritza a multis vocatur, fines extendit: potitus est ad hæc & monte Gano, in quo oppidulum exstruxit, cujus in custodiam misit Nicolaum Cotertzem, virum plurimis prælus exercitum, in quibus adeo præstiterat, ut apud omnes illud vulgatum fuerit, neminem neque ante eum, neque post eum fuisse, qui tot ac tanta facinora vel attentarit felicius, vel prosperius gesserit, ut inde Latinis, qui in Tzurulo erant, negotia facesserent. Asanus dictorum locorum partes superiores ad Aquilonem tenuit. & ad ipsos usque Constantinopolis muros Joanne rege in illis adsidente, & intuente, uterque perveniens ingentem timorem Latinis injecere, resque eorum in extremum discrimen deduxere. Porro cum autumnus prætериisset, ac hyems instaret, Joannes Imperator, atque Asanus postquam inter se de gerendis deliberassent, Asanus quidem domum revertitur, Imperator in Orientem transfertur.

Edit. Paris. pag. 28.

XXXIV. Cujus filius Theodorus cum adhuc immatura esset ætate, utpote qui annum undecimum, ut diximus, non excederet cum reginæ Helenæ nuberet, integer ab Imperatrice Irene una cum puella conservabatur, colebantur enim ab ea pueri atque informabantur, tamquam quæ ingenium, ac naturam optimam nacta in omne bonum animum inclinaret. Igitur Latinorum res nimium in angustum deducta, duorum etiam Imperatorum affinitate in extremum fastus ille depressus est. Rex interim Joannes cum non diu vixisset, ex hominibus sublatus genero suo Balduino Constantinopolitanum imperium hæreditarium reliquit. Asanus pactorum, quæ cum Joanne Imperatore sanxerat, pertæsus, quanam ratione filiam a marito Theodoro Imperatore avelleret, & alii collocaret, modum quærebat: Romanorum namque in meliora progressum formidabat, gentis ipse Romanis obnoxiæ occupator. Meditatur itaque causam, justam illam quidem, atque conspicuam, ut videbatur, licet expertos, rerumque gnaros consilium hominis non præteriret; mittit ad Imperatorem, atque Imperatricem Legatos, qui referrent, se cum uxore, dum Adrianopolim venisset, filiolam intueri velle, & paterna necessitudine amplecti, exosculari que, aliaque, uti par esse videbitur, explere: rursumque se eam ad socrum, & consortem thalami remissurum. Joannes Imperator, & Imperatrix Irene, etsi fabulam ad amussim callerent, & plane technas, ac machinas cognoscerent, mittunt nihilominus ad Asanum filiam hoc enunciato, *Si ille filiam retinuisset, & a le-*

A διεπράττο χώροις. ὡσαύτως δὲ καὶ ἡ τοῦ Ἀσὰν σύζυγος ἐν τοῖς οἰκείοις τόποις ὑπέστρεψεν. Ὁ δὲ βασιλεὺς Ἰωάννης, καὶ ὁ Ἀσὰν τὰς οἰκείας δυνάμεις προσειληφότες, καὶ ἄμφω τὴν δυτικὴν κατέδραμον χώραν, ὁπόση ἦν τοῖς Λατίνοις δουλεύουσα, καὶ λείαν μὲν πολλὴν ἐποιήσαντο, καὶ Σκυθῶν ἐρημίαν, τὸ τῆς παροιμίας εἰπεῖν, τὴν ἅπασαν ἀπειργάσαντο. σφίσι δὲ αὐτοῖς κατὰ τοὺς ὅρκους τὰ ἄστη καὶ τὴν χώραν διεμερίσαντο. καὶ Καλλίουπολις μέν, ἐπεὶ καὶ πρὸ τῆς συνελεύσεως τοῦ Ἀσὰν παρὰ τοῦ βασιλέως ἑάλω, ὑπὸ τὸν βασιλέα ἐγένετο. Ὁμοίως καὶ Μάδυτα, καὶ πᾶσα ἡ ὀνομαζομένη Χερρόνησος. εἶχε δὲ ὁ βασιλεὺς καὶ τὸ τοῦ Κισσοῦ φρούριον, καὶ μέχρι ποταμοῦ, ὃν Μαρίτζαν ὁ πολὺς μετονομάζει λαός, τὰ σύνορα ἔθετο. Ἐκράτησε δὲ καὶ τοῦ ὄρους τοῦ Γάνου, καὶ ἐν αὐτῷ ἐδείματο B καὶ πολίχνιον, ἔνθα καὶ τὸν Κοτέρτζην Νικόλαον φυλάττειν ἐξέπεμψε, καὶ πράγματα παρέχειν Λατίνοις τοῖς ἐν τῷ Τζουρουλῷ, ἄνδρα πολλοῖς καταξηνθισμένον πολέμοις, καὶ ἐς τοσοῦτον εὐδοκιμήσαντα, ὡς πάντας τοιαύτην δόξαν περὶ τούτου χεῖν, μήτε πρὸ αὐτοῦ, μήτε μὴν μετ' αὐτὸν ἄλλον φανῆναι τοιούτοις ἔργοις ἐγκεχειρηκότα, ἢ τοσαῦτα κατορθωκότα. ὁ δὲ Ἀσὰν τὰ ὑπεράνω τῶν εἰρημένων χώρων, καὶ πρὸς Βορρᾶν νεύοντα ὑφ' ἑαυτὸν εἶχε. μέχρι μὲν οὖν καὶ αὐτῶν τῶν τειχῶν τῆς Κωνσταντίνου καὶ ἀμφότεροι κατηντήκασι, τοῦ Ῥηγὸς Ἰωάννου ἐπ' αὐτῶν καθεζομένου, καὶ καθορῶντος, καὶ πτοίαν πολλὴν τοῖς Λατίνοις ἐνέβαλον. καὶ ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτοὺς ἔθεντο. Ἐπεὶ δὲ ὁ τοῦ μετοπώρου παρεῤῥύη καιρός, καὶ ὁ χειμὼν ἤγγιζεν, ἀλλήλοις συνταξάμενοι, C ὅ τε βασιλεὺς Ἰωάννης καὶ ὁ Ἀσάν, ὁ μὲν εἰς τὴν οἰκείαν χώραν τῶν Βουλγάρων χωρεῖ, ὁ δὲ βασιλεὺς ἐς τὴν ἕω ἐξεπεραιώθη.

λδ′. Ἐπεὶ δὲ ὁ υἱὸς αὐτοῦ Θεόδωρος ἀφῆλιξ ἐτύγχανεν ὤν, ἑνδέκατον γὰρ διήνυεν ἔτος, ὥσπερ ἐφημίζομεν, ἡνίκα τῇ βασιλίδι Ἑλένῃ ἐς συνουσίαν ἥρμοστο, ἀπλῶς ἀνήγοντο δὲ παρὰ τῆς βασιλίδος Εἰρήνης, καὶ ἐπαιδεύοντο, οἷα ἐκείνη φύσεως ἀγαθῆς τυχοῦσα, καὶ πρὸς ἅπαν καλὸν ἐπινεύουσα· τὰ μὲν οὖν τῶν Λατίνων πράγματα συνεστάλη τε τότε πολύ, καὶ τῷ κήδει τῶν δύο Αὐτοκρατόρων εἰς ταπεινὸν ἄγαν καταπεπτώκασι τὸ φρόνημα. Ὁ δὲ Ῥὴξ Ἰωάννης μικρὸν ἐπιβιώσας ἐξ ἀνθρώπων ἐγένετο, τὴν τῆς Κωνσταντινουπόλεως ἐ- D ξουσίαν, τῷ αὐτοῦ γαμβρῷ τῷ Βαλδουίνῳ, ὡς κλῆρον καταλιπών. Ὁ δέ γε Ἀσὰν μεταμέλος ἐπὶ ταῖς τοῦ βασιλέως Ἰωάννου συνθήκαις, ὡς ἐφάνη, γενόμενος, τρόπον ἐζήτει ὅπως ἂν τὴν θυγατέρα ἀποσπάσῃ τοῦ συζύγου βασιλέως τοῦ Θεοδώρου, καὶ ἑτέρῳ ταύτην κηδεύσῃ, τῶν γὰρ Ῥωμαίων ἐδεδίει πάνυ τὴν ἐς τὰ βελτίω προκοπήν, ἔθνους ἄρχων ὑποτεταγμένου πάλαι Ῥωμαίοις. Σκέπτεται γοῦν αἰτίαν, ὡς ἐδόκει μὲν, εὔλογον, κἂν μὴ ἐλάνθανε τοὺς ἐπισταμένους τὰ πράγματα, καὶ ἀποστέλλει πρέσβεις πρὸς τὸν βασιλέα, καὶ τὴν βασιλίδα, ὡς ἐπεὶ πλησιάσειε τῇ Ἀδριανοῦ βούλεται αὐτός τε καὶ ἡ σύζυγος τὸ θυγάτριον ἰδεῖν, καὶ πατρικῶς περιπτύξασθαι, καὶ τὰ εἰκότα πληρῶσαι, καὶ αὖθις ἀποπέμψαι πρὸς τὸν πενθερὸν καὶ σύζυγον. ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης, καὶ ἡ βασιλὶς Εἰρήνη, καίτοιγε ἀκριβῶς εἰδότες τὸ δρᾶμα, καὶ καθαρῶς ἐπιγνόντες τὴν σκαιωρίαν, ὅμως πέμπουσι πρὸς τὸν Ἀσὰν τὴν θυγατέρα, ταῦτ' εἰρηκότες· Ὡς εἰ τὴν θυγατέρα κατάσχοι, καὶ τοῦ νομίμως συζευχθέντος ἀποστερήσειεν, ἔστι Θεὸς ὁ τὰ πάντα ἐφορῶν, καὶ τὸν

μωρίαν ἐπάγων τοῖς τοὺς ὅρκους παραβαίνουσι, καὶ τὰς συνθήκας, ἃς ἐπὶ Θεοῦ μάρτυρι συνεστήσαντο, διαλύουσιν. Ὁ μὲν οὖν Βούλγαρος τὴν θυγατέρα λαβὼν ᾤχετο, τοὺς ἑπομένους αὐτῇ πάντας ὀπισθορμήτους ποιήσας, καὶ τὸν Αἷμον διαβὰς ἐχώρει περὶ τὸν Τρίνοβον, κλαιούσης μὲν τῆς αὐτοῦ θυγατρὸς καὶ ὀλοφυρομένης, τοῦ πενθερᾶς, καὶ βασιλίδος Εἰρήνης, καὶ τῆς συζυγίας ἀποδυρομένης τὸν χωρισμόν. ὅτε φασὶ τὸν Ἀσὰν προσλαβόμενον αὐτὴν τῆς αὐτοῦ ἐφεστρίδος ἔμπροσθεν ἐπικαθίσαι, καὶ τύψαι κατὰ κόρρης τοῖς δακτύλοις, καὶ ἐπαπειλῆσαι δεινῶς, εἰ μὴ σιγῇ φέροι, ὅσα οἱ διαβολῆς ἐστιν ἐπ' αὐτῇ διαπράξασθαι.

λε'. Κατ' ἐκεῖνο καιροῦ καὶ τὸ τῶν Σκυθῶν γένος, τῶν Ταχάρων καταδραμόντων αὐτῶν, ὁπόσοι τὸ ξίφος ἐκείνων ἐξέφυγον, ἀσκοῖς τὸν Ἴστρον διαπεράσαντες, τέκνοις ἅμα, καὶ γυναιξὶ, καὶ ἀκόντων Βουλγάρων, πολλαὶ γὰρ ὑπῆρχον χιλιοστύες, τὰς τῆς Μακεδονίας χώρας κατέλαβον. οἱ μὲν περὶ τὸν Εὖρον, καὶ τὰ ἐκεῖσε πεδία τὰς νομὰς ποιούμενοι, οἱ δὲ περὶ τὰ κατώτερα μέρη, καὶ τὸν ποταμὸν, ὃν ἡ χύδην ῥέουσα γλῶττα, καθάπερ εἰρήκειμεν, Μαρίτζαν κατονομάζει. καὶ γάρ ἐστιν ὡς ἀληθῶς Εὖρος μέχρι καὶ τοῦ Αἵμου τὰς ἐκδρομὰς ποιούμενος, κἀκεῖθεν περὶ τὸ Αἰγαῖον ἐκρέων πέλαγος. ὅτι δὲ συμβάλλουσι τούτῳ καὶ ἕτεροι ποταμοὶ καὶ μείζω ποιοῦσιν, ἐναλλάττει τοῖς παροικοῦσι καὶ τοὔνομα. ἐλῄζοντο οὖν τὰ ἐν Μακεδονίᾳ πάντα, καὶ ὡς ἐν ὀλίγῳ ἔρημα πάντα τῶν οἰκητόρων ἐποίησαν. καὶ Σκυθῶν ἐρημίαν, τὸ τῆς παροιμίας ἐρεῖν, ἀπειργάσαντο. καὶ πολιχνίων δὲ ὁπόσα ὑπῆρχον εὐχείρωτα πολέμῳ περιεγίνοντο, καὶ ἐφονεύοντο μὲν πολλοὶ, ἐσκυλεύοντο δὲ πάντες, καὶ ᾐχμαλωτίζοντο, καὶ ἀπεμπολοῦντο ἐν τοῖς μείζοσιν ἄστεσιν οἷον τῇ Ἀδριανουπόλει, τῷ Διδυμοτείχῳ, τῇ Βιζύῃ, τῇ Καλλιουπόλει, καὶ εἴ τι ἄλλο ἦν τείχεσιν ἐρυμνοτέροις ὀχυρωμένον, καὶ τῷ πλήθει τῶν οἰκούντων ἠσφαλισμένον.

λϛ'. Ἐπεὶ γοῦν οὕτω ταῦτα συνέβη, καὶ τὸ τῶν Λατίνων γένος ἀεὶ καθ' ἡμῶν μανίαν τρέφοντες, καὶ χεῖρον δὲ διατεθέντες διὰ τὴν πρὸ μικροῦ γενομένην σφίσι παρά τε τοῦ Βασιλέως Ἰωάννου. καὶ τοῦ Ἀσὰν ἔφοδον, καὶ τῶν χωρῶν, καὶ τῶν πολιχνίων αὐτῶν στέρησιν, καιρὸν ἐζήτουν ἐπιχειρήσασθαι καθ' ἡμῶν, ἀῤῥώστης τῆς τότε δυνάμεως, ὡς ᾤοντο τὴν ἧτταν τούτοις ἀνακαλέσασθαι. καὶ πρῶτα μὲν τὸν Ἀσὰν ὑποποιοῦντες, καὶ τούτῳ τὰ πρὸς εἰρήνην σπένδονται. Ἔπειτα δὲ σὺν αὐτοῖς καὶ τοὺς Σκύθας βαρβάρους, ἄνδρας ἀλήτας τε, καὶ ἐπήλυδας μικροῖς τισι τοῖς χαρίσμασι, μακροτέραις δὲ γε ταῖς ὑποσχέσεσιν εἰς ἑαυτοὺς ἕλκουσι, καὶ συμπράκτορας τῶν ἔργων ποιοῦσι· καὶ δὴ συμμαχίαν τοσαύτην ἔκ τε Σκυθῶν, καὶ Βουλγάρων συνηθροικότες οἱ Ἰταλοὶ, ὁμόσε κατὰ τοῦ Βασιλέως Ἰωάννου χωροῦσιν. Ἐπεὶ δὲ σφίσιν ἐκ τοῦ σχεδὸν τὸ τῆς Τζουρουλοῦ ἄστυ ἐτύγχανε, κατ' ἐκείνου τὴν μάχην ἱστῶσι, παρόντος αὐτοπροσώπως καὶ τοῦ Ἀσὰν μετὰ τοσούτων χιλιοστύων, τῶν Σκυθικῶν, καὶ τῶν Βουλγαρικῶν στρατευμάτων, καὶ τῶν Ἰταλικῶν μηχανημάτων. ἦν δὲ τῆς Τζουρουλοῦ τὴν φρουρὰν παρὰ τοῦ Βασιλέως Ἰωάννου προσδεδεγμένος ὁ Ταρχανειώτης Νικηφόρος, ὃς ἐπὶ τῆς τραπέζης τοῦ Βασιλέως ὑπῆρχε τότε, μέγας δὲ Δομέστικος τετίμηται ὕστερον, γαμβρὸς δὲ ἦν τοῦ μεγάλου Δομεστίκου τοῦ Παλαιολόγου ἐπὶ τῇ πρώτῃ αὐτοῦ θυγατρὶ Μαρίᾳ. ἦν δὲ ὁ Ταρχανειώτης καὶ στρατιώτης καλὸς καὶ ἀγαθὸς στρατηγὸς, καὶ πολλῆς ἀπολαύων τῆς παρὰ Θεοῦ ἀντιλήψεως, καθὼς καὶ μέχρι τέλους

gitimo conjuge separasset, esse Deum, qui omnia conspicit, pœnamque jusjurandi, & fœderum sub teste Deo initorum violatoribus infligit. Sed Bulgarus recepta filia abiit, omnibus eam sequentibus, recessim cedere coactis, ac Hæmum prætergressus Trinobum contendebat. Cum illacrymaretur filia, ejularetque, seque a socro, Imperatrice Irene, atque conjuge separatam esse anaie, ac nimium indoleret, fama est, Asanum, eam ante sui equi sagulum collocasse, digitisque in faciem percussisse, minatum acriter, ni silentio raptum ferret, se in eam omnia, quæ illi probro essent, executurum.

Edit. Paris. pag. 29.

XXXV. Per idem tempus Scytharum gens ab excursionibus, latrociniis, ac Tartarorum cædibus reliqua, cum filiis, & uxoribus, Bulgaris licet reclamantibus, cum innumera esset multitudo, utribus Istro superato, Macedoniæ loca occuparunt: alii circa Hebrum, & æquatas agri planities victus sibi suppeditant, alii in loca inferiora, & fluvium, quem communis lingua, ut diximus, Maritzam vocare solet, deferuntur. Hebrus namque re, & nomine usque Hæmum excurrit, indeque in Ægæum pelagus influit. quod vero in eum alii fluvii ingrediuntur, & auctiorem reddunt, nomina accolarum, uti sese offerunt, induit. Diripuere itaque omnia, quæ in Macedonia erant, adeo ut minimo tempore universa cultoribus spoliata, desolaretur, & Scytharum solitudo, ut proverbio dicitur, efficeretur. Oppidulis item captu facilibus bello, non sine multorum strage potiti sunt: rapinis, ac populationibus omnia vastata, viri in servitutem abacti, in majoribus urbibus Adrianopoli, Didymotœcho, Bizya, Calliupoli, & si quæ alia erat murorum tutiorum strue circumdata, aut habitantium multitudine circumsepta, divenditi sunt.

XXXVI. Cum hæc ita succederent, Latini quoque perpetuo in nos odio, ac furore inflammati, & propter quam in eos Joannes Imperator, & Asanus irruptionem fecerant, & urbium, ac oppidorum privationem magis ac magis infensi, nostra aggrediendi, nosque opprimendi occasionem quærebant, & ad vires amissas instaurandas satis illud peropportunum visum est. Primum sibi Asanum conciliant, cum quo pacem componunt; deinceps Scythas barbaros, errones, peregrinos, & advenas munusculis exiguis, sed uberioribus promissionibus illectos sibi adsciscunt, agendorumque sibi socios allegant. Hinc magis ex Scythis, & Bulgaris auxiliaribus copiis recollectis Itali una omnes simul adversus Joannem Imperatorem aciem instruunt. Et cum prope Tzurulense castrum esset, vires ad id oppugnandum convertunt, eodemmetipso Asano præsente, cum tot millenis Scytharum, & Bulgarorum, & Italicis machinis. Tzuruli custodia Nicephoro Tarchaniotæ, qui e mensa tunc erat Imperatoris, postmodum magnus Domesticus creatus est, magni Domestici Palæologi gener, cum primum illius filiam Mariam sibi nuptiis adjunxisset ab Imperatore Joanne demandata fuerat. Erat Tarchaniota miles præstans, & optimus Dux, & divini præsidii sæpissime particeps, ut exitu, fineque rerum patenter innotuit: namque eum plerique, aspirante magis fortuna res absolvere, quam robore, & militari peritia hostes superare existima-

Pag. 30.

bant. Postquam castrum a milite circumseptum est, arietes, tormentaque Italis adfuere multa, & valida, quibus non hoc solum, sed altiores etiam muros, & ingentiores urbes quassatas diruissent. Tunc cogitationes magnas, & in bellicis disponendis industriam una cum sociis, qui e mensa erat, dilucide satis demonstravit. Verum totum id divinæ opi tribuendum est. nam Tarchaniota in externas machinas alias ipse machinabatur, & tantæ copiarum multitudini, robur, ac animum, quæ in immensa militum multitudine reperiri possent, opposuit. Hæc anxium ac sollicitum habebant Joannem Imperatorem, non tantum de castro pertimescentem, sed tamquam summo ingenio & prudentia bellica præditum, suspicantem, si castrum ab hostibus caperetur, quæcumque ipse in occidente possideret, pessum itura: non indelectabatur interim in eo expugnando adversarios retardari, eorumque potissimam impetus partem confringi: Nam in orientalibus rebus potius animum advertebat, quas cum a bello immunes conspiceret, magis animo gestiebat. Dum obsidetur Tzuruli castrum Asano de repente nunciatur, uxorem Ungaram in vivis esse desiisse. Eodem momento & filiolum ipsius, & Trinobi Episcopum obiisse: ideo numinis iram ratus tormenta igne concremat, & quam citissime Trinobum redit. Igitur soli Itali cum ad obsidendum castrum ex se non sufficerent, quam in Romanos constituerant pugnam ditimentes, Constantinopolim revertuntur, & arx illa ab hostium obsidione liberatur, qui e mensa erat Tarchaniota Nicephorus in his victoriam, quod utique suum nomen infert, adeptus. Asanus ergo post dicta adversa, ac fortunata pie admodum concipiens, propter violatum jusjurandum, quod Imperatori Joanni dederat, & filiam a thalami consorte Theodoro raptam, hæc fieri, pœnitentia ductus, caduceatores mittit ad Imperatorem, semetipsum sceleris accusans, & pacta conventa reposcens, deprecansque sibi veniam flagitiorum. Joannes Imperator, Ireneque Imperatrix, tamquam qui in magis pia, ac magis divina prospicerent, Legatos excipiunt, nec verbis rem prolatando rursum jusjurandum comprobant, sponsamque Helenam repetunt, quæ ad socrum, & conjugem redit, & pax iterum inter Romanos, & Bulgaros peragitur.

XXXVII. Sed Historiæ series alio deflectit, & quæ Constantinopoli agebantur, narrare gestit. Namque cum tunc temporis ob varios obique principatus in multas etiam partes res divisæ agitarentur, varie etiam orationis corpus conformandum est. Balduinus, quem supra oratio nostra Constantinopoli imperasse demonstraverat, ob conflictus erga Romanos, & potissimum propter sui adversarium Joannem Imperatorem, qui in angustum dominatum illius contraxerat, diffidens ac plane desperans, ad Francorum regem sibi affinitate conjunctum, & ejusdem generis, & Romanis infensissimum, ideoque suppetias ferre paratum, proficiscitur, operamque illius, nec contemnendam poscit. Fit voti compos, & intra breve tempus Francorum sexaginta millia, ut in Ro-

Edit. Paris. pag. 31.

A ἐπίγνωσαι μάλιστα. καὶ γὰρ ἐδόκει τοῖς πολλοῖς εὐτυχίᾳ κατορθούμενος τὰ πολλά, ἢ ἀνδρίᾳ, καὶ στρατηγίᾳ τῶν ἐναντίων περιγινόμενος. Ἐπεὶ δὲ τῷ ἄστει παρεκαθίσαντο, μηχανήματά τε, καὶ ἑλεπόλεις τοῖς Ἰταλοῖς ἐγεγόνεισαν, πολλαί τε καὶ ἰσχυραί, ὡς μὴ μόνον πολίχνου δὲ ἄστεος περιγενέσθαι ἰσχύειν, ἀλλὰ καὶ ὑψηλοτέρων τειχῶν, καὶ δὴ μεγεθεστέρων πόλεων. τότε τὸ γενναῖον φρόνημα, καὶ τὴν στρατηγικὴν μεθοδίαν μετὰ τῶν συνόντων αὐτῷ ὁ ἐπὶ τῆς τραπέζης λαμπρῶς ἐνεδείξατο. ἦν δὲ τὸ ὅλον τῆς τοῦ Θεοῦ ἀντιλήψεως. ἀντεμαχήσατο γὰρ ἔνδον ὁ Ταρχανειώτης τοῖς ἔξωθεν μηχανήμασι, καὶ τῷ τοσαύτῃ πλήθει τῆς στρατιᾶς ἀντεπεξῆγε τὸ ἀνδρικὸν ἐν ὀλίγοις ἄγαν τοῖς στρατιώταις. ἐν ἀμηχανίᾳ δὲ ἦν B ὁ Βασιλεὺς Ἰωάννης, οὐ τοσοῦτον τῶν ἐν τῷ ἄστει ὑπεραγωνιῶν, ἀλλ' εἰδὼς οἷα ἐχέφρων, καὶ συνετὸς τὰ πολέμια, ὡς εἰ τὸ ἄστυ παρὰ τῶν ἐναντίων ἁλῴη, φροῦδα πάντα τὰ ἐν τῇ δύσει τούτῳ τυγχάνοντα γένοιτο. Τέως οὖν ἠγάπα μᾶλλον ἐν τούτῳ ἐπισχεθῆναι τοὺς πολεμίους, καὶ τὸ πολὺ τῆς ῥύμης σφίσιν ἐναποκόπτεσθαι. ἔμελλε γὰρ αὐτῷ μᾶλλον τὰ ἐν τῇ ἕῳ, ὧν ἐλευθέρων ὑπαρχόντων τῆς μάχης, πλεῖον αὐτῷ τὸ τῆς εὐφροσύνης ὑπῆν. πολιορκουμένου γοῦν τοῦ ἄστεος Τζουρουλοῦ αἴφνης ἐπάει μήνυμα τῷ Ἀσάν, ὡς ἡ σύζυγος αὐτοῦ ἡ ἐξ Οὔγγρων ἐξ ἀνθρώπων ἐγένετο. Τετελεύτηκε δὲ μετὰ ταύτης καὶ παιδίον αὐτοῦ, καὶ ὁ Τερνόβου ἐπίσκοπος. θεομηνίαν γοῦν ἡγησάμενος ταῦτα, πυρὶ ἀφανίζει τὰς ἑλεπόλεις, καὶ ὡς εἶ- C χε δρόμου περὶ τὸν Τέρνοβον ἵκετο. μόνοι γοῦν ὑπολελειμμένοι οἱ Ἰταλοί, ἐπεὶ μὴ ἀποχρώντως εἶχον εἰς τὴν τοῦ ἄστεος πολιόρκησιν, κἀκεῖνοι τὴν κατ' αὐτῶν μάχην λελοιπότες ἐς τὴν Κωνσταντίνου ᾤχοντο. ἠλευθέρωτο γοῦν τὸ ἄστυ τῆς τῶν ἐναντίων πολιορκίας, καὶ συνηλευθέρωτο καὶ ὁ ἐπὶ τῆς τραπέζης Ταρχανειώτης, Νικηφόρος ἐν τούτοις κατὰ τὴν κλῆσιν ἀναφανείς. Ὁ μὲν οὖν Ἀσάν, ἐπειδὴ τούτῳ τὰ προρρηθέντα ξυμβεβήκει λυπηρά, εὐσεβὴς καὶ μάλα οἱ ἀθεῖς, ὡς διὰ τὰς παραβασίας τῶν ὅρκων. ὧν μετὰ τοῦ Βασιλέως Ἰωάννου ξυνέθετο, καὶ τὸ ἀποσπάσαι τὴν θυγατέρα τοῦ συζύγου Θεοδώρου ταυτὶ γένοιτο, μεταμελος ἐπὶ τούτοις γενόμενος, πρέσβεις ἐξαποστέλλει πρὸς τὸν Βασιλέα, ἑαυτὸν D τε ἐξουθενῶν τῆς κακίστης πράξεως, καὶ τὰς συνθήκας ἀνακαλούμενος, καὶ συγγνώμην τῶν πεπραγμένων αἰτούμενος. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης, καὶ ἡ Βασιλὶς Εἰρήνη, οἷα ἐκεῖνοι πρὸς τὰ εὐσεβέστερα, καὶ θειότερα ἀπονεύοντες, δέχονταί τε τὴν πρεσβείαν, καὶ οὐδὲ εἰς μακροὺς ἐλθόντες λόγους, τούς τε ὅρκους καὶ αὖθις πιστοῦσι, καὶ τὴν νύμφην Ἑλένην ἀνακαλοῦνται. Ἀποστέλλεται γοῦν αὕτη πρός τε τὸν πενθερόν, καὶ τὸν σύζυγον, καὶ εἰρήνη πάλιν μέσον Ῥωμαίων τε καὶ Βουλγάρων.

λζ. Ὁ μὲν οὖν τῆς ἱστορίας δρόμος ἐφ' ἑτέραν τρέπεται τὴν ὁδὸν καὶ τὰ περὶ τῶν ἐν τῇ Κωνσταντίνου διασαφήσει. Πολυσχιδῶς γὰρ τότε τῶν πραγμάτων κεκινημένων διὰ τὴν πολυαρχίαν ἐν πᾶσι γενέσθαι, ποικίλως δεῖ καὶ τὰ τοῦ λόγου συστρέφεσθαι. Ὁ μὲν οὖν Βαλδουῖνος, ὃν ὁ λόγος βασιλεῦσαι τῆς Κωνσταντίνου προείρηκεν, ἀπειρηκώς, ἐν ταῖς πρὸς Ῥωμαίους μάχαις, μᾶλλον δὲ τῇ πρὸς τὸν Βασιλέα Ἰωάννην ἐναντιότητι, ἐς μικρὸν γὰρ τὰ ἐκείνου παρὰ τούτου συνεστάλη, πρὸς τὸν τῶν Φράγγων ἀποδεδημήκει Ῥῆγα, προσῳκειωμένον τούτῳ κατ' αἷμα. οὐ μὴν ἀλλὰ καὶ ὡς ξυμφυλέτην, ἄγαν τε Ῥωμαίοις ἐχθρόν, καὶ βοηθεῖν διὰ ταῦτα ἕτοιμον, καὶ συμμαχίαν ζητεῖ ἀξιόλογον, καὶ ἐπιτυγχάνει τοῦ σκοποῦ. καὶ ἐν οὐ πολλῷ χρόνῳ ἑξήκοντα χιλιάδες συνηθροίσθησαν Φράγγων, ἵν' ὅπως κατὰ Ῥωμαίων

ἄν τις ἀπὸ φαύλου ἄνδρα καλόν. ἐπεὶ δὲ τούτου κακούργῳ τύχῃ ἡμάρτομεν, πρόκειται δὲ ἡμῖν βρεφύλλιον ἄλλο εἰς τὴν τῶν Βουλγάρων ἀρχήν, παντὸς ἂν ἀνοηταίνοντος χείρους φανείημεν, εἰ πάλιν πρὸς δυσπραγίας ἄλλας ἐπιδοίημεν αὐτούς, ἀδέσποτοι τὸν πάντα βίον διατελεῖν αἱρούμενοι, ὑφ' οὗ πολλά τε καὶ μείζω τὰ δεινὰ φύονται. ἀλλ' ἐπεὶ ὁ Βασιλεὺς ἡμῖν ὁ τῶν Ρωμαίων προσήγγισε, δεῖ αὐτῷ ἑαυτοὺς ἐγχειρίσασθαι, δεσπότῃ πιστῷ καὶ εἰδότι ἄνδρα ἠδὲ κακόν, ἠδὲ καὶ ἐσθλόν, καὶ δίκαιον ἐν ἡμῖν ἔκπαλαι ἔχοντι. ὅτι γὰρ ἡμέτερος χῶρος, τῇ τῶν Ρωμαίων προσήκει ἀρχῇ. πλεονεκτικώτερον γὰρ οἱ Βούλγαροι τοῖς πράγμασι χρησάμενοι, καὶ τοῦ Μελενίκου γεγένηνται ἐγκρατεῖς. ἡμεῖς δὲ πάντες ἐκ Φιλιππουπόλεως ὁρμώμεθα, καθαροὶ τὸ γένος Ρωμαῖοι. ἄλλως τε καὶ ὁ τῶν Ρωμαίων Βασιλεὺς ἀληθῶς καὶ ἐν ἡμῖν δικαιοῦται. κἂν οἱ Βουλγάροις προσήκοιμεν. ὁ γὰρ υἱὸς τούτου καὶ Βασιλεὺς Θεόδωρος, τῷ Βασιλεῖ τῶν Βουλγάρων τῷ Ἀσὰν κεκήδευτο. καὶ νῦν ἡ τοῦ Βασιλέως τοῦ Ἀσὰν θυγάτηρ ἡ σύζυγος τοῦ τοιούτου Βασιλέως δέσποινα παρὰ Ρωμαίοις καὶ ἔστι, καὶ ὀνομάζεται. Τούτων οὖν ἁπάντων χάριν τὰ πολλὰ τῶν λεγομένων καταλιπόντας, ἐπ' αὐτὸν χρὴ ἰέναι, καὶ τοὺς αὐχένας ὑποκλῖναι τῷ τῆς δουλείας ζυγῷ. Χρηστὸς γὰρ ὁ ζυγὸς τῶν φρονίμων Βασιλέων καὶ γηραιῶν, καὶ πολλῷ κουφότερος τῶν ἔτι διατελούντων ἐν μείραξι. Ταῦτ' εἰρηκὼς πέπεικε πάντας ἀμογητὶ καὶ πολλῶν ἄτερ πραγμάτων γενέσθαι τοῦ Βασιλέως. καὶ δὴ πρέσβεις τινὰς τῶν συμπολιτῶν στείλαντες, τάχα μὲν κρύφα, μᾶλλον δὲ γινωσκομένους τοῖς πλείοσι, συμβάσεις μετὰ τοῦ Βασιλέως πεποίηνται. χρυσόβουλλος γοῦν τῷ Βασιλεῖ τῶν ᾐτημένων, σφίσι περιληπτικὸς γεγονημένος, καὶ δεδομένος τοῖς πρέσβεσι τοῖς τοῦ Μελενίκου ἀποσταλεῖσαι προσεπεστάχει οἰκήτορσι. καὶ οἱ μετ' οὐ πολλὺ ὁμοθυμαδὸν πάντες συνειλεγμένοι, ὅσοι τε τῶν προυχόντων, ὅσοι τῶν ἐν στρατείᾳ κατειλεγμένων, καὶ ὅσοι κρείττους, ἄλλοι τῶν οἰκητόρων πρὸς τὸν Βασιλέα ἀφίκοντο, σκηνουμένου περὶ τόπον Λαβίσδαν. οὕτω πως ὀνομαζόμενον, ἄνδρες ἀσταλεῖς τε καὶ ἔντιμοι, κἂν μόνης θέας αἰδοῦς καὶ τιμῆς ἄξιοι, ὑπὲρ πεντακοσίους τυγχάνοντες. ὡς αὐτὸς εἰρήκειν ἰδών. Ποία ὁπλομαχία ἡμῖν αὐτοὺς παρεστήσατο; ἢ πόσαι φάλαγγες ἱππέων τῶν τοσούτων περιεγένοντο; ἀλλ' ἐν τῷ κρείττονι ῥᾷστα καὶ τὰ μικροῦ δεῖν ἀνεπιχείρητα. κἀντεῦθεν δῆλον, ὡς ἀληθές ἐστι τὸ τοῦ Ἀποστόλου Παύλου εἰρημένον, οὐ τοῦ τρέχοντος, οὐδὲ τοῦ διώκοντος, ἀλλὰ τοῦ εὐδοκοῦντος Θεοῦ. τῷ τοι καὶ τὸν στρατηγὸν οὐ δεῖ πάμπαν ἐπαινεῖν, οὔτε μὴν ψέγειν. πολλὰ γάρ τινες διαγωνισάμενοι σπουδαίως τε, καὶ συντόνως δραστικώτερον τοῖς παροῦσι χρησάμενοι, μικρὸν ἢ οὐδὲν κατωρθώσαντο. ἔνιοι δὲ καὶ ἐσφάλλοντο πλεῖστα, ἕτεροι δὲ δεξιᾶς εὐμοιρηκότες τύχης, ἀμελεστέρως περὶ τὰ ἔργα χωροῦντες μεγάλων τροπαίων γεγόνασιν αὐτουργοί, οἷόν τι ξυνέβη τὸ τότε, καὶ τῷ Βασιλεῖ Ἰωάννῃ. πολλῶν γὰρ ἀστέων, καὶ χώρων πολλῶν ἐγεγόνει δεσπότης ἐν ἀκαρεῖ, μὴ τινος πολέμου γεγενημένου, μηδέ τινος πεσόντος ἐν μάχῃ, μηδὲ χυθέντος αἵματος, μηδὲ ξίφους κατορχησαμένου σώματος, ἀλλ' ἡμέρως καὶ γαληνῶς ὥσπερ τινὸς κλήρου πατρόθεν τούτῳ προσήκοντος ἀνιδρωτὶ τῶν τοιούτων ἁπάντων κατῆρξε. Στενίμαχος γάρ, καὶ Τζέπαινα, καὶ ὅσα ἐπὶ τῷ τῆς Ροδόπης ὄρει παρακείμενα, πολίχνιά τε, καὶ κωμοπόλεις ὑπόφορα τούτῳ γεγένηνται, καὶ ὅρος αὐτῷ τε καὶ τοῖς Βουλγάροις Εὗρος ἐστὶ ποταμός. ἐκ δὲ τοῦ πρὸς Βορρᾶν μέρους Στούμπιόν τε, καὶ Χοτοβὸς ὀχυρὰ ἄττα φρούρια, καὶ χῶρος ὁ Βελεβουσδίου ὑπὸ τὸν Βασιλέα

A *perpessi sumus, ea tamen spe, nos, si puer in virum evasisset, tantæ tolerantiæ præmia recepturos; postquam ille ætatem illam, quę virum probum a malo secernere potest, attigisset; sed cum id adversa fortuna amisimus, & infantulus alius ad regendos Bulgaros pręponatur, omni stulto stultiores essemus, si aliis rursum infortuniis nosmetipsos dederimus, tanquam qui in omne ævum absque principe, re omniū perniciosissima vivere vellemus. Sed quando Romanorum Imperator ad nos accessit, nos illi fido domino, & virum probum ac malū optime* Edit. Parif. *cognoscenti tradere debemus. Ipse jus ab anti-* pag. 42. *quo in nos obtinet; locus siquidem hic noster imperii Romani est. Bulgari vero alienis avaritia rapiis, Melenicum quoque occuparunt. Nos omnes ex Philippopoli orti primordia quoque generis liquido ducimus ex Romanis.* B *quinimmo & Romanorum Imperator, licet Bulgari essemus, jus tamen in nos habet. Filius quippe illius, & Imperator Theodorus cū Asano Bulgarorum principe affinitate conjungitur. Et nunc regis Asani filia domina a Romanis nuncupatur, & est. His itaque omnibus verba luculenta in pauca conferentes, ad eum recurrere debemus, colla illi nostra servituti constituta addicere. Sapientum namque regū, ac senum jugum suave est, multoque levius, quā infantium.* His sine allo labore, ac molestia omnibus suasit, ut Imperatoris partes sequerentur, quare ex civibus nonnullos, clā quidem, ut videre erat, sed plurimis tamen cognitos legant, & in fœdus cum Imperatore coeunt. Et Bulla aurea, qua res gestæ describebantur per eosdem Legatos Impe- C ratoris jussu ad Melenici defertur cives, qui una omnes simul, sive ex primoribus, sive militiæ adscriptis, sive celebrioribus, sive etiam habitatoribus in unum conspirantes ad Imperatorem apud Labisdam, (locum sic appellant) commorantem viri compti, ac nobiles, & ex solo aspectu venerandi, ac honoribus digni supra quingentos festinant. Ut ipse eos vidi ita locutus sum: *Quęnam nobis armorum fulgura viros subegit, aut quot equitum phalanges tot devicerunt? sed melioris præsidio facillime, & quæ vix umquam vinci poterant, debellantur. Hinc verissimum est Pauli Apostoli dictum, non esse currentis, neque persequentis, sed illius, cui Deus beneplacito suo concesserit.* Propterea Duces exercituum neque laudandi, neque vitupe- D randi sunt. Multi namque diligenter, ac prudenter certantes, dum animosius rem peragunt, parum, aut nihil profecerunt, plerique etiam operam, & oleum, ut plurimum perdiderunt; alii secunda freti fortuna segniter se in rebus agendis occupantes, ingentia trophæa consecuti sunt, uti tunc Imperatori Joanni accidit, qui nulla mora multarum urbium, multorumque oppidorum absque ullo prælio, absque ullius cædo, sine effusione sanguinis, sine gladii in corpus humanum sævitia, sed placite, ac quiete, & sine sudore, ac si in hæreditatem paternam immitteretur, dominationem adeptus est. Stenimachus enim pag. 43. & Tzepæna, & quotquot Rhodopes monti oppidula, cujusque adjacent, tributaria habuit, & Imperatoris, ac Bulgarorum fines Hebrus fluvius terminavit. In Boreali plaga Stumpium, Chotobos, castra mu-

nitione valida, & Belebudli locus Imperatori cesserant: nec non Scopia, & Belesus, cæteraque usque Prilapum, & Pelagonios agros: item Neustapolis, & Prosacus sese subjecerant: & super his Bulgarorum rex, & Imperator sic convenerant, ut Imperator scilicet his & solis contentus nihil ulterius attentaret. Et hæc quidem ita peracta sunt. Ipse in scribendis epistolis operam navabam, singulis urbibus, ac oppidis captis scribens, & imperatorium sigillum imprimens. Namque id moris erat Romanorum Imperatoribus per litteras longe distantibus, egregie a se gesta significare, voluptatemque illis, quam ipsi experirentur, conciliare.

XLV. Cum itaque hæc ab Imperatore sic essent peracta, quibus magnam ille lætitiam, nec minorem Romani omnes conceperant, tamquam qui inde magnum in imperio progressum, & amplitudinem virium auspicarentur, de reditu, & in Orientem abitione cogitari cœptum est; tempus enim id præstolabatur, cum October effluxisset, & medius jam November excurreret. Verum, rumor nescio quis probus, & apprime utilis impetum cohibebat. Thessalonica enim, ut supra narravimus, Theodoti filium Demetrium Despotam agnoscebat, cognominabatque, cum eo honore ab Imperatore insigniretur. Sed cum, ut ante diximus, puer sceleribus illaquearetur, rebusque ludictis, puerorumque nugamentis, non virorum prudentium colloquiis, nec justæ Reipublicæ administrationi, ac regimini incumberet, insidiis a nonnullis appetitur, quorum præcipui, & notiores fuere Spartenus, Campanus, Jatropulus, Cutzulatus; insigniores Michael Lascaris, & Tzyritho magni Chartularii dignitate ab Imperatore condecoratus; reliquos conspirationis socios nondum novimus, ita una cum multitudine coiere, ut inauditi, ignotique pluribus remanserint. Unum ex his Campanum insidiarum instructissimum ad Imperatorem Joannem ablegant, quasi ille negotiationis causa proficisceretur, reveta tamen, ut Bullam auream impetraret, qua antiqua Thessalonicensium jura, ac privilegia comprobarentur, & libertas civibus assereretur. Imperator in vota eorum concedens pro sententia omnia exequitur: munerum etiam inter consilii adjutores distribuendorum promissionibus rem sollicitat, & scripto se obligat. His ita tuto dispositis Melenico egrediens Thessalonicam contendebat, prius ad Demetrium viris delegatis, ut ille, si pacta servare vellet, ad se proficisceretur, & debitum exolveret. Sic enim ille convenerat, jureque se jurando obstrinxerat. Ille, neque enim ex se aliquid sapere poterat, insidiatoribus pro consiliariis usus, domi mansit. Vocationem etenim Imperatoris in eum fraudulenta esse consilia affirmabant: qui cum ineptus, nec esset animi compos eorum sermonibus, quocumque illum traxissent, agebatur. Accidit etiam quod condimenti loco orationi meæ interponam. Campanum, unum ex conspirantibus, ut supra diximus, non a Demetrio, sed ab adversario stare, cum ex Imperatore rediisset, non nemo renunciavit. judicio penes Demetrium sistitur, & accusatur ab iis, qui vera referebant, eum clam in principem machinari, seducereque populum: litteras

Edit. Paris. pag. 44.

A λῶ, Σκοπιά τε καὶ Βελεσὸς καὶ μέχρι Πριλάπου, καὶ τῶν Πελαγονίας χωρίων, Νεάπολίς τε, καὶ Πρόσακος τὰ πάντα ὑπῆρξε τῷ Βασιλεῖ ὑποχείρια. καὶ σπονδαὶ ἐπὶ τούτοις τῷ Βουλγάρων τῷ Βασιλεῖ ἐγεγόνεισαν, τοῖς τοιούτοις καὶ μόνοις ἀρκεῖσθαι τοῦτον, καὶ μὴ περαιτέρω καταπεμβαίνειν. Καὶ ταῦτα μὲν οὕτως εἶχε τὸν τρόπον. ἐγὼ δὲ αὐτὸς ἐν τοῖς ἐπιστολιμαίοις τῶν λόγων ὑπούργουν, ἑκάστῳ τῶν ἁλισκομένων ἀστέων τε καὶ χωρῶν, καὶ γραφὴν ἐγχαράττων βασιλικήν. ἔθος γὰρ τοῦτο παλαιὸν τοῖς Βασιλεῦσι Ῥωμαίων δῆλα τοῖς μακρόθεν διὰ γραμμάτων ποιεῖν τὰ σφῶν αὐτῶν κατορθώματα, καὶ πρὸς ἡδονὴν ἐπεγείρειν, ἧς δὴ καὶ οὗτοι διὰ τῶν ἔργων μεταλαγχάνουσιν.

με΄. Ἐπεὶ γοῦν οὕτω ταῦτα διεπράχθη τῷ Βασιλεῖ, B πολλῆς μὲν ἡδονῆς αἴτια τούτῳ γεγενημένα, οὐχ ἧττον δὲ καὶ πᾶσι Ῥωμαίοις, αὔξησιν τινὰ κατιδοῦσι τοῦ κράτους, καὶ πλατυσμὸν τῆς ἀρχῆς, ἦν μὲν πρὸς βουλήσεως τῷ Βασιλεῖ μνήσασθαι νόστου, καὶ πρὸς τὴν ἕω ἐπαναζεῦξαι, καὶ γὰρ καὶ ὁ καιρὸς τοῦτο ἀπῄτει. ἤδη γὰρ παρερρύη Ὀκτώβριος, καὶ περί που τὰ μέσα τούτου διήρχετο ὁ Νοέμβριος. ἀλλά τις λόγος χρηστός, καὶ πάνυ ὠφέλιμος ἐνεπόδιζε τὴν ὁρμήν. ἡ γὰρ Θεσσαλονίκη, καθάπερ προϊστορήσαμεν, τὸν τοῦ Θεοδώρου υἱὸν τὸν Δημήτριον ἐγνώριζέ τε Δεσπότην, καὶ κατωνόμαζε. Δεσπότης γὰρ ἦν καὶ πρὸς τοῦ Βασιλέως τετιμημένος. Ἐπεὶ δ' ὡς προπεφθάκαμεν περὶ τούτου ἐρεῖν, ἀπάθαλον ἦν τὸ μειράκιον, καὶ παιδιαῖς ἐνσχολάζειν προσῆκον, καὶ μειρακίων ἀθύρμασι, C μή τι γε ἀνδρῶν προΐστασθαι συνετῶν, καὶ πολιτείας κατάρχειν, καὶ νομίμως ἐπιστατεῖν, ἐπιβουλὴν κατ' αὐτοῦ τινὲς ἐξαρτύουσιν, ὧν οἱ ὀνομαστοί τε καὶ γνώριμοι, Σπαρτηνός ἦσαν, καὶ Καμπανὸς, ὁ Ἰατρόπουλός τε, καὶ ὁ Κουτζουλάτος· οἱ δὲ τῶν ἐπισήμων, ὅ, τε Μιχαὴλ ὁ Λάσκαρις, καὶ ὁ Τζυρίθων, ὃν καὶ μέγαν Χαρτουλάριον ὁ βασιλεὺς Ἰωάννης τετίμηκεν. Ἄλλοι δὲ οἱ τοῦ σκάμματος κοινωνοὶ οὔπω δῆλοι, ὡς αὐτοὶ σφίσι τοῦ πράγματος σὺν τῷ πλήθει γεγόνασιν, ἀλλ' ἔμειναν ἀπαράγνωστοι τοῖς πλείοσιν. Ἕνα γοῦν τινα τῶν εἰρημένων, τὸν Καμπανὸν οἱ πάντες συσκευασάμενοι εἰς τὸν Αὐτοκράτορα Ἰωάννην ἐκπέμπουσιν πραγματείας μὲν προφάσεως χάριν, τῇ δὲ ἀληθείᾳ κοινοῦ χρυσοβούλλου ἐπιμοιρῆσαι, τῶν ἀνέκαθεν προσαρμοσάντων Θεσσαλονίκῃ ἐθίμων τε καὶ δικαίων περιεκ- D τικόν, καὶ τῆς σφῶν ἐλευθερίας παρεκτικόν. Ὁ μὲν οὖν Βασιλεὺς πάντα τε τούτοις κατὰ σκοπὸν ἐπεπράχει, καὶ δωρεῶν ὑποσχέσεις τοῖς ὑπηρετήσουσι τῇ πράξει, καὶ ἐγγράφως τίθησι. Ταῦτα δὲ ἐς τὸ ἀσφαλὲς οἰκονομήσας ὁ Βασιλεὺς ἀπάρας τῶν Μελενίκου χωρίων, περὶ τὴν Θεσσαλονίκην ἐφέρετο, πρότερον ἐξαποστείλας πρέσβεις ἐς τὸν Δημήτριον, ὡς ἂν κατὰ τὰς αὐτοῦ ὑποθήκας ἀφίκοιτο εἰς αὐτόν, καὶ ἀφοσιώσοι τὸ ὄφλημα. Οὕτω γὰρ συνέθετο καὶ κατώμοσεν. Ὁ δὲ οὐδὲ γὰρ εἶχε νοεῖν οἴκοθεν, τοῖς ἐπιβούλοις συμβούλοις χρώμενος, οἴκοι καταμένειν ἐπείθετο. σκευωρίαν γὰρ ἔφασκον εἶναι κατ' αὐτοῦ τὴν τοῦ βασιλέως μετάκλησιν. κοῦφος δὲ ὢν οὗτος τὰς φρένας, τοῖς αὐτῶν λόγοις συνεφέρετο, ὅποι καὶ ἐλῷεν. ξυνέβη δὲ κἂν τούτοις ὅπερ ὡς ἡδύσματι παραθήσω τοῖς λόγοις. τὸν Καμπανὸν ἕνα καὶ τοῦτον τῶν συνιστόρων τοῦ δόλου προσπομψῶ εἶναι τὰ οὐχ ὑπὲρ Δημητρίου φρονοῦντα, ἀπήγγειλάν τινες, ἐπεὶ καὶ ἐκ Βασιλέως ἐπανεζεύξεν, καὶ ὃς παρέστη τῷ Δημητρίῳ, καὶ κατηγορεῖτο πρὸς τῶν ἀληθῆ κατ' αὐτοῦ φασκόντων, ὡς ῥᾳδιουργεῖ κρύφα, καὶ ἀποπειρᾶται τοῦ λαοῦ, καὶ γραφαὶ πρὸς αὐτοῦ

A τῷ βασιλεῖ πέμποιτο, καὶ λόγοι μυστηριώδεις διαμηνύοιντο. Καὶ ἦν πρὸς τῇ τοιαύτῃ ἐξετάσει ὁ Καμπανός. Ὁ γοῦν Σπαρτηνὸς συμμύστης ὢν τῶν πραττομένων περὶ τὸν τοιοῦτον μεμαθηκώς, τάχος ἐκεῖσε φέρεται, καὶ ὡς εἶχεν ἄσθματος καὶ σπουδῆς, τί σφίσι περὶ τοῦδε τοῦ ἀλιτηρίου κατηγοροῦσί τινες, Δέσποτα, ὡς εἰ ἁλῴη τούτοις, πολλῶν θανάτων κριθείη ἂν ἄξιος. Καὶ ὁ Δημήτριος, ἐθάρρει γὰρ μάλα τούτῳ ὡς πιστῷ, καὶ πάνυ τοῦτον εὐνούστατον κατὰ τὸν Κωμικόν, εἰ καὶ μὴ κλεπτίστατον ἡγεῖτο, προδότην τοῦτον, Σπαρτηνέ, φασὶν εἶναι οἱ τοῦτον διώκοντες. Ὁ δὲ παίει τὸν Καμπανὸν κατὰ τῆς σιαγόνος τῷ καρπῷ, σφόδρα χρησάμενος τῇ βολῇ, καὶ λαβόμενος τούτου τοῦ γενείου, ἐγώ, φησίν, αὐτὸν ἐν τοῖς οἴκοις ἀπαγαγών, Δέσποτα, ἐτασμοῖς ὑποβαλὼν τὸ πρῶτον, πάντα τοῦτον καταναγκάσω ἔκφορα ποιῆσαι τὰ κρύβδην τούτοις ῥαδιουργούμενα.

B Ταῦτ' εἰπὼν, καὶ ὡς εἶχε τάχους ἐς τὴν οἰκίαν ἀπῄει. Ὁ μὲν οὖν Καμπανὸς τὸ ἀπὸ τοῦδε κλίνην εἶχε καὶ στιβάς ὑψηλὰς πρὸς ἀνάπαυσιν, καὶ τὰ ἐς τρυφὴν μᾶλλον ἐφευρημένα, οἷς καὶ μᾶλλον χαίρουσιν ἄνθρωποι, οἱ τοιαῦτα μεμελετηκότες διαπράττεσθαι πράγματα. Ὡς δέ καί τινες ἔφασαν, ἀσκὸν διαφορήσας ὁ Σπαρτηνὸς, καὶ πληρώσας τοῦ πνεύματος, εἶτα καὶ δεσμεύσας, ὡς ἂν μὴ ἅπαν ἐναπολείπεσθαι πνεῦμα, μή τινος οὔσης τούτῳ τῆς ἐκροῆς, ἀπαιωρήσας, ἔτυπτε ῥάβδοις τάχα τὸν Καμπανὸν, ἀποκαλύψαι τὰ κρύφια. Ἀσκὸς δὲ ἦν, οὐ Καμπανὸς ὁ τυπτόμενος. Ἐπεὶ δὲ ἡ ἀρκοῦσα ὥρα παρῆει, καὶ ἄξιον ἐτασμὸν δεδιωκημένην ποιήσασθαι, καὶ ἔκπυστον θεῖναι, καὶ τὸ ἐν μυχοῖς βαθυτάτοις ἐγκείμενον ἄρρητον, ὡς εἶχε ποδῶν, ὁ Σπαρτηνὸς ἀφίκετο πρὸς τὸν Δημήτριον, καὶ

C εἴρηκε, Δέσποτα, ὅρκῳ σε πιστώσομαι τὸ πρᾶγμα. Μὰ τὴν σὴν, καὶ ἡμῶν ἁπάντων Δημήτριον, τὸν αὐθέντην τῆς Θεσσαλονίκης, καὶ πολιοῦχον (οὗτος δὲ ὁ ὅρκος παρὰ Θεσσαλονικεῦσι πλέον τῶν ἄλλων ὅρκων ἰσχύει) τοιοῦτός ἐστιν ὁ Καμπανὸς, ὁποῖός ἐστιν ὁ Σπαρτηνός, καὶ οὕτω διάκειται περὶ σὲ, καθάπερ δὴ καὶ ὁ Σπαρτηνός, ὃν ἀνθρώπων ἁπάντων πλέον σε φιλοῦντα ἐπέγνωκας. Οὕτως ὁ Σπαρτηνὸς τὴν μέλλουσαν φωραθῆναι ῥαδιουργίαν οἰκονομικῶς διεσκέδασεν. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης ἀπάρας τὰ στρατεύματα ἐπὶ τὴν Θεσσαλονίκην ἐξ ὄρθρου χωρεῖ, καὶ περὶ ταύτην ἐστρατοπεδεύσατο. Πολιορκῆσαι

D μὲν γὰρ οὐκ ἦν αὐτήν. Οὐ γὰρ ἀρκούσας εἶχε τὰς ἐπὶ τούτῳ δυνάμεις. Πρεσβείας δὲ ἐποίει, καὶ ἐζήτει ἐξελθεῖν πρὸς αὐτὸν τὸν Δημήτριον, καθὼς ἦν ὀμοσμένον αὐτῷ. Ἔτι δὲ ποιῆσαι καὶ ἀγορὰν ἔξω τῆς πόλεως Θεσσαλονίκης, ὡς ἂν ἔχοιεν ὠνεῖσθαι τὰ χρειώδη τὰ στρατεύματα. Ὁ δὲ τοῖς ἐπιβούλοις συμβούλοις χρώμενος, οὐδὲν τι τῶν τοιούτων ποιῆσαι παρεχώρει. Πάνυ δὲ ὀλίγων ἡμερῶν παραδραμουσῶν ὀλίγου τινὸς στρατεύματος πλησίον ἱσταμένου τῆς μικρᾶς πύλης τῆς παρὰ τῇ θαλάσσῃ, καὶ ἐπονομαζομένης, διὰ τὸ μὴ ἀπροόπτως ἐξελθεῖν τινὰς τῶν τῆς πόλεως, καί τινας λυμαίνεσθαι τῶν ἐκ τοῦ στρατοῦ, ἐξαπίνης ἐκ ταύτης ἐγεγόνει βοὴ, ὡς λύοιτο ἡ πύλη παρά τινων τῶν ἐντὸς, καὶ τῇ βοῇ συνείπετο ἡ παραφυλάττουσα δύναμις, καὶ σύμπαν δὲ τὸ στράτευμα ὁπλισθὲν, μετὰ τοῦ κρατοῦντος εἰσέπεσε. Καὶ ἐν ἀκαρεῖ πάντας εἶχεν ἡ Θεσσαλονίκη τοὺς τοῦ βασιλέως ἐντός. Ὁ δὲ βασιλεὺς εἱστήκει παρὰ τὴν πρὸς ἀνατολὰς βλέπουσαν πύλην τῆς πόλεως, καὶ ἡ τοῦ Δημητρίου ἀδελφὴ Εἰρήνη τοῦ Βουλγάρων Ἀσὰν γαμετὴ, γονυπετοῦσα, καὶ ποτνιωμένη, μὴ παθεῖν τὸν ἀδελφὸν αὐτῆς τῶν ὀφθαλμῶν στέρησιν. Ὁ δὲ Δημήτριος ἔφθη εἰς τὴν ἀκρόπολιν ἀναβάς. Ἐγγύας δὲ ἐνωμότους πρὸς

A ad Imperatorem scriptitare, quibus arcana imperii revelaret: & simili quæstioni Campanus supponebatur. Spartenus machinationis consors, ubi id rescivisset, quam citissime eo advolat, & ut ut potuit, anhelans: *Cujus causa*, inquit, *Despota scelestus iste in jus rapitur, qui si similium criminum convincatur, ne ille & jure merito multis mortibus condemnabitur*. Et Demetrius illi tamquam fidei spectatæ viro confidens, cum eum sibi amicissimum, etsi non furacissimum, ut Comici verbis utar existimaret. *Qui hunc accusant, proditorem esse*, Spartene, *fatentur*. Ipse pugno, eoque vehementissimo Campani maxillam contundit, arreptaque illius barba. *Ego*, inquit, *Despota domum conductum tormentis primum adhibitis, quæcumque ipse sive consilii occulte pertentarum, cogam confiteri*. Dixit, & qua

B potuit celeritate domum abiit. Campanus itaque ex illo in lecto pulcherrimo, ac magnifico stragulo inter plumas quiescebat, & quæcumque ad augendum luxum, & sese oblectandum viri hisce rebus perditi ingenii acumine comparare nituntur, large, effuseque illi subministrabantur. Sermo & ille nonnullorum fuit, Spartenum utrem inflasse, implevisseque flatu, dein illigasse, ne flatus in eo interclusus aliqua ex parte efflueret. Eum appensum flagellis, ac si Campanum quateret, ut quæ sciret, indicaret, cædebat. Verum non Campano, sed utri ictus illi incutiebantur. Tandem cum hora, quæ pro habenda quæstione, & ad ea revelanda, quæ etiam

C in occultissimis abdita latebant, plus satis esse poterat, effluxisset, Spartenus velocius ad Demetrium pervolat, & iosit. *Rem tibi sacramento corrobero per tuum, & nostrum omnium Demetrium Thessalonices curatorem, ac moderatorem*, quo sane sacramento apud Thessalonicenses nil solemnius, nil sanctius excogitari potuit, *non aliud a Sparteno Campanus est, qui æque ac Spartenus, quo nullum inter mortales reliquos tui studiosiorem cognoscis, in te animo affectus est*. Sic Spartenus scelus alias detegendum provide exhausit, & quæstioni finem fecit. Igitur Imperator Joannes una cum milite primo diluculo Thessalonicam appellit, ibique castra ponit: nam obsidione eam cingere, cum ad obsidendum necessaria minime

D suppeterent, non poterat. Caduceatoribus porro Demetrium, ut ipse juratus Imperatori fuerat, ad se accersit, emporiumque poscebat extra Thessalonicam, in quo milites, quæ sibi usui essent, pretio coemerent. Ille a consultorum insidiis sibi non præcavens, dictis eorum obsecundans, nihil ex his, quæ Imperator indixerat, executus est. Paucissimos post dies parva militum manus apud pusillam urbis portam, & mari spectantem adsidens, custodiensque, ne quis ex urbe ex improviso irrepens militem læderet, oborto inde clamore portam ab iis, qui intus erant, apertam fuisse, clamorem insequitur, & universus exercitus post eam armatus cum Imperatore confestim Thessalonicam ingressus, omnia occupant. Imperator in porta urbis, quæ in Orientem vergit, stetit, aderat & Demetrii soror Irene, Bulgarorum Asani uxor supplex, genibus nixa, & lacrymabunda exorans, ne frater oculis obcæcaretur. Demetrius in arcem prius sese receperat. Soror, spondente, ac jurejuran-

Edit. Paris. pag. 45.

do promittente Imperatore oculos eum non amissurum, fratrem adolescentis ætatem maturam admodum præferentem, sed adhuc imberbem, forma, & specie egregium ad Imperatorem detulit. Eam honore ornavit Imperator, ut enim illa equo descendit, Imperator etiam a proprio vehiculo exiliens, pedes cum ea stetit. Thessalonica hac ratione sub Imperatoris Joannis ditione facta est, imo potius sub tutela Romanorum acquievit; illius etenim domini Romanis contraria sentiebant.

XLVI. Nec multum Thessalonicæ commoratus Imperator, hyberna namque tempestate, Decembre mense exhorrescente pellebatur, in ea magnum Domesticum Comnenum Andronicum Palæologum, cujus sæpius meminimus, inter viros militia celebres primas ferentem, prudentissimum, & quammaxime mansuetum, aciei instruendæ, & digerendi militem optime gnarum, & belli, pacisque artibus clarum relinquens, victor, triumphans in Orientem reversus est, ab omnibus laudibus, encomiisque ob celerem, ac maximam victoriam, non a suis modo, sed externis etiam condecoratus. Supra enim naturæ captum facinus & trophæorum crebritas divina potius providentia, quam militaribus artibus patrata fuisse visa sunt. Præterea Melenicum, Serras, ac loca adjacentia in fidem, ac clientelam Michaelis Comneni, dicti magni Domestici primi filii, quem post annos non multos Romanorum imperium, non sine & fortunarum, & gloriæ incremento, sui administratorem agnovit, contulit: nec non arcibus tuendis, ac defendendis urbibus alium, atque alium imposuit, quibus magnum Domesticum, ut illius imperia æque ac subditi capesserent, præcepta sarta tecta haberent, rebus gerendis obsecundarent, præfecit. Ergo Imperator regressus in Oriente degebat. Demetrium a Thessalonicensium dominatu exturbatum, & in arce Lentiana occlusum in custodiam misit. Magnus interim Domesticus non diu vita protracta, sed qui non sine nominis, & gloriæ fama in administratione se gesserat, in morbum incidens, capillis detonsis vitam finiit: in cujus locum suffectus est Theodorus Philes, qui loco illius imperium regeret. Subacta Thessalonica, ac Berrœa, quæ inde extendebantur loca ad occasum ab usque Platamone, & quæcumque ad Pelagoniam, Achridam, & Prilapum attinebant, sub Michaele Despota erant. Bodeni, Staridola, Strobus, & circa ea loca sub Demetrii fratre. Michaelem patruus Angelus Theodorus penes se habebat.

Edit Paris. pag. 46.

XLVII. Imperator cum Nymphæi hybernasset, ineunte vere, suo more faciens, inde egressus, cum undique pactæ induciæ cessationem belli fecissent, proxima Constantinopoli oppida, & a Latinis possessa, Tzurulum scilicet, Bizyam, bello aggredi instituit: nam collapsas Latinorum vires animadverterat. Quare tranato Hellesponto apud Tzurulum primo sedem locat. Erat eo in oppido Eudocia soror uxoris Imperatoris, quam sibi Aseldecae, ita Imperatrice Irene, & genero, & Imperatore annuente, in matrimonium conjunxerat. Aseldecae quippe Imperatoris invasione comperta, non diu in oppido moratus, præsidiis loco firmato profugerat, consortem suam Eudociam ibidem relinquens; ratus Imperatorem pro-

A τοῦ βασιλέως λαβοῦσα, ὡς οὐκ ἀπολέσει οὗτος τοὺς ὀφθαλμούς, ἄπεισί τε παρὰ τὸν ἀδελφόν, καὶ πρὸς τὸν βασιλέα τοῦτον ἐξήγαγεν. Ἦν δὲ φέρων οὗτος τὴν ἡλικίαν τοῦ μείρακος προσεχῶς εἰς αὐτὴν παραγγείλας, καὶ μήπω χνοάζων τὸ γένειον· ὡραῖος δὲ τὸ εἶδος καὶ τὴν ὄψιν. τετίμηκε δὲ ταύτην ὁ βασιλεύς. ὡς γὰρ ἀπέβη αὐτὴ τοῦ ἵππου, τηνικαῦτα καὶ ὁ βασιλεὺς τοῦ οἰκείου ὀχήματος ἀποβάς, πεζὸς ἱστήκει σὺν αὐτῇ. Ἡ μὲν οὖν πόλις Θεσσαλονίκη οὕτως ὑπὸ τὸν βασιλέα γέγονεν Ἰωάννην, μᾶλλον δὲ ὑπὸ Ῥωμαίους. Οἱ γὰρ αὐτὴν κρατοῦντες ἐναντιόφρονας Ῥωμαίοις ἐτέλουν.

μϛ'. Ὀλίγας δὲ πάνυ ἡμέρας ἐν τῇ Θεσσαλονίκῃ προσκαρτερήσας ὁ βασιλεύς, κατήπειγε γὰρ αὐτὸν ὁ τοῦ B χειμῶνος καιρός· Δεκέμβριος γὰρ ἐτύγχανε μήν, ἀφεὶς ἐν αὐτῇ τὸν μέγαν δομέστικον τὸν Κομνηνὸν Ἀνδρόνικον τὸν Παλαιολόγον, οὗ πολλάκις ἐμνήσθημεν, τὰ πρῶτα φέροντα τῶν ἐν στρατηγίαις πεπαγμένων, ἄνδρα συνετώτατον, καὶ πρᾳότατον, καὶ εὖ εἰδότα καὶ μάχην ὁπλίσαι καὶ διευθῦναι λαόν, καὶ ἐν πολεμικοῖς, καὶ εἰρηνικοῖς τοῖς καιροῖς, νικητὴς ἐπανέζευξεν εἰς τὴν ἕω, θαυμαζόμενος ὑπὸ πάντων καὶ κλεϊζόμενος τῆς ταχίστης ὑπὸ καὶ μεγίστης νίκης, οὐχ ὑπὸ τῶν οἰκείων μόνον, ἀλλὰ καὶ ὑπὸ τῶν ἀλλοτρίων. ὑπὲρ φυσικὴν γὰρ πρᾶξιν ἔδοξε τὸ κατόρθωμα, καὶ τῶν τροπαίων τὸ ἀλλεπάλληλον, καὶ Θεοῦ μᾶλλον προνοίᾳ, ἢ στρατηγικαῖς μεθόδοις ταυτὶ διαπράξασθαι. καταλέλοιπε δὲ καὶ εἰς τὸ τοῦ Μελενίκου, καὶ τὴν τῶν Σερ- C ρῶν καὶ τῶν περὶ αὐτὰς φυλακήν, τὸν τοῦ εἰρημένου μεγάλου δομεστίκου πρῶτον υἱὸν τὸν Κομνηνὸν Μιχαήλ, ὃν μετὰ χρόνους τινὰς ἡ τῶν Ῥωμαίων βασιλεία πεπλούτηκεν εἰς εὐτυχίαν ταύτης καὶ εὐδοξίαν, ἄλλον τε ἀλλαχοῦ ἐπαφῆκεν εἰς ἀσφάλειαν τῶν χωρῶν τε καὶ πόλεων, ἐπάνω δὲ πάντων τὸν μέγαν δομέστικον, ὡς ἂν ὑπείκοιντο πάντες αὐτῷ, καὶ τοῖς ὑπ' αὐτοῦ λεγομένοις τε καὶ πραττομένοις. Ὁ μὲν οὖν βασιλεὺς εἰς τὰ τῆς ἕω μέρη διαπεράσας διῆγε, καὶ τὸν Δημήτριον, ὃν τῆς Θεσσαλονικαίων ἀρχῆς καθεῖλεν, ἐν τῷ φρουρίῳ καθείρξας τῶν Λεντιανῶν ἐτήρει. Ὁ δὲ μέγας δομέστικος ὀλίγον ἐπιβιοὺς χρόνον, καὶ καλῶς διαπρέψας ἐν τῇ ταύτης ἀρχῇ, νοσήσας καὶ τὰς τρίχας ἀποκαρείς, τὸ βιοῦν ἐξεμέτρησεν. ἀπεστάλη δὲ ἀντ' αὐτοῦ Θεόδωρος ὁ Φιλῆς, D ἀντ' αὐτοῦ διέπειν τὰ τῆς ἀρχῆς. ἐπεὶ δὲ ὑπὸ τὸν βασιλέα ἐγεγόνει Θεσσαλονίκη, καὶ Βέρροια, τὰ ἐκεῖθεν αὐτῶν καὶ πρὸς δυσμὰς ἀπὸ τοῦ Πλαταμῶνος ἀρχόμενα ὑπὸ τὸν δεσπότην Μιχαὴλ ἐτέλουν, ἔτι τε τὰ περὶ Πελαγονίας, καὶ Ἀχρίδα, καὶ Πρίλαπον. τοὺς δὲ Βοδηνούς, καὶ Σταρίδολα, Στρόβον τε καὶ τὰ περὶ ταῦτα ὁ τοῦ Δημητρίου πατήρ. τὸν Μιχαὴλ δὲ θεῖος ὁ Ἄγγελος κατεῖχε Θεόδωρος.

μζ'. Ὁ μὲν οὖν βασιλεὺς ἐν τοῖς τοῦ Νυμφαίου παραχειμάσας, ἦρος φανέντος, ὥσπερ εἰώθει, ἐξῄει ἐκεῖθεν, ἐκεχειρίαν δὲ ἐξ ἁπάντων ἔχων τοῖς πλησιάζουσιν ἄστεσι τῆς Κωνσταντίνου, καὶ παρὰ Λατίνων κρατουμένοις, τῇ Τζουρουλῷ φημί, καὶ τῇ Βιζύῃ ἐπιθέσθαι τεθέληκεν. ἑώρα καὶ γὰρ πάνυ τὰ τῶν Λατίνων ἠσθενημένα. Διαπεραιω- E θεὶς γοῦν τὸν Ἑλλήσποντον ἐν τῇ Τζουρουλῷ τὸ πρῶτον ἀφίκετο. Ἦν δὲ ἐντὸς τοῦ ἄστεος ἡ τοῦ βασιλέως γυναικαδέλφη Εὐδοκία, ἣν ὁ Ἀσελ-δεκὰς εἰς γυναῖκα ἠγάγετο τῆς ἀδελφῆς αὐτῆς βασιλίδος Εἰρήνης, καὶ τοῦ γαμβροῦ καὶ βασιλέως θελήματι. Ὁ μὲν οὖν Ἀσελ-δεκὰς οὐκ ἐκαρτέρησεν ἐν τῷ ἄστει. τὴν γὰρ τοῦ βασιλέως ἐπιγνοὺς ἔφοδον, ἐκεῖνος μὲν ἐξῄει, τὴν δὲ σύζυγον αὐτοῦ Εὐδοκίαν εἴασεν ἐν τῷ ἄστει, φυλακὴν ἱκανὴν συν-

πιστώσας αὐτῷ. ἔδοξε γὰρ αὐτῷ ὡς διὰ τὴν αὐτοῦ γυναικαδέλφην οὐκ ἂν βουληθείη ὁ Βασιλεὺς πορθῆσαι τὸ ἄστυ. ἐκεῖνος δὲ τὰ πολλὰ παρορῶν τῶν τοιούτων, περικάθισε τῷ ἄστει, καὶ ἑλεπόλεις ἔστησε, καὶ μηχανήματα καταβλητικὰ τῶν ἐπάλξεων, καὶ διὰ μετρίων πάνυ τῶν ἡμερῶν ἐχειρώσατο, καὶ τὴν μὲν αὐτοῦ γυναικαδέλφην, εἰς τὴν Κωνσταντινούπολιν ἐξαπέστειλεν, ἕνα ἵππον αὐτῇ δούς, ἐν ᾧ ἐποχεῖται, πάντας δὲ τοὺς εἰς φυλακὴν τοῦ ἄστεος ὄντας πεζοὺς ἀπέλυσεν. ἀλλὰ καὶ τὸ τῆς Βιζύης ἄστυ στρατιὰν ἐπιπέμψας διὰ βραχέος κεχείρωκεν, καὶ συνήγαγε καὶ τοῦτο τῇ αὐτοῦ ἐπικρατείᾳ.

μή. Κατὰ τοὺς καιροὺς τούτους ἑάλω καὶ τὸ ἄστυ τῆς νήσου Ῥόδου ὑπὸ Γεννουιτῶν νυκτὸς ἐν κλοπῇ. ὁ γὰρ κρατῶν αὐτῆς Ἰωάννης ὁ Γαβαλᾶς, ὁ τοῦ Καίσαρος Λέοντος τοῦ Γαβαλᾶ ἀδελφός, ὁ καὶ μετὰ θάνατον τοῦ ἀδελφοῦ αὐτοῦ τῆς νήσου δεσπόζων, ἀποδεδημήκει μετὰ τοῦ Βασιλέως κατὰ τῶν ἐν Κωνσταντινουπόλει εἰρημένων Λατίνων, περὶ τὰ μέρη Νικομηδείας διάγοντος. εὐθὺς οὖν βασιλικῇ προσταγῇ στέλλεται ὁ ἐπὶ τοῦ κεράσματος Ἰωάννης ὁ Καντακουζηνός, ὅστις γὰρ ἔτυχε τῷ τότε τὴν δουκικὴν τῶν Θρακησίων ἀνεζωσμένος ἀρχήν, καὶ εἰσῆλθεν ἐντὸς τῆς νήσου μετὰ μετρίων τινῶν δυναμένων ὅπλα κινεῖν, καὶ φθάνει ἀπαιτεῖν τὰ ἐν αὐτῇ φρούρια, τό τε ἐπονομαζόμενον Φιλέρημον, καὶ Λιτὸν τὸ ἕτερον. ἐμάχετο οὖν ὡς εἶχε δυνάμεως τοῖς Γεννουΐταις. Ἐπεὶ δὲ ἀξιόμαχος παρὰ τοῦ κρατοῦντος ἀπεστάλη τούτῳ στρατός, ἐγγύς που τοῦ ἄστεος πηξάμενος τὰς σκηνάς, ἐπολιόρκει τοὺς ἐντὸς Γεννουΐτας, οὐ κατέβλαπτε δὲ αὐτούς, τροφῶν γὰρ εὐπόρουν διαρκῶν. τὰς γὰρ τῶν Ῥοδίων οἰκίας πλήρεις εὑρόντες τῶν ζωαρκῶν, οὐδενὸς τῶν ἀναγκαίων ἐσπάνιζον. συνεσκηνάζοντο δὲ καὶ ταῖς τούτων γυναιξίν, εἰ μή τινα ἔξωρον οὖσαν, ἢ τὸ εἶδος οὐκ ἀγαθὴν ἀπήλασαν ἔξω. καὶ τάχος μὲν ἂν τὸ τῆς Ῥόδου ἄστυ ὑπὸ Ῥωμαίους ἐγένετο, τῇ συνεχεῖ πολιορκίᾳ τοῦ Καντακουζηνοῦ, καὶ ταῖς εὐμηχάνοις τούτου ὁπλομαχίαις, εἰ μή τι ξυνέβη τοιοῦτον. ὡς γὰρ τῆς Ἀχαΐας καὶ Πελοποννήσου Πρίγκιψ Βιλαρδουΐνος εἰς τὴν Συρίαν ἀνήγετο, συμμαχίαν ἐπάγων τοῖς εἰς Συρίαν ἀφικομένοις Φράγγοις, κἀν ταῖς τριήρεσιν αὐτοῦ ὁπλίτας εἶχεν ἱππότας, προσώκειλε δὲ τῇ νήσῳ Ῥόδῳ, καὶ συνθήκην μετὰ τῶν ἐν αὐτῇ Γεννουϊτῶν ἐποιήσατο, καὶ καταλέλοιπε παρ' αὐτοῖς ἄνδρας εὐγενεῖς, καὶ ἀγαθοὺς ἱππεῖς πλείους τῶν ἑκατόν. τοῦτο τοὺς Ῥωμαίους ὑποχωρῆσαι τῆς πολιορκίας τοῦ ἄστεος κατηνάγκασε, καὶ εἰς τὴν Φιλέρημον ἐγχωρεῖν. οἱ μὲν οὖν καταλελειμμένοι παρὰ τοῦ Πρίγκιπος ἱππεῖς καταλιμπάνοντες τοὺς πεζοὺς Γεννουΐτας περὶ τὸ ἄστυ ἐξήρχοντο, καὶ τὴν πᾶσαν χώραν ἐλῄζον. τὰ μὲν οὖν χρειώδη ἑαυτοῖς περιεποιοῦντο, σπάνις δὲ τῶν ἀναγκαίων τοῖς Ῥωμαίοις ἐκ τούτου ξυνέβη γίνεσθαι. ἐφ' ᾧ τυγχάνειν δρόμωνας, καὶ ἕτερα ξύλα τοῖς Γεννουΐταις πειρατικά. Ὁ μὲν οὖν Βασιλεὺς Ἰωάννης τὸ Νύμφαιον καταλαβών, καὶ στόλον συσκευασάμενος ἀξιόλογον ἐν τῇ Σμύρνῃ, ἱππαγωγούς τε τετράρεις οἰκονομήσας, οἷς μέχρι καὶ τῶν τριακοσίων ἵππων ἐπιφέρεσθαι, καὶ εἰς στρατηγὸν αὐτοῖς ἀποτάξας τὸν Κοντοστέφανον Θεόδωρον τὴν τοῦ Πρωτοσεβαστοῦ ἀξίαν διέποντα, καὶ ὅπως μέλλοι τὰ τῆς μάχης καταρτίσαι τε, καὶ συντάξαι, πού τε καὶ ἔτι ἐγγράφως αὐτῷ παραδοὺς ἐξαπέστειλεν, ἐπευξάμενος τούτῳ τε καὶ τοῖς μετὰ τούτου τὰ λῷστα. ὁ μὲν οὖν Πρωτοσεβαστὸς Θεόδωρος ταῖς τριήρεσιν ἀναχθείς, καὶ εἰς τὴν νῆσον ἀφιγμένος Ῥόδον, πάντα τε, ὡς ὁ Βασιλεὺς προ-

A pter propinquam cognationem oppidum neutiquam oppeciturum. Eerum ille hujusmodi rationibus posthabitis oppidum cinxit, tormenta admovit, & machinas, quibus propugnacula disjiceret, & post dies non multos occupavit. Uxoris suæ sororem unico cum equo, quo vehi posset, Constantinopolim transmisit, reliquos, qui in arcis custodia erant, pedites dimisit. Imo & Bizya oppidum incitato milite non multo post cepit, dominatuique suo subegit. *Edit. Paris. pag. 47.*

XLVIII. Circa hæc tempora Rhodi insulæ castrum a Januensibus nocturno dolo occupatur, Præfectus enim Joannes Gabalas Cæsaris Leonis Gabalæ frater, post obitum fratris insulam cum imperio obtinens, una cum Imperatore circa Ni- B comediam degente, adversus incursantes a Constantinopoli Latinos processerat. Statim itaque Imperatoris mandato Joannes Cantacuzenus Pincerna eo tempore Ducalem Thracesiorum principatum administrans, mittitur, in eamque ingressus cum paucis admodum copiis arma movet, oppidaque in ea Philiremum, ac Lietum occupat, & utut poterat, cum Januensibus confligebat. Cum vero justum ad opus exercitum Imperator transportasset ille prope castrum tentoriis collocatis, Januenses, sed nullo damno, obsidebat: Namque alimentis abundabant, tamquam qui Rhodiorum domibus, bonis ad vitam sustinendam exuberantibus, expilatis, necessaria sibi omnia ad vitam comparave- C rant: cum eorum quoque uxoribus, nisi effœta jam ætate, aut specie indecora quæpiam fuisset, quas oppido ejeceraot, consuescebant. Et continua saoe, nec interrupta Cantacuzeni obsidione, beneque instructis machinis, & opportunis dimicationibus, Rhodiense castrum sub ditione Romanorum venisset, nisi quid tale obtigisset. Achajæ, & Peloponesi princeps Villarduinus in Syriam contendens ad Francos, qui in ea erant, copias auxiliares trajiciebat, armatosque in triremibus etiam equites deportabat. Hic Rhodum appellens, cum Januensibus pactione inita, equites fortes, atque ingenuos centum & amplius illis concessit, qui Romanos ab obsidione licet invitos dimovere, & Philere- D mum repulerunt. Hi a principe equites relicti, pedites Januenses io castro secludentes, exilientes, rapinis omnia vastabant, sibique alimenta subministrabant. Hinc Romani rerum inopia laborare, eoque potissimum, quod dromonibus, aliisque Januensium navigiis piraticis infestarentur. Sed Joannes Imperator Nymphæum pergens, Smyrnæ classe valida adornata, & Hippagogis triremibus ad trecentos etiam transportandos equos aptissime compactis: Ductores classis Theodorum Contostephanum Protosebasti dignitate insignitum, delectum, apprimeque quanam ratione aciem instruere, ac componere, quo in loco, & quando deberet etiam scriptione instructum dimittit, bona illi, sociisque ac fausta deprecatus. Protosebastus Theodorus triremibus in altum devectus, & Rhodum veniens, & uti præ- *pag. 48.*

ceperat Imperator rebus dispositis Latinos fugat. Romanis siquidem Latini omnia diripientes obviam facti ad internecionem cæsi sunt, cum Pincerna Joannes Cantacuzenus id imperasset, ut nemini parcerent. Sic Franci equites a sapienti Imperatoris consilio trucidati sunt. Januenses pedites, qui in castro Rhodio remanserant adversus oppugnatores bellum gerentes illud defendebant; cum deinceps pugnam diutius sustinere nequirent, pacto castrum dedidere Romanis, ipsi vero ad Imperatorem accedentes, ut pactione firmatum fuerat, imperatoriæ mansuetudinis participes effecti sunt. Sic rursum Rhodus insula in ditionem Romanorum venit. Et hæc quidem ita peracta sunt.

XLIX. Porro Joannes Imperator cum Despota Michaele fœdus init, & affinitatis cognatione conjungitur. Namque Michaelis filio Nicephoro, filii sui Imperatoris Theodori filiam Mariam matrimonio copulat, uxorque illius Theodora Nicephorum una secum in Orientem asportat, & circa Pegarum loca Imperatorem degentem alloquitur. Sic filiorum sponsalia constituta sunt. Dein Theodora cum filio non sine debitis humanitatis officiis ab Imperatore utrique exhibitis, ad maritum Michaelem domum revertitur. Attamen proverbium vulgatum in Michaele quoque nec incompte locum habere compertum est, lignum curvum numquam rectum, nec Æthiops albescere scit; quippe ab Imperatore, consilio patrui sui Angeli Theodori usus, defecit. Quod cum intellexisset Imperator, & eorum conspirationem rescivisset, sibique post Constantinopolim captam nullos alios, præter hos adversarios sibi infensos existimaret, & pace Musulmanica frueretur, & conatus Bulgarorum quiescerent, pro dignitate rei, & ut ita dicam, apparatu regio, militiis omnibus uti par erat, compositis Hellespontum transit, secum plerisque militum Ducibus conductis. Inter eos accensebantur Nicephorus Tarchaniota mensæ Præfectus, & vices magni Domestici gerens, cujus moribus Imperator, sibi amore conjunctissimum judicans, acquiescebat, vir in exercendis militiæ numeris, ut experimento postea deprehensum est, præstantissimus. Ille se Thessalonicam contulit, inde collatis signis apud Bodenos castra locavit. Verum Angelus Theodorus Bodenis prius emergens nepotem suum Michaelem Despotam adit. Imperator nihilominus obsidione cingit Bodenos, nec multum post tempus castrum in ditionem recipit. Hinc abscedens in loco quodam Ostrobi lacui proximo tabernacula figit, indeque Duces militum Alexium Strategopulum, Michaelem Palæologum magni Domestici filium, Joannem Macrenum, Gudelem Tyrannum, aliosque in Michaelis Despotæ loca subjecta mittit, ut fortunas uniuscujusque diriperent, & sicubi exercitum illius offenderent, pugna in eum inveherentur, & si sese offerret occasio, arcem etiam expugnarent. Sic illi exhauriebant omnia, ac depopulabantur, & ante Imperatoris tentorium deferebant. Imperator in Ostrobi locis remanserat, affligebaturque animo, quod nihil dignum ipse expectatione hominum peregisset; neque minus exercitus ægre ferebat, quippe tem-

Edit. Paris. pag. 49.

A σύνταξιν, ἐπιταξάμενος, τοὺς Λατίνους κατετροπώσατο. ἔξω γὰρ ληϊζομένοις ἐντυχόντες τοῖς Λατίνοις οἱ τοῦ βασιλέως, ἄρδην πάντας ἀπάθης ἔργον πεποίηνται, τοῦ ἐπὶ τοῦ κεράσματος Ἰωάννου τοῦ Καντακουζηνοῦ ἐπισκηψαμένου, μηδενὸς αὐτῶν φείσασθαι. οἱ μὲν οὖν Φράγγοι οἱ ἱππεῖς βασιλικῇ ἀβουλίᾳ οὕτως ἀπώλοντο. οἱ πεζοὶ δὲ Γενουῖται ἐναπολειφθέντες τῷ ἄστει τῆς Ῥόδου κατεῖχον αὐτὸ τοῖς ἔξω μαχόμενοι. ἐπεὶ δὲ οὐ δυνάμεως εἶχον εἰς μακρὸν ἀντέχειν, εἰς ξυμβάσεις ξυνῆλθον, καὶ παρέδωκαν μὲν τὸ ἄστυ τοῖς Ῥωμαίοις, αὐτοὶ δὲ πρὸς τὸν βασιλέα ἀφίκοντο, καὶ κατὰ τὰς γεγενημένας τούτοις συνθήκας τῆς βασιλικῆς εὐμενείας ἀπήλαυσαν. καὶ οὕτω δὴ καὶ αὖθις ἡ νῆσος Ῥόδος ὑπὸ Ῥωμαίοις ἐγένε- B το. καὶ ταῦτα μὲν ξυμβέβηκεν οὕτως.

μθʹ. Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης μετὰ τοῦ Δεσπότου Μιχαὴλ συνθήκας τε πεποίηκε, καὶ εἰς κῆδος κοινωνίας συνῆλθε. τὸν γὰρ τοῦ Μιχαὴλ υἱὸν Νικηφόρον ἐπὶ τῇ θυγατρὶ τοῦ υἱοῦ αὐτοῦ βασιλέως Θεοδώρου τῇ Μαρίᾳ, γαμβρὸν ἠγάγετο, καὶ ἡ τούτου γαμετὴ Θεοδώρα τὸν Νικηφόρον μεθ' ἑαυτῆς λαβοῦσα εἰς τὴν ἕω διαπεραιοῦται, καὶ περὶ τὰ μέρη τῶν Πηγῶν τῷ βασιλεῖ διάγοντι ἐντυγχάνει, καὶ ἡ τῶν παίδων μνηστεία γεγένηται. καὶ ἡ Θεοδώρα αὖθις τὸν αὐτῆς υἱὸν λαβοῦσα, οἴκαδε ὑπεχώρησε παρὰ τὸν αὐτῆς σύζυγον Μιχαήλ, προσηκόντως φιλοφρονηθέντες παρὰ τοῦ βασιλέως. ἀλλὰ τὸ τῆς παροιμίας κἀπὶ τῷ Μιχαὴλ ἐπαληθεύειν ἐφαίνετο. C στρεβλὸν ξύλον οὔποτ' ὀρθόν. καὶ ὁ Αἰθίοψ οὐκ οἶδε λευκαίνεσθαι. εἰς ἀποστασίαν γὰρ τοῦ βασιλέως ἐφώρμησε, συμβούλῳ περὶ τὴν σκέψιν τῷ θείῳ αὐτοῦ τῷ Ἀγγέλῳ Θεοδώρῳ χρησάμενος. Ὁ γοῦν βασιλεὺς Ἰωάννης ταῦτα γνούς, καὶ τὴν αὐτῶν συνωμοσίαν μεμαθηκώς, οὐκ ἄλλους οἰόμενος ἐναντίους εἶναι μετὰ τὴν Κωνσταντίνου ἅλωσιν, ἀλλ' ἢ τούτους, ἐπειδὴ καὶ ἐκεχειρίαν ἦγεν ὑπὸ τοῦ μέρους τῶν Μουσουλμάνων, ἠρέμουν δὲ καὶ τὰ ἐκ τῶν Βουλγάρων, ἀξιομάχως, καὶ ὡς εἰπεῖν βασιλικῶς παρασκευασάμενος, καὶ τὰς δυνάμεις ἁπάσας, ὡς ἔδει, συντάξας, διαπεραιοῦται τὸν Ἑλλήσποντον, πολλοὺς μὲν καὶ ἄλλους ἔχων στρατηγούς, τὸν δὲ Ταρχανειώτην Νικηφόρον τὸν ἐπὶ τῆς τραπέζης αὐτοῦ, οἷον τὰ τοῦ D μεγάλου δομεστίκου διεκπληροῦντα. ἐπανεπαύετο δὲ τοῖς αὐτοῦ ἤθεσι, καὶ εὔνουν αὐτὸν ἐλογίζετο, κἀν ταῖς στρατηγίαις, ὡς ἡ πεῖρα μεμαρτύρηκε, δεξιώτατον. καταλαβὼν γοῦν τὴν Θεσσαλονίκην, κἀκεῖθεν τὰς δυνάμεις ἀπάρας ἐν τοῖς Βοδηνοῖς ἐστρατοπεδεύσατο. πέφθακε δὲ ὁ Ἄγγελος Θεόδωρος ἐξ αὐτῶν ἀποδρᾶναι, καὶ εἰς τὸν ἀνεψιὸν αὐτοῦ τὸν Δεσπότην Μιχαὴλ ἀπελθεῖν. Ὁ μὲν οὖν βασιλεὺς εἰς πολιορκίαν τῶν Βοδηνῶν καταστάς, ἐν οὐ πολλῷ χρόνῳ τὸ τῶν Βοδηνῶν παρεστήσατο ἄστυ. κἀκεῖθεν ἀπάρας ἔν τινι τόπῳ τῇ τοῦ Ὀστροβοῦ ἐγγίζοντι λίμνῃ, ἐπήξατο τὰς σκηνάς. καὶ ἐξαποστέλλει στρατηγοὺς κατὰ τὴν χώραν τοῦ Δεσπότου Μιχαήλ, τόν τε Στρατηγόπουλον Ἀλέξιον, τὸν Παλαιολόγον Μιχαὴλ τὸν τοῦ μεγάλου δομεστίκου υἱόν, καὶ τὸν Μακρηνὸν Ἰωάννην, τὸν τύραννον Γουδέλην, καὶ ἑτέρους, ἵνα τε λαΐζοιντο τὰ πέριξ, καί που εἰ τύχοιεν καὶ στρατεύματα αὐτοῦ, εἰς μάχην κατ' αὐτοῦ χωρήσωσι, καὶ εἴπερ εὐχερείας σχοῖεν καὶ ἄστυ πορθήσωσιν. καὶ οὕτω μὲν ἐκεῖνοι ἐποίουν, καὶ προῆγον τῆς τοῦ βασιλέως σκηνῆς ἔμπροσθεν. ὁ δὲ βασιλεὺς προσεκαρτέρει τοῖς τοῦ Ὀστροβοῦ τόποις, καὶ ἐβαρυθύμει, ἐφ' ᾧ μὴ πέφθακεν, ἄξιόν τι ἐργάσασθαι. ἠγανάκτει δὲ καὶ τὸ στράτευμα. ὁ

καιρὸς γὰρ ἦν χειμέριος, ἐσπάνιζον δὲ καὶ τῶν χρειωδῶν. A ἀλλ' ὁ βασιλεὺς τὸ τοιοῦτον τεθεράπευκεν. ἀπὸ Βερροίας γὰρ ἡμιόνοις καὶ καμήλοις τὰ χρειώδη διεκόμιζον ἐν τῷ στρατοπέδῳ. οὕτω δὲ διακειμένου τοῦ βασιλέως παρ' ἐλπίδας ἐπιφοιτᾷ τῷ βασιλεῖ πρόσφυξ ἀπὸ Καστορίας Γλαβᾶς, καὶ συνεχῶς ὁ Πετραλίφας Θεόδωρος ὁ ἐπὶ θυγατρὶ γαμβρὸς τοῦ Τορνίκη Δημητρίου τοῦ Κομνηνοῦ, ὃς τὰ κοινὰ διέπων ἦν τῷ βασιλεῖ Ἰωάννῃ, παρ' αὐτοῦ πάνυ φιλούμενος, καὶ τιμώμενος. ἀδελφὸν γὰρ αὐτὸν ἐν τοῖς γράμμασιν ἀπεκάλει. ἐξ ἀνθρώπων δ' οὖν πρὸ καιροῦ γέγονεν. οἰκονόμος οὖν τῶν κοινῶν οὐκ ἦν ἐν τιμῇ, καὶ ὀφφικίου ὀνόματι γνωριζόμενος, τοῖς τυχοῦσι δὲ ἐχρᾶτο εἰς ὑπηρεσίαν ὁ βασιλεὺς, καὶ γραμματικοῖς ἀνωνύμοις, τῷ Μεσοποταμίτῃ Ἰωσὴφ, B καὶ τῷ ἐξυπηρετήσαντι αὐτῷ Νικηφόρῳ τῷ Ἀλυάτῃ. ἐν δὲ τοῖς ἐλλογιμωτέροις γράμμασι, καὶ ἀξίοις σπουδῆς τῷ Μακρωτῷ Ἰωάννῃ, καὶ ἐμοί. ὁ μὲν οὖν ῥηθεὶς Πετραλίφας τοῦ Μιχαὴλ γυναικάδελφος ὢν, ἐπεὶ προσῆλθε τῷ βασιλεῖ, πολλῆς εὐθυμίας αὐτόν τε τὸν βασιλέα, καὶ τὰ στρατεύματα ἔπλησεν. εὐθὺς γὰρ ἡ Καστορία, καὶ ἡ περὶ αὐτὴν ἅπασα χώρα προσερρύη τῷ βασιλεῖ, καὶ αἱ Δεαβόλεις δὲ, ἥ τε μικρὰ καὶ μεγάλη τοῦ βασιλέως ἐγένοντο. καὶ ὁ ἀπὸ τοῦ Ἀλβάνου ὁ Γουλάμος, ἐπεὶ πρὸς τὰ τῆς Καστορίας συνδιῆγε μετὰ τοῦ ἐξ Ἀλβάνου στρατοῦ μέρει, σύζυγον ἔχων τῆς βασιλίδος Εἰρήνης αὐτανεψιὰν πρωτεξαδέλφης αὐτῆς θυγατέρα, λόγοις μειλιχίοις, καὶ γράμμασιν ὑποσχέσεων τῶν ὑπὸ C τοῦ βασιλέως θελχθεὶς, προσῆλθε τῷ βασιλεῖ. φιλοφρόνως γοῦν τοὺς τοιούτους πάντας ὁ βασιλεὺς δεξάμενος, πρεπόντως ἐφιλοτιμήσατο. Ταῦτα γνοὺς Μιχαὴλ ὁ Δεσπότης, καὶ ἐν στενῷ κομιδῇ βλέπων τὰ περὶ αὐτὸν τυγχάνοντα πράγματα, κατὰ ῥοῦν δὲ χωροῦντα τῷ βασιλεῖ, πρεσβείαν πρὸς τὸν βασιλέα ἐστείλατο, διά τε τοῦ μητροπολίτου Ναυπάκτου τοῦ Ξηροῦ, καὶ τοῦ ἐπ' ἀδελφῇ γαμβροῦ αὐτοῦ τοῦ Μαλιασηνοῦ, καὶ τοῦ Λαμπέτου, οἳ καὶ εἰς λόγους συνελθόντες τῷ βασιλεῖ, ξυμβάσεις πεποίηνται. καὶ ἀπέλυσε μὲν πρὸς τὸν βασιλέα ὁ Μιχαὴλ τό τε ἄστυ τοῦ Πριλάπου, καὶ τὸ Βελεσσὸν, καὶ τὸ ἐν τῷ Ἀλβάνῳ φρούριον, τὰς Κρόας, καὶ προσέβησαν πρὸς τοῦ βασιλέως ἔγγραφοι ὅρκοι, καὶ ἀπεστάλησαν πρὸς αὐτὸν καὶ πρέσβεις, ὅ τε Φι- D λαδελφείας Φωκᾶς, καὶ ὁ τῆς αὐλῆς Πριμμικήριος Ἰσαάκιος ὁ Δούκας, ὃν καὶ Μούρτζουφλον ἀπεκάλουν, καὶ ὁ Ταλέας Μιχαὴλ, καὶ αὐτὸς ἐγώ. ἀπήειμεν γοῦν πρὸς τὸν Μιχαὴλ, καὶ εὕρομεν τοῦτον ἐν τῇ Λαρίσσῃ. καὶ πεπληρώκαμεν τὰς σπονδὰς, καὶ λαβόντες τὸν υἱὸν αὐτοῦ Νικηφόρον, ὃν καὶ δεσποτείᾳ ὁ βασιλεὺς διὰ τὴν αὐτοῦ ἐγγόνην τετίμηκεν, ἀλλὰ μὴν καὶ τὸν τοῦ Μιχαὴλ θεῖον τὸν Ἄγγελον Θεόδωρον δεσμώτην πρὸς τὸν βασιλέα ἐπανεζεύξαμεν, ἐν τοῖς Βοδηνοῖς σκηνούμενον. καὶ οὕτω μὲν ἐγεγόνει ταῦτα, καὶ εἰς τοιοῦτο τέλος κατηντήκει τὰ πράγματα. παραχειμάσας οὖν ἐν τοῖς Βοδηνοῖς ὁ βασιλεὺς, ἦρος ὥρᾳ, ἐπεὶ καὶ τὰς ἀναστασίμους ἑωρτάκει ἡμέρας, τὰ στρατόπεδα αὐτοῦ που καταλελοιπὼς, καὶ εἰς ἡγεμόνα αὐτῶν τάξας τόν τε Πρωτοβεστιάριον Ἀλέξιον τὸν Ῥαοὺλ, γαμβρὸν ὄντα ἐπ' ἀδελφόπαιδι τοῦ βασιλέως, καὶ τὸν Κομνηνὸν Μιχαὴλ τὸν Παλαιολόγον, μετὰ μετρίου στρατεύματος, εἰς θέαν τῶν προσφάτως ἐπιγεγενημένων τούτῳ χωρῶν ἀφίκετο. καὶ ἀπῆλθε μὲν εἰς Ἀχρίδα, ἐπιδεδημήκει δὲ ἐς Δεάβολιν, κἀκεῖθεν εἰς Καστορίαν. καὶ τῇ τῆς ὀπώρας ὥρᾳ συσκευασάμενος τὰ στρατεύματα τῆς εἰς ἕω πορείας ἤρξατο.

A pestate hyberna discruciatus, magis ac magis necessariorum inopia laborabat. Imperator incommodo providit. Mulis etenim, camelisque Berrœa necessaria convehebantur. Sic Imperatori affecto præter expectationem Castoria transfuga Glavas illi occurrit, & non multo post Theodorus Petraliphas, qui conduxerat filiam Demetrii Tornicij Comneni, cui summa rerum publicarum ab Imperatore Joanne commissa fuerat, cum eum summopere & diligeret, & in honore haberet: eum enim in litteris fratrem vocabat: hic multum ante hæc tempora vita functus est: ideoque nemo in ea dignitate, atque officio, qui publica scilicet administraret, agnoscebatur, sed Imperator quibuscumque & ut sors tulerat, Grammaticisque minime no- B tis Josepho Mesopotamita, illiusque administro Nicephoro Alyate, sed in spectabilioribus litteris, studioque & diligentia dignis Joannis Macroti, & meo ministerio utebatur. Petraliphas ergo uxoris Michaelis frater, obviam Imperatori factus, multo eum gaudio, ingenti etiam lætitia agmina cumulavit. Statim enim Castoria, & circumjacentia loca Imperatori se submisere. Deabolis item magna & parva in potestate illius venere. Et ex Albano Gulamus, una cum exercitu, quem Albano conduxerat, in Castoriæ partibus degens, Irenæ Imperatricis nepti, consobrinæ illius filiæ matrimonio copulatus, oratione placida, & miti, nec non litteris, ac promissis imperatoriis illectus, Imperatori C se dederat. Amice, humaneque hos omnes exceptos, Imperator, uti par erat, muneribus etiam cumulavit. Certior de his factus Michael Despota, cernens res suas in extrema fortuna laborare, Imperatoris prospere cuncta, ac secundo vento procedere, Legatos ad Imperatorem misit Xerum Metropolitam Naupacti, Maliassenum sororis suæ generum, & Lampetem, qui convenientes Imperatorem, fœdus faciunt. Et Michael quidem Imperatori castrum Prilapi, & Belesum, & in Albano oppidum Croas dedidit. Fœdus etiam per Imperatorem jurejurando scriptis consignato, firmatum est: & ad eum missi Legati Phocas Philadelphiensis, Isaacius Ducas aulæ Primicerius, quem & Murtzu- D phlum cognominabant. Michael Hyaleas, & ego ipse, ad Michaelem accessimus Larissæ commorantem, & pacta complevimus. Et cum filium illius Nicephorum, quem propter suam neptem Imperator Despotæ munere decoraverat, accepissemus, nec non Michaelis patruum Angelum Theodorum vinculis alligatum ad Imperatorem apud Bodenos degentem remigravimus. Et hæc ita peracta sunt, talemque finem res habuere. Cum Bodenis Imperator hyemasset, vere, Resurrectionis diebus festis celebratis, exercitibus ibidem relictis, & ductoribus eorum Protovestiario Alexio, Raulo neptis marito, & Comneno Michaele Palæologo constitutis, cum parvo agmine ad urbes jam recens Romano imperio additas revisendas, iter ingreditur, & primum Achridam petit, inde Deabolim proficiscitur, ex qua Castoriam pervenit, & autumno agminibus compositis viam ad Orientem meditatur.

Edit. Paris. pag. 50.

A L. Hinc Thessalonicam prætergressus, amensusque Bisaltiam apud Philippos non levi ex causa, ut sibi videbatur, castrametatus est. Nam e Melenico Nicolaus Manclavites Imperatori adhuc apud Bodenos commoranti, Michaelem Palæologum dicti magni Domestici filium, accusavit; sed cum talium perscrutatio, dum educendi exercitus, pugnæque conferendæ tempus instaret, minime opportuna videretur, in opportunius tempus rem visum est Imperatori differre. Tunc itaque de iis quæstionem habendam censuit, quare Senatum continuo convocat, Judices decernit, & judicium celebre constituit. Causa erat. Cum Demetrius Tornicius vitam finisset, essetque Thessalonicæ magnus Domesticus, filius vero illius Michael Melenici, & Serris, B Michael comperta Tornicii morte, ægre rem tulit, tristisque, ac vultu turbationem præ se ferens alloquentibus videbatur. Tornicius enim magni Domestici consobrinam matrimonio sibi junxerat, ut in his fieri amat, e Melenico quispiam, alium quidem nomine ****** interrogavit. *Quanam de causa Michael Comnenus sese animi tristis angeret.* Ille, cuamque causam optime callebat, *Tornicius*, ait, *Demetrius fato functus est, qui eum propinqua cognatione contingebat, & respublicas administrabat, propterea morte illius tristis est*: alius, *Non hoc mihi ita se habere videtur; neque enim propter Tornicium ita doleret, affligereturque, sed ut apparet, id in melius illi hoc contigit; quod si hoc fuerit, væ nobis: rursus enim res nostræ perturbatæ in magna con-* C *fusione, motuque erunt, quæ nunc sedatæ, ac optime tranquillatæ cernuntur.* Tunc alius respondit, *Sed o charum caput, licet tamen id acciderit, non ideo res nostræ male se habebunt. Namque magnus Domesticus Thessalonicæ degens illam moderatur. Et hic ipse Comnenus Michael illius filius nostris urbibus operam præstat. Ab his itaque viris, iisque maximis dum gubernamur, numquam aliquo tempestate jactari poterimus. Præterea Callimani Bulgari soror Thamar, nulli nupta, matrimonio Michaeli Comneno jungetur. Et sic inter nos, ac Bulgaros pax conciliabitur.* Hæc ab illis inscio Michaele Comneno dicta sunt. At unus ea his Manclavitæ colloquia inter se inita refert: ille Imperatori denuntiat. D Comprehensus uterque de iis, quę dixerant, interrogantur. Et unus quidem accusabat, alius respondebat, *Accusatorem vera enunciare: a me enim audiit, verum ea inscio Comneno effatus sum: cum ex memetipso verba illa protulerim.* Cogebatur ille, ut hoc indicaret. Verum ille negabat aliquid omnino de eo Michaelem scire Comnenum. Hinc militaris probatio, cum testimonia aliorum desiderarentur, præparatur, per pugnæ scilicet experimentum. Ambo itaque armantur, in stadium intrant, confligunt invicem, & accusatus vincitur, qui equo dejectus victoriam accusatori concessit. Idem vivus comprehensus, neque enim lethali vulnere vocem amiserat, iterum interrogatus, ut rem fateretur. Ille primum sermonem obstinate continuabat, & nihil horum Michaelem Comnenum tenere contestabatur. Cum vero atrocioribus tormentis veritatem extorquendam esse statuisset Imperator, quemadmodum ille accuratiora vitæ examina poscebat, in quæstionem homini, quæ per mortem in-

Edit. Paris. pag. 51.

pag. 52.

A ν. Παραμείψας οὖν τὴν Θεσσαλονίκην, καὶ τὴν Βισαλτίαν, διαβὰς ἐς Φιλίππους ἐπήξατο τὴν σκηνήν, λόγου πέρι, ὡς ἐδόκει τούτῳ, οὐχὶ σμικροῦ. ὁ γὰρ ἐκ τοῦ Μελενίκου Μαγκλαβίτης Νικόλαος κατεῖπε πρὸς τὸν Βασιλέα τοῦ Παλαιολόγου Μιχαὴλ τοῦ προῤῥηθέντος υἱοῦ τοῦ μεγάλου Δομεστίκου, ὅτε ἦν ἐν τοῖς Βοδηνοῖς. ἐπεὶ δὲ οὐκ ἦν καιρὸς τοιούτων πραγμάτων ἐρεύνης, ἀλλ' ἐκστρατείας καὶ μάχης, ἐπαμμένετο τῷ Βασιλεῖ τὰ τῆς ὑποθέσεως, ἕως ὥραν εὔθετον. Τότε γοῦν εἰς ἐξέτασιν τῶν τοιούτων ἐγγέγονεν ὁ Βασιλεύς, καὶ δικαστήριον ἔστησε, καὶ κριτὰς ἐκάθισε, καὶ λαμπρὸν κριτήριον συνεκρότησεν. ἡ δ' ὑπόθεσις ἦν τοιαύτη. ἐπεὶ ἐτελεύτησεν ὁ Τορνίκης Δημήτριος, ἔτι δὲ περιῆν ἐν Θεσσαλονίκῃ ὁ μέγας Δο- B μέστικος, ὁ δὲ τούτου υἱὸς Μιχαὴλ ἐς Μελένικον καὶ Σέῤῥας, οὗτος καὶ μαθὼν τὸν τοῦ Τορνίκη θάνατον ἐδυσφόρησε, καὶ σκυθρωπὸς τοῖς ἐντυγχάνουσιν ἐπεφαίνετο. ἦν γὰρ ὁ Τορνίκης σύζυγον ἔχων τοῦ μεγάλου Δομεστίκου πρωτεξαδέλφην, οἷα γοῦν φιλεῖ ἐπὶ τοῖς τοιούτοις γίνεσθαι, ἠρώτησέ τις τῶν ἐκ Μελενίκου τοὔνομα ****, θάτερόν τινα καλούμενον ****, ὅτου χάριν σκυθρωπάζει ὁ Κομνηνὸς Μιχαήλ. ὁ δέ, καὶ γὰρ ἠπίστατο τὴν αἰτίαν, ὁ Τορνίκης, ἔφη, Δημήτριος τέθνηκεν. ἦν δὲ προσγενὴς αὐτοῦ καὶ οἰκονόμος τῶν κοινῶν, καὶ τούτου γοῦν χάριν, ἐκεῖνος λελύπηται. ὁ δὲ οὐ μὴ δοκεῖ, φησίν. οὐδὲ γὰρ διὰ Τορνίκην οὕτως ἂν ἠδημόνει καὶ ἐχαλέπαινεν, ἀλλ' ὡς ἔοικεν ἐπὶ τῷ κρείττονι ἐκείνῳ τοῦτο C συμβέβηκε. καὶ εἰ τοῦτο, φεῦ ἡμῖν. ἐν γὰρ ταραχαῖς καὶ ἐκκλύσεσιν αὖθις γενήσονται τὰ ἡμέτερα, κατεστορεσμένα νῦν καλῶς, καὶ εἰς ἀταραξίαν ἐληλυθότα. ὁ δ' ὑπος. ἀλλ', ὦ φίλος, καὶ εἰ τοιοῦτον ξυνέβη, καὶ οὕτω δὴ καλῶς τὰ καθ' ἡμᾶς ἕξουσι. καὶ γὰρ ὁ μέγας Δομέστικος ἐν Θεσσαλονίκῃ διάγει ἡγεμονεύων αὐτῆς. καὶ αὐτοσὶ δὲ ὁ Κομνηνὸς Μιχαὴλ ὁ τούτου υἱὸς τῶν ἡμετέρων χωρῶν διεξάγει ἀνδρομονίαν. ὑπὸ τοιούτων γοῦν μεγίστων ἀνδρῶν ἐκκυβερνώμενοι, οὐκ ἄν ποτε κοσμικὸν κλυδώνιον ἴδοιμεν, ἄλλως τε καὶ ἡ τοῦ Βουλγάρου Καλλιμάνου ἀδελφὴ Θάμαρ, ἄζυξ ἔτι τελοῦσα, εἰς γάμου κοινωνίαν ξυνέλθοι τῷ Κομνηνῷ Μιχαήλ, καὶ γενήσονται σπονδαὶ μέσον τε ἡμῶν, καὶ Βουλγάρων. D Ταῦτα δὴ λελάληνται παρ' αὐτῶν, μηδὲν εἰδότος τοῦ Κομνηνοῦ Μιχαήλ. θάτερος οὖν τοῖν δυοῖν ἐπελθὼν πρὸς τὸν εἰρημένον Μαγκλαβίτην ἀνήγγειλεν αὐτῷ τὰ τοιαῦτα. ὁ δὲ ἀνεμήνυσε τῷ Βασιλεῖ. καταχεθέντες οὖν καὶ ἄμφω, ἠρώτηνται περὶ τῶν λελεγμένων. ὁ μὲν οὖν κατηγόρει, θάτερος δὲ ὑπεραπελογεῖτο. ἔφησεν οὖν, ὡς ἀληθῶς μὲν οὑτοσὶ εἴρηκε, παρ' ἐμοῦ γὰρ ἀκήκοεν. ἀλλ' οὐκ εἰδήσει μοι εἴρηται τοῦ Κομνηνοῦ, ἀλλ' ἐξ ἑαυτοῦ τοὺς λόγους τούτους προήνεγκα. ἠναγκάζετο γοῦν περὶ τούτου. ὁ δὲ ἠρνεῖτο καθάπαξ μὴ εἰδέναι τί περὶ τούτου τὸ σύνολον τὸν Κομνηνὸν Μιχαήλ. ἐντεῦθεν ηὐτρέπιστο τούτοις στρατιωτική τις ἀπόδειξις. ἐπεὶ μὴ ὑπῆρχον οἱ μαρτυροῦντες, ἡ διὰ μάχης διάπειρα. ὡπλίσθησαν οὖν καὶ ἄμφω, εἰσῆλθον εἰς τὸ στάδιον, ξυνέβαλλον ἀλλήλοις, καὶ νενίκηται ὁ κατηγορούμενος, ἀπεῤῥίφη τε τοῦ ἵππου, καὶ νικῶντα ὁ κατήγορος ἔσχηκε. συλληφθεὶς οὖν ζωὸς, οὐδὲ γὰρ καιρίαν τέτρωται, καὶ αὖθις ἠρώτηται, ὡς ἂν καθομολογήσειεν τὴν ἀλήθειαν. ὁ δὲ τοῦ προτέρου λόγου ἀντείχετο, καὶ μηδόλως εἰδέναι τὸν Κομνηνὸν διεμαρτύρετο Μιχαήλ. Ἐπεὶ δὲ διὰ πλείονος βασάνου ἔδοξεν ἐπιγνῶναι τὸν Βασιλέα τὸ ἀληθές, οἷος ἐκεῖνος τὰς ἐξετάσεις ἀκριβεστέρας ποιούμενος, τὸν διὰ θανάτου ἐπή-

γαγε

γαγε τῷ ἀνδρὶ ἔλεγχον. ἐδέδεντο γοῦν αἱ χεῖρες ὄπισθεν τοῦ καταδικασθέντος, ξίφους ἔργον γενέσθαι. οἱ δ' ὀφθαλμοὶ λινῷ ὑφάσματι ἐκαλύφθησαν. οὕτω γὰρ εἰώθει τοὺς κατακρίτους διασκευάζεσθαι, καὶ τὴν πληγὴν λαμβάνειν τῆς ἀναιρέσεως. ὡς γοῦν καὶ ταῦτα οὑτωσὶ γένοιτο, καὶ ὁ δεσμώτης κλίναι τὸν αὐχένα προστέτακται, ἵνα δέξηται τὴν κάρας τὴν ἐκτομήν, καὶ πάλιν περὶ τῶν ζητουμένων ἐρώτηται. ὁ δὲ μεθ' ὅρκων φρικτῶν ἐβεβαιώσατο, μηδέν τι ὅλως συνειδέναι ἐπὶ τούτοις τὸν Κομνηνὸν Μιχαήλ. ἐκεῖνος μὲν τὴν πρὸς θάνατον εὐθὺ ὁδεύσαι, τὴν δὲ πρὸς εἱρκτὴν ἐβάδισε, καὶ εἶχον αὐτὸν κλοιοὶ καὶ καθείρξεις. ἡ ἐξέτασις δὲ πᾶσα πρὸς τὸν Κομνηνὸν κατήντησε Μιχαήλ, καὶ δὴ ἔφασκον αὐτῷ οἱ τὸ κρίνειν τοῦτο λαχόντες. ὡς ἐπεὶ περὶ σοῦ ἀπειρημένοι τινὲς λελάληνται λόγοι, δεῖ σε διά τινος θαυματοποιΐας τούτους ἀποσκευάσασθαι. τὸ δὲ ἦν ἡ διὰ μύδρου ἀπόδειξις. ὁ δέ, καὶ γὰρ εἶχε βοηθοῦσαν αὐτῷ τὴν ἀλήθειαν, εἰ μέν τις ἦν, ἔλεγεν, ὁ κατ' ἐμοῦ τι κατηγορῶν, πρὸς ἐκεῖνον ἂν ἐμαχεσάμην, καὶ ἀπέδειξα ψεύδεσθαι, κατηγόρου δὲ μὴ παρόντος, ὑπὲρ τίνος κρίνομαι; εἰ δὲ θαυματουργῆσαί με θέλετε, ἀλλ' ἐγὼ οὐκ εἰμὶ τοιοῦτος, ὥστε καὶ τερατοποιΐας ἐργάζεσθαι. σίδηρος δὲ πεπυρακτωμένος, εἰ ἐν χειρὶ ἀνθρώπου ζῶντος ἐμπέσοι, οὐκ οἶδα πῶς ἂν οὐ κατακαύσειεν αὐτήν, εἰ μή πού τις ἐξέσαι τῷ Φειδίᾳ ἐκ λίθου, ἢ τῷ Πραξιτέλει, ἢ καὶ ἀπὸ χαλκοῦ ἐργάσαι. Ταῦτ' ἔλεγε καὶ μάλα νὴ τὴν Θέμιν δικαίως. ἐπεὶ δὲ καὶ ὁ τῆς Φιλαδελφείας Μητροπολίτης Φωκᾶς συμπαρῆν τοῖς γενομένοις, φιλούμενος πρὸς τοῦ Βασιλέως, καὶ πάνυ φιλοφρονούμενος. πέπονθε δὲ τοῦτο οὐκ ἐξ ἀρετῆς, ἀλλ' ἐξ ἀναιδείας. καὶ γάρ ποτε τοῦ Βασιλέως πυνθανομένου περί τινος τῶν κοινῶν πραγμάτων ἐπαρρησιάσατο. καὶ ὦ Βασιλεῦ, ἔφη, τίνος χάριν ἀρτίως ἡμᾶς ἐρωτᾷς, αὐτὸς ἀεὶ ἐξ ἑαυτοῦ τὰ δοκοῦντά σοι διαπραττόμενος; ταῦτ' εἶπε. καὶ τότε μὲν ὁ Βασιλεὺς ἐσχετλίασε. καί γε εἰρήκει πρὸς τοὺς συμπαρισταμένους, τί οὕτω θρασύτερον ὁ Μητροπολίτης εἴρηκεν; ὑμεῖς δὲ ἠνέσχεσθε. μετὰ βραχὺ δὲ φιλοφρόνως τοῦτον ἐδεξιώσατο, καὶ ἐτίμα καὶ σύμβουλον εἶχεν ἐν ταῖς κοσμικαῖς ὑποθέσεσιν. ὑποδρηστῆρι γοῦν καὶ τότε ἐχρήσατο τούτῳ ὁ Βασιλεύς. καί γε καταμόνας τὸν Κομνηνὸν παραλαβὼν Μιχαήλ, ἀκροωμένου κἀμοῦ τῶν λόγων, ταῦτ' εἴρηκεν. ὡς εὐγενὴς μὲν ἀνὴρ σύ, καὶ ἐξ εὐγενῶν γεγέννησαι. Δεῖ οὖν σε τὸ δέον ὑπὲρ τῆς σῆς ὑπολήψεώς τε καὶ πίστεως, καὶ παντός σοι τοῦ γένους καὶ νοῆσαι καὶ διαπράξασθαι. ἐπεὶ δὲ οὐκ ἔλεγχος παραμαρτυρῶν ἐν σοί, δεῖ σε τῷ μύδρῳ τὴν ἀλήθειαν παραστήσασθαι. Καὶ ὃς μάλα γενναίως, καὶ ἀνδρικῶς, καὶ οἷον ἄν τινα οἱ γραφεῖς ἐν μάχῃ ἄτρεστον διαγράψειαν. Οὐκ οἶδ' ὅπως τὸ τοιοῦτον κέκληται ἅγιον, ὦ Δέσποτα, ἔφη. ἀλλ' ἐγὼ μὲν ἁμαρτωλός εἰμι ἄνθρωπος, καὶ τερατουργεῖν τοιαῦτα οὐ δύναμαι. εἰ δέ μοι συμβουλεύῃ Μητροπολίτης ὢν καὶ Θεοῦ ἄνθρωπος τοῦτο διαπράξασθαι, ἔνδυσαι μὲν αὐτὸς τὴν ἱεράν σου πᾶσαν στολήν, καθὼς εἴωθας, ἐν τῷ θείῳ εἰσέρχεσθαι βήματι, καὶ ἐντυγχάνειν Θεῷ. εἶτα δὴ ταῖς χερσίν, ἐκπύρωσόν μοι τὸν σίδηρον, αἷς τοῦ θείου ἐφάπτῃ θύματος, τοῦ σώματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ὑπὲρ παντὸς τοῦ κόσμου τεθυμένου, καὶ ἀεὶ θυομένου παρ' ἡμῶν τῶν ἱερέων τε καὶ ἱεραρχῶν, καὶ ταύταις δὴ ταῖς ἱεραῖς σου χερσὶν ἐπίθες τῇ χειρί μου τὸν σίδηρον, καὶ τεθάρρηκα εἰς τὸν δεσπότην Χριστόν, ὡς πάσας μὲν οὗτος ἁμαρτίας μου παροράσεται, θαυματουργήσει δὲ τὴν

A fertur, instituit. Manus retro condemnati alligatæ fuerunt, ut ense periret, oculi linteo involucro operiuntur. Sic enim condemnati solent construi, & ictum necis excipere. His ita peractis, & vinctus, ut cervicem ad caput amputandum reclinaret, jussus, demuo de iis, quæ in quæstione erant, expolcitur: ille jurejurando etiam sacro sancto confirmavit, nihil ullatenus horum conscium esse Michaelem Comnenum: qui postmodum, licet non cæsus fuit, in carcerem tamen abductus est; compedibus, ac vinculis constrictus. Universa tandem quæstio in Michaelem Comnenum conversa est, & Judices ad id destinati illi dicebant. *Quando de te sermones quidem haud comprobati referuntur, a te illos mirando aliquo facinore refellendos esse necessum est, id* B *autem erit per ferrum candens purgatio.* Tum ille veritate ipsa fretus. *Si quis esset*, dicebat, *qui me accusaret, cum eo usque contenderem, ostenderemque cum mentiri. At vero cum accusator nullus sit, de quo judicor? Porro si me mira vultis conficere, ego sane is non sum, qui miracula facere possim. Ferrum candens in manus vivi hominis cadens, nescio quanam illud ratione manus non combur et, nisi ille a Phidia, vel Praxitele e saxo excisus, vel ex ære conflatus sit.* Hæc ille, & admodum hercle juste dicebat. Verum enimvero cum & Philadelphiensis Metropolita Phocas rebus interesset unice Imperatori dilectus multisque humanitatis officiis acceptus, quod non virtute, ac merito, sed impudentia assecutus fuerat. Namque cum ali- C quando de rebus publicis, nescio quid percunctaretur, libere sententiam suam ostendit. Et, *o Imperator*, inquit, *quamobrem in præsenti nos consulis, cum ipse semper per te, quod tibi visum fuerit, peragas?* Dixerat hæc. & moleste sane tulerat Imperator; quandoquidem ad eos, qui adstabant, sic eum allocutum ferunt. *An potuit a Metropolita afferri quid audacius? & vos tolerastis.* Post brevem horam in eum suavissime effusus beneficia contulit, & honores, consiliumque ab eo in negotiis secularibus capiebat. Quare tum etiam Imperator tamquam ministro usus est, qui seorsim ab aliis Comnenum Michaelem, cum & ipse sermones audirem, in hunc fere modum alloquitur. *Nobilis quidem cum ipse sis, & ex nobilibus* D *prognatus, ea & animo concipere, & re præstare debes, quæ nec ab existimatione, nec a fide tua, nec denique a cognatione tua aliena judicantur; sed enim cum testes ad te convincendũ non adsint, operæ pretiũ erit, te ferro candenti veritatem designare.* Ille magno, ac virili animo, & quemadmodum pictores inter pugnandum imperterritum hominem depinxissent, firmus ac stabilis, *Sacrum hoc*, inquit, *Domine, quonam vocatur nomine, non novi. Ipse ego peccator sum, nec ejuscemodi admiranda efficere possum. si vero tu mihi, qui Metropolita es, & homo divinus, ut id expleam adhortaris, age tu ipse sacrarum vestium apparatu integro te circumvesti, quemadmodum Sancta Sanctorum ingredi soles, & Deum alloqui, dein tuis manibus, quibus sacrosanctum sacrificium Corpus Domini nostri Jesu Christi, qui pro orbe universo oblatus est, continuoque a vobis sacerdotibus, & præsulibus offertur, ferrum mihi inflamma, & iisdem sacris tuis manibus ferrum accipiti manui meæ impone. Sic enim in Domino meo Christo confido, omnia eum mea delicta dissimulaturum veritatemque non sine miraculo*

Edit. Paris. pag. 53.

patefacturum. Hæc Comnenus Michael dixerat. Et Metropolita, *O bone juvenis,* inquit, *hoc neque nostri, neque Romani instituti, neque Ecclesiasticæ traditionis. Immo neque ex legibus, neque prius e sacris, ac divinis canonibus desumptum est. Sed barbaricus iste modus, nobisque minime notus, qui jussu tantum imperatorio fit.* Et ille, *O maxime Dei Antistes, si ex barbaris ipse genus ducerem, & barbaricis moribus enutritus, aut similibus legibus instructus fuissem, barbarico etiam modo pœnas luerem. Sed si Romanus, & ex Romanis, Romanis legibus, & scriptis traditionibus judicium terminetur.* Ille itaque juvenis sermonibus quasi attonitus, Michael namque Comnenus septimum tunc & vigesimum annum agebat, & quod in infortuniis nihil de generosis cogitationibus demitteret, nec sententiarum ingeniosum, ac dextrum laxaret, ad Imperatorem accurrit, & quænam ipse dixerit, nescio; attamen illum quæcumque audierat, nec alia dixisse judico. Igitur Imperator post varia, multaque experimenta nullius cirminis, aut facti reum Michaelem Comnenum deprehendit, eoque potissimum, quod innocentem, & sermonum, & flagellorum vi reum perageret. Omnes enim sive Latini, sive Romaoi, sed maxime Latini, qui ore liberiore adversum dominos loquuntur, Michaelem Comnenum, omnium plane insontem judicabant. Ego etiam qui

Edit. Paris. pag. 54.

judicio interfueram, & una mecum Joannes Macrotus, uterque ab Imperatore inter Judices annumerati; nonnullos nihil a lignis distantes ibidem interesse audivi. Namque ille volebat, ut omnes simul in eum seotentiam ferrent. Sed nos his neque attendebamus, neque advertebamus animum, cum Comnenus Michael absque ulla ratione in judicium vocaretur. Diligebatur etenim, ita me amet veritas, non a nobis modo, sed ab unoquoque dignitate præfulgente, Ductoribus copiarum, militibus, conventis, cum junioribus dulcis, usu facilis, eloquio suavis, ad agenda, tractandaque negotia incredibilis: senibus & sermone, & prudentia senex habebatur, cujus impendio consuetudine illi oblectabantur. Hæc tamen ita annuente numine in eum patrata sunt; quandoquidem cum ad imperatorium culmen attollere decrevisset eum, & tormentorum igne, & experimentorum cooflatorio probavit, ne in solium evectus calumniis, & accusationibus ex facili crederet, neque eo in loco constiturus, quo, quidqoid habuerit, agere posset, plus justo celerius decerneret, ac determinaret: Verum enimvero in aliis etiam, ut subsequens oratio indicabit, numini probatus est. In extremo negotio Imperator, quod etiam ipse auditione acceperam, enunciarat, *Væ misero tibi quanam gloria cecidisti?* Id porro erat, Imperatorem fixius animo agitasse neptem, primam filiam filii sui Imperatoris Theodori Irenem, quæ ipsi Michaelis secundi consobrini sui filia erat, Michaeli Comneno in matrimonium collocare. Quod & in Imperatore Joanne, aliisque pluribus factum est. Et his affinia non alia ratione evenire consuevere. Licet enim ab Ecclesia prohibeantur attamen publicæ gubernationis causa, atque commodi Imperatoribus permittuntur.

L I. Igitur Imperator modo quo diximus, quæstioni fine imposito, in Orientem progreditur, & Michaelem Comnenum suspectum habebat. Quando vero & generis claritudo, & cum ipso conjunctio,

A ἀλήθειαν. Καὶ ὁ μὲν Κομνηνὸς Μιχαὴλ οὕτως εἰρήκει· ὁ δὲ Μητροπολίτης, ὦ καλὲ νεανία, ἔφη, τοῦτο οὐκ ἔστι τῆς ἡμετέρας καὶ Ῥωμαϊκῆς καταστάσεως, ἀλλ᾽ οὔτε τῆς ἐκκλησιαστικῆς παραδόσεως, οὔτε μὴν ἐκ τῶν νόμων, οὔτε δὴ πρότερον ἐκ τῶν ἱερῶν καὶ θείων κανόνων παρείληπται. βαρβαρικὸς δὲ ὁ τρόπος, καὶ ἀγνὼς ἐν ἡμῖν, προστάγματι δὲ μόνον ἐνεργεῖται βασιλικῷ. Καὶ ὅς, ὦ μέγιστε ἱεράρχα Θεοῦ, εἰ μὲν καὶ αὐτὸς ἐκ βαρβάρων γεγέννημαι, καὶ βαρβαρικοῖς ἤθεσιν ἀνατέθραμμαι, ἢ καὶ νόμοις τοιούτοις ἐκπεπαίδευμαι, καὶ βαρβαρικῶς ἐπισταίμην τὴν δίκην μου. εἰ δὲ Ῥωμαῖος, καὶ ἐκ Ῥωμαίων, κατὰ νόμους Ῥωμαϊκούς, καὶ παραδόσεις ἐγγράφους ἡ κρίσις τερματιζέσθω μοι. ἐκεῖνος μὲν οὖν τοῖς λόγοις οἷον τὸ νεανίσκου ἐκπε-
B πληγμένος, εἰκοστὸν γὰρ καὶ ἕβδομον διήνυεν ἔτος ὁ Κομνηνὸς Μιχαήλ, καὶ ταῖς μὲν ἐν συμφοραῖς τούτῳ ὄντος τὸ εὐγενὲς τοῦ φρονήματος καταπίπτειν, μηδὲ τὸ τῶν νοημάτων χαλᾶν εὐμετάβολον, πρὸς τὸν Βασιλέα ἐλθών, ὅσα μὲν οὖν εἶπεν ἐκεῖνος, αὐτὸς οὐκ οἶδα. πάντως δὲ ταῦτ᾽ ἐμέλλε λέξαι, ὅσα περ καὶ οἷα ἤκουσεν. Ὁ μὲν οὖν Βασιλεὺς διάπειραν πολλὴν πεποιηκώς, οὐχ εὗρε κατά τι τὸν Κομνηνὸν Μιχαὴλ ὑπ᾽ αἰτίαν ὄντα, καὶ ταῦτα καὶ τὸν ἀναίτιον εἰς αἰτίαν ἄγων τῇ βίᾳ, ἢ τῶν λόγων, ἢ τῶν μαστίγων. πάντες γὰρ ἀπεφαίνοντο οἵ τε τῶν Λατίνων, οἵ τε τῶν Ῥωμαίων, καὶ μάλιστα τῶν Λατίνων, ἐπεί γε οὗτοι ἐλευθερωτέρᾳ χρῶνται τῇ γλώττῃ πρὸς δεσπότας, ἀθῶον εἶναι ἐπὶ πᾶσι τὸν Κομνηνὸν Μιχαήλ. ἤκουσα δὲ καὶ αὐτὸς
C ἐπὶ τῇ κρίσει παρών, καὶ σὺν ἐμοὶ ὁ Μακρώτης Ἰωάννης, τάχα καὶ ἡμεῖς συγκαταριθμούμενοι τοῖς κρίνουσι πρὸς τοῦ Βασιλέως, ὡς ξύλων ἄν τινες μηδὲν διαφέροντες ἐκποδὼν ἵστανται. ἐβούλετο γὰρ πάντας κατ᾽ αὐτοῦ συμψηφίζεσθαι· ἡμῖν δὲ οὐκ ἦν λόγος, ἄνευ λόγου τοῦ Μιχαὴλ Κομνηνοῦ κρινομένου. ἐφιλεῖτο γάρ, φίλη γε ἡ ἀλήθεια, οὐ πρὸς ἡμῶν καὶ μόνον, ἀλλὰ καὶ πρὸς παντὸς τῶν ἐν τέλει, τῶν τε στρατηγῶν, τῶν τε στρατιωτῶν, καὶ αὐτῶν τῶν τῆς συγκλήτου. τοῖς τε γὰρ νεάζουσιν ἡδὺς ἦν, καὶ προσηνὴς ὁμιλῶν, καὶ χαρίεις ἐν λόγοις, καὶ ἐν ἐπιτηδεύμασι δεξιώτατος, τοῖς τε γέρουσι γεραρὸς ἐδόκει τόν τε λόγον τε καὶ τὴν σύνεσιν, καὶ ἀστάσιος αὐτοῖς ἐνομίζετο. καὶ ταῦτ᾽ οὖν, ὡς οἶμαι, γέγονεν ἐπ᾽ αὐτῷ δοκιμασίᾳ τοῦ
D κρείττονος. ἐπεὶ γὰρ εἰς τὸν βασίλειον ἔμελλε Θεὸς ἀναβιβάσαι τοῦτον περιοπτὴν τῷ τῶν βασάνων πυρί, καὶ τῷ τῆς πείρας χωνευτηρίῳ δεδοκίμακεν, ἵνα μὴ εἰς τὸν βασίλειον ἀναβὰς θρόνον, ῥᾷον ἔχοι πιστεύειν διαβολαῖς, καὶ συκοφαντίαις, μή τε θᾶττον τὰς ἀποφάσεις ποιεῖν ἐπ᾽ ἐξουσίᾳ τοῦ πράττειν τὰ βουλητέα γεγενημένος. οὐ μὴν καὶ ἐν ἄλλοις κατεξήτασεν, ὡς προϊὼν ὁ λόγος δηλώσει. ἐπεὶ δὲ τέλει τῆς ὑποθέσεως ταυτησὶ ἦν ὁ Βασιλεὺς εἰρηκώς, κἀμοῦ τῶν λόγων ἀκροωμένου, ἂν ἐλεεινόν, οἵας δόξης ἐξέπεσες, τὸ δὲ ἦν ὅτι περ πρὸς βουλήσεως ἦν τῷ Βασιλεῖ τὴν ἐγγόνην αὐτοῦ, τὴν πρώτην θυγατέρα τοῦ υἱοῦ αὐτοῦ τοῦ Βασιλέως Θεοδώρου τὴν Εἰρήνην, ἐκδοῦναι τῷ Κομνηνῷ Μιχαὴλ εἰς ὁμόκοιτιν. ἦν δὲ αὕτη πρὸς τὸν Μιχαὴλ ἀνεψιαδῆ
E πρωτεξαδέλφου θυγάτηρ, ἀλλὰ τοῦτο καὶ ἐπὶ τοῦ Βασιλέως Ἰωάννου ἐγένετο, καὶ ἐν πλείοσιν ἄλλοις. καὶ εἴωθε τὰ τοιαῦτα οὕτω πως συμβαίνειν. παρὰ γὰρ τῇ Ἐκκλησίᾳ κεκώλυται, ἀλλὰ τοῖς Βασιλεῦσιν ἐφεῖται, τῆς κοινῆς προμηθείας χάριν, καὶ τοῦ συμφέροντος.

να´ Ὁ μὲν οὖν Βασιλεὺς οὑτωσὶ τὰ τῆς ὑποθέσεως διαλύσας εἰς τὴν ἕω ἀπῄει, ὁ δὲ Κομνηνὸς Μιχαήλ, ὡς εἰρήκειν, ὑπεβλέπετο. ἐπεὶ δὲ τὸ τοῦ γένους περιφανές, καὶ πρὸς αὐτὸν συγ-

γονὲς, ἔτι γε μὴν τὸ πρὸς τοὺς μεγάλους γνήσιον τούτου, οὐκ εἴα τὸν Βασιλέα ἐν περιφρονήσει φέρειν τὰ κατ' αὐτόν, τί ποιεῖ, στέλλει τοῦτον πρὸς τὸν Πατριάρχην. ὁ Μανουὴλ ἦν τότε τὰ τῆς Πατριαρχίας διιθύνων πηδάλια, ἀνὴρ εὐλαβὴς βίου, καὶ πολιτείας σεμνῆς, εἰ καὶ γυναικὶ συνεζύγη, ἄλλως δὲ οὐ πεπειραμένος γραμμάτων, οὐδὲ ὧν ἀνεγίνωσκεν ἀνελίττων τὴν ἔννοιαν. καὶ γράφει πρὸς τοῦτον ὁ Βασιλεὺς ἐπιτιμίαν καθυποβαλεῖν τὸν Κομνηνὸν Μιχαὴλ, καὶ ὅρκοις αὐτὸν ἐμπεδῶσαι, μὴ ἄν ποτε βουληθῆναι ἀπιστίαν κατὰ τοῦ Βασιλέως μελετῆσαι, φυλάττειν δὲ καθαρὰν αὐτῷ τὴν πρὸς τὸν κρατοῦντα διάθεσιν. γέγονε ταῦτα. καὶ ὁ Βασιλεὺς τὸν Κομνηνὸν ἀνεδέξατο Μιχαὴλ, καὶ ζεύγνυσιν αὐτῷ εἰς γυναῖκα τὴν ἀδελφοῦ αὐτοῦ τοῦ Σεβαστοκράτορος Ἰσαακίου τοῦ Δούκα ἔγγονον τὴν Θεοδώραν, ἣν μόνην ὁ πατὴρ αὐτῆς καταλελοιπὼς ὁ τοῦ Σεβαστοκράτορος υἱὸς Ἰωάννης ἔτι ἐν μείραξιν ὢν τὸ χρεὼν ἐξεμέτρησε, χήραν μὲν τὴν αὐτοῦ γαμετὴν Εὐδοκίαν ἀφεὶς, τὴν τοῦ Ἀγγέλου Ἰωάννου θυγατέρα, ὀρφανὴν δὲ τὴν αὐτοῦ θυγατέρα Θεοδώραν, ἥτις εὐτυχῶς τῷ Κομνηνῷ τότε συνεζεύχθη Μιχαήλ. ἡ γὰρ μήτηρ αὐτῆς Εὐδοκία καίτοιγε νέα οὖσα πάνυ τὴν χηρείαν φέρειν ἠσπάσατο, ἀρετὴν δὲ ἐφίλει, καὶ καθάπερ προσανέχειν Θεῷ. διὰ ταῦτα καὶ ἀντιμισθίαν ἀντιλαμβάνει πρὸς Θεοῦ τὸ κῆδος. καὶ ταῦτα μὲν ἔσχεν οὕτως.

νβ. Ὁ δὲ Βασιλεὺς τὰ τῆς ἕω μέρη κατειληφὼς, καὶ τοῦ ἐνιαυτοῦ ἐκείνου παρῳχηκότος, αὖθις περὶ τὴν προκαθημένην τῶν Βιθυνῶν πόλιν ἀφίκετο Νίκαιαν. καιρὸς ἦν περὶ τὰ τοῦ χειμῶνος τέλη, καὶ φθίνων ἐτύγχανε Φεβρουάριος. καὶ ὁ Βασιλεὺς ἐπὶ τῆς κλίνης ἑσπέρας καθήμενος, παρέδραμε δὲ καὶ μέρος τι τῆς νυκτὸς, ἄφνως γεγονὼς ἄφωνος, πρηνὴς ἐπὶ τῆς κλίνης πεσὼν, ἦν τὸ ἀπὸ τοῦδε ἄναυδος τὸ καθόλου. χεῖρες δὲ ἰατρῶν ὑπήργουν ἐν τούτῳ, καὶ ἀμυχὰς ἐν τοῖς ποσὶν ἐποίουν, καὶ εὐφόρβιον ταῖς ἀμυχαῖς ἐπέβαλλον, καὶ ἄλλ' ἄττα ἔπραττον, ἃ πόσα ἡ τέχνη ἐδίδασκεν. ἀλλ' ὁ Βασιλεὺς ὅλην τε ταύτην τὴν νύκτα, καὶ τὴν ἐπιοῦσαν ἡμέραν, καὶ αὖθις τὴν ἑτέραν νύκτα ἀκίνητος ἔκειτο. ἀποπληξία γὰρ ἦν ἡ νόσος, καὶ οὕτω βαρεῖα, ὥστε διαρκέσαι τοσοῦτον εἰς ἀκινησίαν, καὶ ἀφωνίαν. μόγις δ' οὖν ἀνέπνευσε καὶ εἰς ἑαυτὸν ἦλθεν. ἠλλοιωμένος δὲ ἦν τὸ χρῶμα. ἔσπευσε γοῦν καταλαβεῖν τὸ Νύμφαιον φθάσας τε πρὸ τῆς Βαϊοφόρου κυριακῆς, καθ' ἣν εἴωθε θριαμβεύειν ὁ Βασιλεύς. ἐπιτείνας οὖν τὴν ὁδὸν ἀφίκετο εἰς τὸ Νύμφαιον, κἀκεῖσε τὸν κατὰ τὴν Βαϊοφόρον θρίαμβον ἐξετέλεσε, καὶ τὴν Ἀναστάσιμον ἑώρτασεν ἡμέραν. καὶ τὰ ἀπὸ τοῦδε τοῖς τοιούτοις ἐνεχωρίαζε μέρεσι, τῇ κατασχούσῃ τοῦτον νόσῳ κατὰ διαστήματα ἡμερῶν τρυχόμενός τε καὶ πιεζόμενος· ποτὲ μὲν γὰρ ἐν τῷ παλατίῳ διάγων, εὐθὺς ἐπὶ κλίνης ἔπιπτεν ἄφωνος, ποτὲ δὲ ἐφ' ἵππου βαίνων, ἢ ὁδὸν βαδίζων ὑπὸ τῆς νόσου ἐγένετο κάτοχος, καὶ οἱ συμπαρόντες κατεῖχόν τε, καὶ πρὸς ὥραν παρεφύλαττον, ὥστε μὴ γνωρίζεσθαι τοῖς πολλοῖς. ἐπὰν δὲ εἰς λογισμὸν ἐπανήκει, σχολῇ πρὸς τὰ Βασίλεια ἐπανέστρεφεν. ἐνίοτε δὲ καὶ φοράδην ἐπὶ θρόνου ἐν τοῖς ἀνακτόροις ὑπὸ τῶν οἰκείων ἤγετο. ἐπεὶ δὲ ἡ νόσος ἐπηύξανε, τὸ σῶμα τοῦ Βασιλέως κατέπιπτε· συνεχέστερον γὰρ ἤρξατο πάνυ τοῦτο γίνεσθαι. συντήξις γοῦν ἦν αὐτῷ τῶν σαρκῶν, καὶ τὸ δεινότερον ἡ ἀτροφία τοῦτον ἐπίεζεν. ἐπεὶ οὖν χεῖρες ἰατρῶν εἰς τὴν νόσον ἀπέκαμον, παραμυθίαν βουλόμενος μικρὰν ἐφευρεῖν, ἠθέλησεν εἰς τὴν Σμύρνην ἀπελθεῖν ὅπως τῷ ἐκεῖσε προ-

necnon cum magnatibus affinitas non permittebant Imperatori, ut res ab eo gestas haberet contemptui, mittit eum ad Manuelem, qui ea tempestate Patriarchatus gubernaculis assidebat, virum pietate insignem, & vitæ instituto, licet uxorem duxisset, venerandum, litteras tamen haud doctum, cum nec eorum sententiam, quæ ipse percurrerat, caperet, quem scripto Imperator compellat, ut pœnis quoque exactis Michaelem Comnenum increparet, jureque jurando fidem illius alligaret, nullas eum impostetum adversus Imperatorem insidias moliturum, sed fidum, ac incorruptum in dominum amoris obsequium exhibiturum. Ubi ea res sic evenit, Imperator Comnenum in gratiam recipit, illique fratris sui Sebastocratoris Isaacii Ducæ neptem Theodoram nuptum dedit, quam unicam pater illius Sebastocratoris filius Joannes in adolescentia fato functus, reliquerat. Obiit equidem ille uxore Eudocia Angeli Joannis filia vidua, pupilla vero filia Theodora, quæ jam tum non infelicibus avibus Comneno Michaeli juncta fuerat, relicta. Mater siquidem illius Eudocia, licet florente juventa fervida, viro carere maluit, ac virtutem sectari, Deo freta, cui se fortunasque suas devoverat: Hinc Deus virtutem matrimonio compensavit. Et hæc quidem ita se habuere. *Edit. Paris. pag. 55.*

LII. Imperator cum in Orientem secessisset, anno elapso rursum ad reginam Bithynorum urbem Nicæam pervenit. Hyemis extremum erat, exitusque Februario impendebat, cum Imperator vesperi lecto assidens, exigua noctis parte procedente, ex improviso vocem emittit; hinc pronum effusum loquela penitus destituerat. Medici curationem ejus recipere, pedes scarificare, scarificationibus ephorbium imponere, aliaque remedia, quæ ars dictat, malo invenire. Verum Imperator tota ea nocte, & die subsequente, & quæ mox advenerat, alia nocte motus expers jacuit. Morbus enim erat nervorum resolutio, adeoque gravis, ut tanto tempore, & motu, & voce stupens, atque attonitus privaretur. Tandem aliquando respiravit, & in semet, colore tamen deperdito, rediit. Nymphæum ergo quam celerrime, & ante Dominicam palmarum, qua triumphare ille sueverat, advehi curat, & accelerato itinere Nymphæum appellit, in quo die palmarum triumphum egit, & Resurrectionis diem celebravit, indeque assiduo loca illa frequentabat, morbo per intervalla dierum, ingruente jactatus, conflictatusque. Quandoque enim in Palatio degens subito in lectum amissa voce procumbebat: quandoque equitans inter ambulandum a morbo corripiebatur. Et qui aderant, sustinebant, & ante tempus custodiebant, ne pluribus innotesceret. Dein sui compos per otium in aulam revertebatur: quandoque etiam clanculum in sellula per regiam a familiaribus deducebatur. Sed cum morbus invalesceret, corpus Imperatoris in pejus ruebat, cum solito longe frequentius malo divexaretur, carnesque absumerentur, quod deterius habebat, & ali non poterat. Cum ergo medicorum ingenium de restituenda valetudine desperasset, ut respirare ipse paululum posset, Smyrnam iter *pag. 56.*

meditatur, ut Christum, qui in ea insigniter colitur, adoraret, precibusque effusis, sibi propitium in tanto infortunio redigeret. Accessit; omnia, uti instituerat, perfecit, nec tamen ex morbo convaluit. Porro in Periclystris commorans, locus is est prope Smyrnam, quod undique aquarum copia circumfluatur, sic dictus, majori, sive potius atrociori malo oppressus, inde discedens, cum gravissime corpore urgeretur, Nymphæum proficiscitur, nec regias ibidem domos invisit, sed in hortis regiis, prope urbem imperatoria fixit tentoria, ubi & diem suum obiit extremum tertio Kalend. Novembris sexaginta & duos annos natus, ut qui illius res exactius possidebant, dixere, ex his triginta tres probe, integreque regnaverat. Leni animo fuit, semperque se humaniorem præbebat, familiares parcius munerabatur, exteros, eosque, qui tamquam Legati ad eum venissent, magnificentioribus largitionibus, ut ab eis laudaretur, afficiebat: amoribus muliebribus postquam ejus uxor Irene Imperatrix ex hac vita excesserat, & potissimum Marcesinæ, quæ ex Italia venerat, Annæ quidem Imperatricis ex Alemania uxoris pedissequa, sed quæ postea in amore æmula fuerat, deditus. Ecujus amore ita ipse perdiebat, ut illi coccineos calceos gestare permiserit, & sagum, & frænum non alterius coloris indulserit, plures illi famulos, quam veræ dominæ donaverit, aliaque quamplurima libidinibus illius deserviens præstiterit. Fuit illi animus belli ingens ac tolerans, confertis prælis, variam Martis sortem extimescens, & in illis conferendis incertum animo agitans, minime delectabatur, sed fortitudine, ac patientia, & verno tempore in hostium locis degens, & æstate trajiciens, nec non & senescentes fructus expectans, quandoque etiam hybernans victoriam reportabat, Imperatoris constantia, ac patientia lacescentibus hostibus. Moritur Imperator Joannes, imperio filio suo Theodoro tres, & triginta annos agenti relicto, tot enim ætatis illius anni, quot & paterni imperii erant, cum paterna enim acclamatione forte, & natales illius concurrerant.

LIII. Igitur Imperator Theodorus imperii habenis susceptis; justisque Imperatori, & fratri, uti fieri amat, factis, & super scutum assidens, uti moris est, ab
Edit. Parif. pag. 37.
omnibus Imperator acclamatus, Nymphæo discedens Philadelphiam commeat, urbem ingentem, & frequentem populis, oppidanisque arma sumere, & maxime sagittis adversarium configere professis. Ea cum in finitimum agrum Persicum extendatur, bella cum hostibus continuo exercens, gentem belli studiis asperrimam alit. Ibi paucis diebus, quibus legationem ad Sultanum miserat, commoratus ad Bithynorum oras, & ad primam illius regionis urbem Nicæam secessit. Sed cum Patriarchæ orba Ecclesia foret; nam paulo antequam Joannes Imperator moreretur, Patriarcha Manuel vitam finierat, nec absque Patriarcha Imperatoris coronatio in sacro templo confici posset; dignus ea provincia, & honore conquirebatur, plu-

A σκηνώσαντα Χριστόν, παράκλησίν τε ποιήσοι, καὶ ἵλεων αὐτὸν ἀπεργάσοιτο. ἀφικόμενος οὖν ταῦτα μὲν διεπράξατο. ἀνακωχὴν δὲ τοῦ πάθους οὐχ εὗρεν, ἀλλ' ἐν τοῖς Περικλύστροις τρόποις σκηνούμενος, τόπος δέ ἐστιν οὗτος ἐγγύς που τῆς Σμύρνης διὰ τὸ πολλοῖς τοῖς ὕδασι περικλύζεσθαι, οὕτω πως κατονομαζόμενος, μείζονος ἢ μᾶλλον χείρονος τοῦ πάθους ἐπῄσθετο. ἐκεῖθεν οὖν ἀπάρας πονήρως λίαν ἔχων τοῦ σώματος καταλαμβάνει τὸ Νύμφαιον. καὶ ἐν μὲν τοῖς βασιλικοῖς οὐκ ἀπῆλθεν οἰκήμασιν, ἐν δὲ τοῖς ἐγγύς που τῆς χώρας βασιλείοις κήποις τὰς ἀνακτορικὰς σκηνὰς ἐνιδρύσατο. ἔνθα καὶ τὸ χρεὼν ἐλειτούργησε τρίτῃ καλανδῶν Νοεμβρίων ἑξήκοντα καὶ δύο, ὡς οἱ τὰ περὶ αὐτοῦ ἀκριβέστερον εἰδότες
B ἔφασκον ἔτη βιώσας, ἐξ ὧν τριάκοντα καὶ τρεῖς βεβασίλευκε καλῶς τε καὶ ἀγαθῶς. πρᾶος γὰρ ἦν, καὶ πρὸς τὸ φιλανθρωπότερον ἀεὶ ὑπονεύων. δωρεαῖς μὲν πρὸς τοὺς αὐτοῦ ἧττον ἐχρᾶτο, πρὸς δὲ τοὺς ξένους, καὶ μᾶλλον τοὺς ὡς πρέσβεις ἀφικομένους δαψιλεστέραν τὴν χεῖρα προὐτεινεν, ἵν' ὑπ' αὐτῶν ἐπαινοῖτο. ἐρώτων δὲ θηλειῶν ἡττᾶτο, ἐξότε ἡ σύζυγος αὐτοῦ, καὶ βασιλὶς Εἰρήνη, ἐξ ἀνθρώπων ἐγένετο, μάλιστα δὲ τῆς ἐξ Ἰταλίας ἐλθούσης, ὡς θεραπαινίδος μὲν, τῆς ἐξ Ἀλαμάνων συζύγου βασιλίδος Ἄννης, ἀντιζήλου δὲ ταύτης γεγενημένης, Μαρκεσίνης τε ὀνομαζομένης τοῦ ἔρωτος ἥττητο, καὶ ἐς τοσοῦτον τῆς ἀγάπης αὐτῆς ἐξεκρέματο, ὡς καὶ πέδιλα ὑποδεδέσθαι δοῦναι ταύτῃ κοκκοβαφῆ, καὶ ἐφεστρίδας τοι-
C αύτας, καὶ χαλινά, ὑπηρέταις τε αὐτῇ πλείους, ἢ τῇ κυρίᾳ δεσποίνῃ, ἄλλα τε πολλὰ ἐποίει, ταῖς ἐκείνης δουλεύων ὀρέξεσι. καρτερικὸς δὲ ἦν οὗτος ἐν ταῖς μάχαις ὁ βασιλεύς, καὶ τοῖς μὲν κατὰ συστάδην πολέμοις μὴ ἔχαιρε, ἀλλ' εὐπρόσαλλον τὸ ἄρεως δειλιῶν, καὶ τὸ παρὰ ταῦτα ἄδηλον ὑπολογιζόμενος. τῇ καρτερίᾳ δὲ χρώμενος, καὶ ἐνεαρίζων μὲν εἰς τὴν τῶν ἐναντίων γῆν, καὶ τὴν θέρους ὥραν διαβιβάζων, ἔτι δὲ καὶ τὴν φθινοπωρινὴν ἀπώραν διανύων, ἐνίοτε δὲ καὶ παραχειμάζων τὴν νικῶσαν ἐλάμβανον, ἀποκαμνόντων τῶν ἐναντίων τῇ τοῦ βασιλέως ἐνστάσει τε καὶ ὑπομονῇ. ἐτεθνήκει μὲν ὁ βασιλεὺς Ἰωάννης τῷ υἱῷ αὐτοῦ Θεοδώρῳ τὴν βασιλείαν καταλελοιπώς, τριάκοντα καὶ τρία ἔτη διανύοντι. το-
D σοῦτος γὰρ ὁ χρόνος αὐτῷ ἀπόσος τῆς πατρικῆς βασιλείας ἐτύγχανε. σχεδὸν γὰρ τῇ πατρικῇ ἀναρρήσει, καὶ ἡ γέννησις ἐκείνου ξυνέδραμεν.

νγ'. Ἀλλ' ὁ βασιλεὺς μὲν Θεόδωρος τῶν βασιλείων ἐπείληπτο θρόνων. τὴν νενομισμένην γοῦν ὁσίαν ἀποδοὺς τῷ βασιλεῖ καὶ πατρί, καὶ καθιδρυθεὶς ἐπ' ἀσπίδος ὡς ἔθος, καὶ ὑπὸ πάντων φημισθεὶς Αὐτοκράτωρ, τοῦ Νυμφαίου ἀπάρας, ἐπὶ τὴν Φιλαδέλφου ἀφίκετο. μεγίστη δὲ αὕτη πόλις καὶ πολυάνθρωπος, καὶ ὁπλίζεσθαι δεδιδαγμένους οἰκήτορας ἔχουσα, καὶ μάλιστα τοξείαν ἀσκοῦντας. ἀγχιτερμονοῦσα δὲ τοῖς Περσικοῖς ὁρίοις, ἀεὶ διαμάχεσθαι τοῖς ὑπεναντίοις τούτους ποιεῖ, καὶ ἐθάδας πολέμων ἐργάζεται. ἐκεῖσε οὖν διακαρτερήσας μικρὸν καὶ ὅσον πρεσβείαν στεῖλαι πρὸς τὸν Σουλτάν, περὶ τὰ Βιθυνῶν κεχώρηκε μέρη, καὶ τὴν τῆς χώρας ταύτης προκαθημένην πόλιν τὴν Νίκαιαν. ἐπεὶ δὲ ἐχήρευε τοῦ Πατριαρχοῦντος ἡ Ἐκκλησία, ἔφθακε γὰρ ὁ Πατριάρχης Μανουὴλ μικρόν τι τοῦ βασιλέως Ἰωάννου προτελευτῆσαι, ἔδει δὲ πρῶτον Πατριάρχην προβληθῆναι, ἵν' ἐπὶ τῷ βασιλεῖ τὴν στεφηφορίαν ἐν τῷ ἱερῷ τελεσιουργήσῃ τεμένει, ἐζητεῖτο μὲν ὁ ἄξιος τοῦ τοιούτου θρόνου, ἡ δόξα δὲ τοῖς πολλοῖς ἐπὶ τῷ Βλε-

μὲν δὴ ἐτύγχανε Νικηφόρῳ τῷ ἐμῷ διδασκάλῳ τῷ τῆς φιλοσοφίας λόγων τε καὶ δογμάτων, ἀνδρὶ ἐκ νεότητος τὸν ζυγὸν ἀραμένῳ τοῦ μονήρους βίου, καὶ περιβοήτῳ τυγχάνοντι, καὶ περὶ λόγον καὶ ἀρετήν. κἂν ἐνίων ὁ φθόνος, καὶ μάλιστα τῶν πρωτευόντων, οὐ μόνον οὐκ ἐμφανῆ τούτῳ τὰ τῆς ἀρετῆς ἐποίει, ἀλλὰ καὶ κακίας τινὰς αὐτῷ προσεκόλλα. οὗτος ἦν πρὸς τὸν βασιλέα Θεόδωρον φιλίως διέκειτο, καὶ παρ' αὐτοῦ ἐφιλεῖτο. τῶν γὰρ λόγων, ἐν οἷς τὰ πολλὰ ἐπεγάννυτο, διδάσκαλος ἦν αὐτὸν ἐπεγράφετο. Σοφὸς γὰρ ἦν εἰς ἄκρον ταῖς ἀληθείαις ὁ Βασιλεύς. Ὁ δὲ ὀκναρότερος περὶ τὸ πρᾶγμα ἐτύγχανεν. Οὐ μὴν ἀλλὰ καὶ ὁ Βασιλεὺς αὐτὸς μαλακώτερον αὐτοῦ ἐπειρᾶτο. μᾶλλον γὰρ πρὸς βούλησιν ἦν αὐτῷ, τὴν προστασίαν μὴ καταδέξασθαι. ταπεινοτέρους γὰρ καὶ μετρίους εἶναι τὸ φρόνημα τοὺς πατριαρχεύοντας οἱ κρατοῦντες ἐθέλουσι, καὶ προσπίπτειν εὐχερῶς, τοῖς σφῶν αὐτῶν βουλήμασιν, ὡς προστάγμασι. Τοῦτο δὲ μᾶλλον οἱ ἀγροικότεροι πάσχουσιν. οὐδὲ γὰρ ἔχουσι τοῖς λόγοις θαρρεῖν. οἱ δὲ περὶ λόγους ἀκαμπέστεροι φαίνονται, καὶ τοῖς ἐκείνων θεσμοῖς ἀντιπίπτουσιν. Ὁ γοῦν Βασιλεὺς Θεόδωρος διὰ ταῦτα μικράν τινα πεῖραν λαβὼν τοῦ ἀνδρός, ἐφ' ἑτέρους ἐτράπετο. καὶ ἐπεὶ δυσαρεστῶν ἐτύγχανεν ἐν πολλοῖς, μοναχόν τινα εἶναι μαθὼν ἐν τῇ τῆς Ἀπολλωνιάδος λίμνῃ ὀλίγων γραμμάτων πεῖραν ἔχοντα. μόνον καὶ γὰρ ἥψατο τῆς γραμματικῆς παιδείας, ἀνίερον τελοῦντα, καὶ Ἀρσένιον ὀνομαζόμενον, ὡς εἶχε τάχους, στέλλει τοὺς αὐτὸν ἄξοντας. κἀκεῖνος ἀφίκετο. Ἐπεὶ δὲ τὴν ἀπὸ τῆς Νικαίας ἔξοδον ἔσπευδε, διὰ τάχους τοῖς Ἀρχιερεῦσι προστάττει χειροτονῆσαι Πατριάρχην αὐτὸν ὁ Βασιλεύς, οἳ καὶ οὕτω διεπράξαντο, ἐν μιᾷ ἑβδομάδι Διάκονον καὶ Ἱερέα, καὶ Πατριάρχην αὐτὸν ἀποτελέσαντες.

νδ´. Ἡ δ' αἰτία τοῦ ἐπισπεύδειν τὴν ἀπὸ τῆς Νικαίας ἔξοδον, ἦν αὕτη. Ὁ Βουλγαράρχης Μιχαήλ, ὃς γυναικάδελφος τοῦ βασιλέως ἐτύγχανε Θεοδώρου τῷ πενθερῷ αὐτοῦ τῷ Ἀσὰν Ἰωάννῃ ἐκ τῆς τοῦ Ἀγγέλου Θεοδώρου θυγατρὸς γεννηθείς, τὸν τοῦ βασιλέως Ἰωάννου πυθόμενος θάνατον, ἐπεὶ τὰ δυτικὰ μέρη γυμνὰ στρατευμάτων ἑώρα Ῥωμαϊκῶν, βουληθεὶς τὴν ἀφῃρημένην πρὸς τοῦ βασιλέως Ἰωάννου χώραν ἐκ Βουλγάρων, καὶ τὰ ἐν τούτοις ἄστη πρὸς Βουλγαρικὴν ἀρχὴν καὶ αὖθις ἀνακαλέσασθαι, τοῦτο γὰρ ἐκ μακροῦ τοῖς Βουλγάροις ὠδίνετο, καὶ τὸν καιρόν, ὡς ἐδόκει, κατιδὼν ἐπιτήδειον, ἐξορμήσας τοῦ Αἵμου, καὶ τὸν Εὖρον διαπεράσας, ἐν οὐ πολλῷ χρόνῳ, πολλήν τε χώραν ὑφ' ἑαυτὸν ἐποιήσατο, πολλά τε ἄστη σὺν οὐδενὶ παρεστήσατο πόνῳ. Βούλγαροι καὶ γὰρ τυγχάνοντες οἱ οἰκήτορες τοῖς ὁμοφύλοις προσέτρεχον, τὸν ζυγὸν τῶν ἀλλογλώσσων ἀποσειόμενοι. Τὰ δὲ ἄστη μετὰ τῶν Ῥωμαίων, καὶ μόνων ἀπολελειμμένα φυλάξεων, οὐκ ἀξίων τοιούτοις καιροῖς ἀντιμάχεσθαι, εὐχείρωτα τοῖς Βουλγάροις ὑπῆρχε, τῶν μὲν πτοίᾳ ταραττομένων, καὶ προδιδόντων τὰ ἄστη, καὶ λαμβανόντων τὴν πρὸς τὰ οἴκοι ἐλευθερίαν, τῶν δὲ πρὸς τὴν ἐξαπίνης γεγενημένην τῶν Βουλγάρων ἔφοδον, μηδὲν ἐχόντων ἐκ τοῦ προχείρου νοῆσαι λυσιτελοῦν, ἀποδιδρασκόντων, καὶ ταῦτα ἔρημα τῶν φυλαττόντων ἀπολιμπανόντων, ἄλλων δὲ ἴσως καὶ χρόνων ἀποκαμόντων, παραταθέντος παρὰ τὸ μέτρον τοῦ χρόνου τῆς φυλακῆς. τὰ πλείω δὲ τῶν ἄστεων καὶ ἀπερίοικα ἦν, καὶ τῶν χρειωδῶν ὅπλων ἄμοιρα, κατεσχέθη

A rimorum suffragia in Nicephorum Blemmidam præceptorem meum, & philosophicorum sermonum, ac dogmatum institutorem, virum & litteris, & virtute perquam celebrem, & qui juvenis adhuc, atque tenella ætate jugum monasticæ vitæ tulerat, respiciebant, licet nonnullorum, & maxime primatum invidentia non modo tantæ virtutis lumen occuluerat, sed & vitia quædam homini appinxerat. Hunc Imperator Theodorus diligebat, cui jucundissimus erat, quippe qui sermonum, quibus summopere delectabatur, magistrum eum sibi adsciverat. Sapientiæ enim culmen, & revera attigerat Imperator. Ille ad tantam rem segnior esse, & Imperator etiam ipse B non impense nimis urgere, cui magis volupe erat, ab eo similem dignitatem non recipi. Reges scilicet, eos, qui Patriarchatui præsunt, moribus, ac ingenio abjectiores, moderatioresque, ut facilius eorum nutibus, veluti jussis succumbant, peroptant, quod rusticioribus, cum sermonibus fidere nequeant, potissimum accidit; qui vero sapientiæ operam navant, rigidiores videntur, & illorum jussibus adversantur. Propterea Imperator Theodorus illius mente, sensuque leviter degustato ad alios se convertit, & cum plures non satisfacerent, Monachum quemdam ex Apolloniadis lacu, præter paucas litteras cæterorum insuntem, solum enim rudimenta Grammatices attigerat, nullis sacris Ordinibus insignitum, C Arsenium nomine accersitum, quam celerrime missis hominibus conduxit, nec ille renuit. & Nicæa exire festinans, Præsulibus, ut quamprimum eum Patriarcham efficerent, imperat, illi audientes per unam hebdomadam, Diaconum Sacerdotem, & Patriarcham consecrant. *Edit. Paris. pag. 58.*

LIV. Causa vero exitum Nicæa sollicitandi ea fuit. Bulgarorum princeps Michael uxoris Theodori Imperatoris frater, socero illius Joanni Asano ex Angeli Theodori filia susceptus, Joannis Imperatoris obitu nunciato, cum occiduas partes imperatoriis copiis nudas, orbasque conspiceret, animoque agitasset regionem, & in ea oppida ab Imperatore Joanne Bulgaris surrepta, ad Bulgarorum rursus dominatum, quod jam diu Bulgarorum cordi inhæserat, revocare, remque pro tempore opportunam, ut sibi D videbatur, ratus, Hæmo prodiens, transnatoque Hebro, paucissimo tempore multarum regionum potitus est, multaque oppida nullo cum labore sibi devinxit. Bulgari siquidem habitatores, externorum jugo dejecto, generis consortibus accurrebant; arces solo Romanorum præsidio munitæ cum ad repellendos hostium impetus non sufficerent, in potestatem Bulgarorum nullo negotio cecidarunt; partim timore perculsis, & deditionem arcium pro salute, & domum abitione prodentibus, partim repentinæ Bulgarorum irruptioni, cum obviam ire non possent, aufugientibus, easque custodibus vacuas deserentibus, aliis etiam temporis longinquitate defessis, cum præter modum custodiæ terminus illis protraheretur. Pleræque etiam arcium imperfectæ viris, & reliquis necessariis parum munitæ præda hostibus patuerunt. E vestigio

itaque expugnatæ sunt Stenimachus, Peristitza, Crytzimus, Tzepæna, & Achridis, præter Mniacum, quod vel solum Romanis devotum perseveraverat, omnia. Præterea Ustra, Perperacium, Cribus, & quod Adrianopoli adjacet, Ephrem, Bulgaris cessere. Hæc ubi ita facta sunt, & in occiduis partibus, rebus Romanorum in discrimen adactis, cum fama ad Imperatoris etiam aures pervolasset, & præsentibus malis atrociora, inde ventura repræsentasset, qui in aula erant, nimis conturbati sunt, quippe qui scirent, potissimam Occidentis partem in Bulgaros esse propensam, tamquam quæ a Romanis jampridem defecisset, & recenter a Joanne Imperatore debellata, nondum solida, ac firma in dominio constaret, sed continua in Romanos odia clanculum exerceret.

L V. Propterea Imperator etiam ipse rebus anxie æstuabat, si tam misere potestatis illius initio haberentur. Illis ergo, qui

Edit. Paris. pag. 59.

dignitate fulgebant, & exercituum ductoribus, inter quos & ex avo Imperatore Theodoro patrui Manuel & Michael advenerant, convocatis, consilium init, quid sibi, ut malo occurrerent, agendum esset. Potior eorum pars in eam ivit sententiam, ut Imperator Hellesponto superato, impetum Bulgarorum comprimeret. Sed hoc principis patruis, quos supra nominavi haud arridebat, quibus animum potius adverterat Imperator multis de causis. Affinitas quippe generis, & veneranda senectus compellebat, neque minus ad id conferebat rerum multarum experientia. Hi namque Joannis Imperatoris tempore e solo patrio exules multorum principum familiaritate usi sunt, & diversa in loca aberrarunt; hincque, ut Poeta cecinit, viderunt urbes, & mores hominum cognoverunt. Hi licet, ut verum fatear, pleno pectore saperent, non recte tamen Romanorum rebus consulebant, quod primum a fratre, & Imperatore neglecti nullo digni habiti fuissent munere, quod fratres Imperatoris condeceret; dein per generum & Imperatorem ab solo patrio extorres, ab eis totos se abalienaverunt, & has quidem causas Romanis illos inimicissimos reddidisse aliquis forte diceret; nobis istis cognitum mores hominum incertos, atque instabiles in hujusmodi eos deduxisse simultates, quæ neque Imperatorem Theodorum latebant, nihilominus eos, tamquam sanguine conjunctos, & quod perpetuo eos honoribus condecorare proposuerat, eorum consiliis utebatur. Proponebant itaque illi non esse operæ pretium Imperatorem in occasum progredi, quod eæ partes male afflictarentur, & absque remedio vehementer laborarent. Copias esse Imperatoris exiles, ac tenues, nec regio apparatu suppares, cum tempus hybernum impedimento esset, ne cogerentur in unum. Præterea Imperatorem loco moveri neque nomini suo, neque expectationi hominum dignum quippiam conficere, non tantum hostibus ablata confirmant, sed & reliqua, summo adversariorum incremento, rerumque Romanorum imminutione disperdunt, ac dissipant. Et hæc quidem isti. Verum Georgius Muzalo apprime illi carus, qui magni Domestici munere fungebatur, imperatorium progressum non consulere modo, sed etiam cogere, on quæ in occasu erant, vel

A μὲν οὖν ἐκ τῆς παραυτίκα Στενίμαχος, Περιστίτζα, Κρυτζιμὸς, Τζέπαινα, καὶ τὰ ἐν τῇ Ἀχρειδῷ ξύμπαντα, πλὴν Μνειάκου. τοῦτο γὰρ καὶ μόνον ὑπὸ Ῥωμαίων πεφύλακται. Οὔστρα δὲ καὶ Περπεράκιον, καὶ Κρυβοῦς, καὶ τὸ παρακείμενον τῇ τοῦ Ἀδριανοῦ καλούμενον Ἐφραὶμ τοῖς Βουλγάροις κεχείρωται· τούτων οὕτω γεγενημένων, καὶ τῶν ἐν δυσμαῖς Ῥωμαϊκῶν κλονουμένων πραγμάτων, τῆς φήμης μέχρι καὶ ἐς βασιλέως ἐπιδραμούσης, καὶ πλειόνων προσδοκίαν κακῶν τῶν προσόντων φαντασίαν παρεχομένης, οἱ περὶ τὰ βασίλεια οὐ μικρῶς ἐταράχθησαν· ἠπίσταντο γὰρ ὡς τὰ πλείω τῶν δυτικῶν μερῶν Βουλγάροις οἰκειοῦνται, καὶ ἀποστατήσασι πάλαι Ῥωμαίων, προσφάτως δὲ χει-
B ρωθεῖσι τῷ βασιλεῖ Ἰωάννῃ, καὶ οὔπω πῆξιν τῆς χειρώσεως λαβούσης, ἔχθραν δὲ ἀεὶ πρὸς Ῥωμαίους ἐνδομυχοῦσι.

νέ. Διὰ ταῦτα καὶ αὐτὸς ὁ βασιλεὺς ἠδημόνει τοῖς πράγμασιν, εἰ οὕτω κατ' ἀρχὰς τῆς ἐξουσίας αὐτοῦ δυστυχῶς πράττει· συναθροίσας οὖν τοὺς ἐν τέλει, καὶ τοὺς εἰς στρατηγοὺς τεταγμένους σὺν οἷς καὶ οἱ πρὸς πάππου αὐτοῦ τοῦ βασιλέως Θεοδώρου ὑπῆρχον αὐτῷ θεῖοι, ὅ τε Μανουὴλ, καὶ ὁ Μιχαὴλ ἐβουλεύσατο, τί ἂν ἔχοι πρὸς τὰ γεγονημένα διαπράττεσθαι. Οἱ μὲν οὖν πλείους διαπεράσαι τὸν βασιλέα τὸν Ἑλλήσποντον, δεῖν ἔλεγον εἶναι, καὶ στῆσαι τὴν τῶν Βουλγάρων φοράν. Τοῦτο δὲ τοῖς τοῦ κρατοῦντος θείοις τοῖς προειρημένοις
C οὐκ ἤρεσκεν, οἷς καὶ προσεῖχε μᾶλλον ὁ βασιλεὺς, πολλῶν ἕνεκα. ἥ τε γὰρ γνησιότης τοῦ γένους ἠνάγκαζε, καὶ τὸ τῆς ἡλικίας γεραιὸν παρεβιάζετο, οὐχ ἧττον δὲ πρὸς τοῦτο καὶ τὸ πολλῶν πραγμάτων ἴδρις αὐτοὺς γίνεσθαι παρέπειθε. Φυγάδες γὰρ οὗτοι γεγονότες τῆς τοῦ βασιλέως Ἰωάννου ἐπικρατήσεως, πολλοῖς προσωμίλησαν δεσπόταις, καὶ εἰς διαφόρους περιεπλανήθησαν τόπους. κἀντεῦθεν κατὰ τὸν ποιητὴν, Εἶδον ἄστεα, καὶ νόον ἔγνωσαν. καὶ ἦσαν μὲν ὡς ἀληθῶς οὗτοι νοήμονες, οὐκ ὀρθὰ δὲ ἐφρόνουν τοῖς τῶν Ῥωμαίων πράγμασιν, αἰτίαν ἔχοντες τὸ παρευδοκιμηθῆναι τὰ πρῶτα παρὰ τοῦ ἀδελφοῦ καὶ βασιλέως, μηδενὸς αὐτῶν εἰς ἀξίαν ἀναγομένου, βασιλέως ἀδελ-
D φοῖς διαπρέπουσαν. εἶτα καὶ παρὰ τοῦ γαμβροῦ καὶ βασιλέως καὶ φυγαδείας τῆς Ῥωμαίων γεγονημένους πρὸς αὐτοὺς ἐδυσμέναινον. καὶ ταῦτα μὲν ἴσως ἐρεῖ τις αἴτια εἶναι, τὸ δὲ ἀληθὲς τὰ τῶν ἀνθρώπων ἤθη ἀβέβαια ὄντα καὶ ἄστατα, τοιούτους τυγχάνειν ἐποίει. Καὶ ταῦτα μὲν οὐ διελάνθανεν οὐδὲ τὸν βασιλέα Θεόδωρον. τέως οὖν ὡς οἰκείους τοῦ αἵματος, καὶ τὸ τιμᾶν αὐτοὺς διὰ παντὸς προελόμενος ἐχρᾶτο πρὸς συμβουλάς. Ὑπετίθεντο γοῦν οὗτοι, ὡς οὐ χρεὼν τὸν βασιλέα διαπεράσαι πρὸς τὴν δυσμήν. ὅτι τε κακῶς πράττει τὰ τοιαῦτα μέρη, καὶ ὡς νοσεῖ σχεδὸν ἀθεράπευτα, στράτευμά τε μὴ ἔχειν τὸν βασιλέα προσῆκον πράξει βασιλικῇ. ὁ γὰρ χειμὼν ἐκώλυε τὴν συνάθροισιν τῶν δυνάμεων, καὶ τὸ ἐπιδημῆσαι κατὰ χώραν τὸν βασιλέα, καὶ μὴ ἄξιον τοῦ ὀνόματος αὐτοῦ, καὶ τῆς φήμης ἐργάσασθαι, οὐ τῶν ἀφῃρημένων καὶ μόνον βεβαίωσιν ἐν τοῖς ἐχθροῖς ποιεῖται, ἀλλὰ καὶ τῶν περιλελειμμένων ἀφαίρεσιν, αὔξησιν τε τῆς ὑπεναντίας πολλῷ μείζονα, ὡς καὶ τῶν Ῥωμαϊκῶν πραγμάτων ἐλάττωσιν οὐ σμικράν. Ταῦτα μὲν οὗτοι. Ὁ δὲ τὰ πλεῖστα πεποθημένος αὐτῷ Μουζάλων Γεώργιος, τὴν τοῦ μεγάλου Δομεστίκου δύναμιν περιεζωσμένος, τὴν βασιλικὴν πορείαν συνεβούλευε, καὶ ταύτην κατέπειγε, μὴ

λάθη τὰ πάντα τῶν ἐν δυσμῇ, ἢ τὰ πλείω ταῖς τῶν ἐχθρῶν χερσὶν ἁλωθῆναι. Καὶ ἄλλοι δὲ τῶν ἐπιφανῶν οὐκ ὀλίγοι τῇ τοῦ μεγάλου Δομεστίκου συνῄνουν βουλῇ. ἡ τῶν πλειόνων γοῦν ἴσχυσε βουλή, μάλιστα δὲ τὸ τοῦ Βασιλέως τὸ πρόθυμον, καὶ ὁ τῆς καρδίας αὐτοῦ ζῆλος, ἱκανῶς γεγονὼς πρὸς τὴν κίνησιν. καὶ προσλαβόμενος τούς, ὅσοι συνηκολούθουν ἔτυχον εἰς μέτριον ἀριθμούμενοι στράτευμα, καὶ τοὺς καθ' ὁδὸν ξυντυγχάνοντας, καὶ τοὺς ἐγγύτερον τῆς φερούσης ὄντας, καὶ δυναμένους αὐτοῖς ὅπλοις καὶ ἵπποις ἐφέψεσθαι, διαπεραιοῦται τὸν Ἑλλήσποντον, καταλιπὼν εἰς τὴν ἕω τὸν μέγαν Δομέστικον.

νϛ'. Ἐντεῦθεν ὡς εἶχε τάχους, τὴν Ἀδριανούπολιν πέφθακε. μίαν δὲ καὶ μόνην ἡμέραν διακαρτερήσας ἐν ταύτῃ ἐξῆλθεν ἐς νέωτα. καί τις τῶν ἐκ Βουλγάρων κατοπτήρων τὸν Βασιλέα τεθεαμένος τῆς Ἀδριανοῦ ἐξερχόμενον δρομαῖος περὶ τὸν Βούλγαρον ἵκετο. περὶ τὸν Εὖρον καὶ γὰρ οὗτος ἐστρατοπεδεύετο, καὶ τὸ δρᾶμα διασαφεῖ, καὶ τὴν τοῦ Βασιλέως ἐξαγγέλλει κατ' αὐτοῦ ταχεῖαν ἔφοδον, καὶ ὅρκοις ἐβεβαιοῦτο, ἦ μὴν ὀφθαλμοῖς τεθεᾶσθαι τὸν Βασιλέα τὴν πρὸς τῇ πόλει τυγχάνουσαν τοῦ ποταμοῦ Εὔρου γέφυραν διαβαίνοντα. Τοῦτο συνέχει μὲν τοὺς περὶ τὸν Βούλγαρον, οὐ μὴν τοῦ τόπου, καθ' ὃν ἔλαχον στρατοπεδεύειν ἀπέστησαν. Ἀλλ' ἔμενον ἐκεῖσε μέχρις ἂν γνοῖεν τὰ τῆς φήμης ἀκριβέστερόν τε καὶ καθαρώτερον. Ἀλλ' οὐδὲ τὸν Βασιλέα ἡ τοῦ Βουλγάρου κατασκήνωσις λέληθεν, ἀλλ' ἐμεμαθήκει τὸν τόπον, ὅπου δὴ τὸ στρατόπεδον εἶχε. ταχύτερον γοῦν τὴν πορείαν ἐποιεῖτο, καὶ τῶν ἵππων τὰς κινήσεις ἐπέτεινε, καὶ ηὔχετο τῷ Βουλγαρικῷ ξυντυχεῖν στρατεύματι. Οὕτω γοῦν ἔχων ὁρμήματος ἔκ τινος συμβάματος ἐσφάλη τυχηρῶς τοῦ βουλεύματος. οἱ γὰρ προάγοντες τῶν Ῥωμαϊκῶν στρατευμάτων, τοῖς εἰς φυλακὴν προτεταγμένοις τοῦ Βουλγαρικοῦ στρατοπέδου συμπεπτώκασι, καὶ πολλοὺς μὲν ξίφους ἔργον πεποίηνται, ἄλλους δὲ ζωγρείας εἷλον, σὺν αὐτοῖς δὲ καὶ τὸν τὴν ἡγεμονίαν τῆς στρατείας ἔχοντα. οἱ δὲ ἕτεροι φυγῇ χρησάμενοι νυκτὸς βαθείας εἰς τὸ Βουλγαρικὸν ἀπέδρασαν στράτευμα, καὶ διηγοῦντο τὰ πάντα, καὶ τὸ πλησίον αὐτῶν ἤδη τυγχάνειν τὸν Βασιλέα διισχυρίζοντο. Ὡς ἔτυχε γοῦν ἕκαστος τῶν Βουλγάρων, καὶ αὐτὸς ὁ τούτων ἄρχων ἐπιβὰς τοῦ ἵππου, περὶ τὰ ἐνδότερα τῆς Βουλγαρικῆς ἐφέρετο χώρας. κατεδρύπτοντο δὲ τούτων τοῖς τῶν δένδρων κλάδοις τὰ πρόσωπα, συνηρεφέσι τούτοις ἐμπίπτοντα. Ὃ δὴ καὶ αὐτὸς ὁ Βούλγαρος πέπονθεν. ἔνιοι δὲ αὐτῶν καὶ γυμνοῖς ἐφεστρίδων εἰς τὴν ὀχείαν τοῖς ἵπποις ἐχρήσαντο. Οὕτω γοῦν διαδράντες τὴν Ῥωμαϊκὴν ἀπέφυγον σπάθην. Ἕωθεν δὲ τὸν τόπον φθάσας ὁ Βασιλεύς, καὶ ἔρημον στρατεύματος Βουλγαρικοῦ κατιδών, λελύπηται μέν, οὐκ εἶχε δὲ ὅτι καὶ δράσειε. Βουλὴν δὲ ποιησάμενος περὶ τὴν Βερόην χωρεῖ, κἀκεῖσε δὲ ἀφιγμένος αὐτοβοεὶ τὸ φρούριον εἷλεν. ἅπαν γὰρ τὸ τεῖχος αὐτοῦ κατηρείπωτο, καὶ διεξόδους εἶχε πολλὰς καταβεβλημένον καὶ τοῦτο παρὰ τῶν Βουλγάρων σὺν τοῖς λοιποῖς τῶν Ῥωμαϊκῶν ἄστεων, εἰ καὶ χάμαξι, καὶ τοῖς ἐξ ἁμαξῶν ξύλοις ἐδόκουν αὐτὸ κατοχυρώσασθαι οἱ οἰκήτορες. Τροφῶν γοῦν εὐμοίρησε τὰ στρατεύματα, αὐτοί τε καὶ οἱ τούτων ἵπποι. ἐπέπληστο γὰρ χορτασμάτων τὸ ἄστυ, καὶ τάχ' ἂν καὶ προσωτέρω ἂν ἐκεχωρήκει ὁ Βασιλεύς, καὶ περὶ τὸν Αἷμον αὐτόν, καὶ τὰ ἐν αὐτῷ τυγχάνοντα φρούρια τὴν ἔφοδον ἐπεποίητο, πτοῖαν γὰρ οὐ μικρὰν τοῖς Βουλγάροις ἐνέβαλεν, εἰ μὴ χειμὼν

major eorum pars in inimicorum potestatem venirent. Alii etiam non pauci viri celebres in magni Domestici sententiam iverant. Igitur prælatum est plurimorum consilium. Maxime vero Imperatoris ingens cupido, ac animi ardor, ad itionem impense exagitatus, obvios quosque, promptosque, pusillum sane exercitum, eosque, qui inter ambulandum occurrebant, alios etiam, qui a via non aberant, armis tamen, equisque ceteros consequi valentes collegit, quos secum portans Hellespontum trajicit, magno Domestico in Oriente relicto. *Edit. Paris. pag. 60.*

LVI. Hinc festinans Adrianopolim venit, ibique unico die commoratus, postero die egreditur. Interim ex Bulgarorum speculatoribus unus Imperatorem intuitus Adrianopoli exsilientem citato cursu ad Bulgarum fertur. Ille etenim circa Hebrum castra posuerat, & rem aperit, Imperatorisque in eum celerem irruptionem exponit, atque jurejurando confirmabat, semet oculis propriis Imperatorem pontem fluminis Hebri urbi proximum pertranseuntem conspexisse. Hoc quidem Bulgaros turbavit, non ita tamen, ut loco, in quo castra fixerant, se moverent, quem retinebant mordicus, quousque accuratius, pleniusque de his, quæ rumor attulerat, certiores fierent. Sed nec Imperatorem Bulgarorum tentoria fugiebant, cum locum, in quo exercitus erat, addidicisset. Igitur celerius iter ingredi, equorum gressus properos urgere, summisque votis exoptare Bulgaris copiis occurrere. Sic ergo irruente forte fortuna ab instituto abducitur. Qui enim Romanis copiis præibant, in Bulgarici exercitus custodes incidunt, quorum plerosque ense trucidant, alios vivos capiunt, inter eos, & cui summa belli credita fuerat, cæteri fuga sibi consulentes summa nocte in Bulgaricum exercitum revertuntur, nunciantque omnia, & jam imminere Imperatorem contendunt. Quare uti quisque Bulgarorum potuit, eorumque princeps in equum insiliens, in interiora Bulgariæ regionis loca sese recipere, & cum per loca arboribus frequentibus consita abigerentur, arborum ramis facies, quod & Bulgarus etiam passus est, dilacerari: nonnulli etiam ex ipsis sagis omissis, equis calcar addere, qui sic in fugam dati Romanorum ictus declinarunt. Mane cum locum occupasset Imperator, & militaribus copiis vacuum comperisset, indoluit sane, sed præstare aliquid haud potuit: tamen consilio inito Beroem proficiscitur, primoque appulsu oppidum cepit. Nam murus undique lacer corruerat, multisque patebat hiatibus; cum & hoc quoque cum reliquis Romanorum oppidis a Bulgaro solo æquatum fuisset, licet perticis, & lignis ex plaustris accolæ, illud muniisse viderentur. Cibis itaque, & equi, & milites cumulate abundarunt; oppidum etenim pabulorum omnium abundantia circumfluebat. Fortasse etiam Imperator ulterius processisset, & circa Hæmum, & in eo sita oppida incursionem fecisset, timorem enim, nec eum pusillum Bulgaris incusse- *pag. 61.*

rat, nisi tempestas asperrima ex improviso irrumpens, impetum, ardoremque restinxisset. Ingens etenim nix insula terræ faciem obtexit, & in aliena, ac hostili terra exercitus Romanos diutius immorari, non æqui consultores laudabant. Sex itaque dies ibi Imperator commoratus, cum nihil suppeteret agendum, omnia Beroes, viros, mulieres, infantes, pecudes, boves, & quidquid loco moveri poterat, depopulatus, Adrianopolim repetit.

LVII. Ibique recollecto non contemnendo exercitu, ad Achridæ oppida, quæ paulo ante Bulgari subegerant, si forte rursum ditioni Romanorum redderentur, transmittit. Duces Romani cum copiis adrecti tormentis, ac machinis facili negotio loca expugnant. Bulgari enim vel solo hostium conspectu, & bellicarum rerum conflictu, arcium custodia neglecta, fugam arripiunt. Quare parvo tempore potissima quæque eorum occupata sunt. Imperator etiam milite proprio coacto ad Rodopeja oppida gradum facit, cepitque machinis adsctis Peristitzam, postea Stenimachum, tandem Crytaimum, propugnacula omnia in faciem Rodopes montis sita, quæ retro posita custodiunt. Tzepænam quoque profectus est ipso vigore hyemis. Verum loci asperitas, ac temporis rigor, neque minimum in ea morari concessit. Sed ubi ver appetebat ad Strategopulum Alexium, & Constantinum Tornicem, cui magni Primicerii dignitatem Imperator Joannes crediderat, apud Serras existentes, & exercitu potentes, mandatorum libellum dedit, ut in unum universo milite collecto Tzepænam progrederentur. Quod & executi sunt; sed in eo conatu mali copiarum Ductores esse deprehenduntur; nam cum neque in hostiles copias incidissent, neque viros eos, cum quibus arma conferere debebant, tantum sonis, & strepitibus auditis, corneisque fragoribus haustis, turpiter sese conjecerunt in fugam, apparatu omni bellico, & ex equis plurimis Bulgarorum pastoribus, ac porcariis derelictis. Hac illi rationa fugitantes equis, armisque destituti, rursum Serras pervenere. Propterea Imperator ira, furoreque percitus imperavit eisdem, ut modo, quo recesserant conflictum eumdem, atque pugnam exciperent; at illi tanto conatui pares non erant.

Edit. Paris. pag. 62.

LVIII. Hæc cum ita evenissent, gravius quippiam suppervenit, quod ingentem adversus Romanos noxam minabatur. Nam Meleniciotici exercitus præfectus, cui Dragogæ nomen fuit, & natura quidem veluti Bulgarus Romanis insensus, & præter innatum odium propter Joannem Imperatorem magis; ac magis alienus; namque ingentia ab eo sperans, & quæ ab Imperatore Joanne acceperat, multa licet, atque magnifica haud tanti æstimans, palam defectionem meditatur. Et jam omnibus e Melenico militibus coactis, aliisque, nec non etiam ex circumjacentibus locis plurimis Melenici mœnia circumvenit, & obsidione cingit, & oppugnare totis viribus contendit. Arcis custodia demandata erat Nestongo Theodoro, & Angelo Joanni ad defendendum oppi-

A βαρύτατος ἄφνως ἐπισκήψασα ἐκώλυσεν αὐτὸν τῆς ὁρμῆς. Πολλὴ γὰρ χιὼν τῆς γῆς τὸ πρόσωπον ἐπηλύγασε, καὶ τὸ ἐπὶ ξένης καὶ πολεμίας τὰ Ῥωμαϊκὰ χρονίζειν στρατεύματα, οὐ καλὸν ἐδόκει τοῖς ξυμβουλεύουσιν. ἡμέρας οὖν ἓξ ἐκεῖσε διακαρτερήσας ὁ Βασιλεύς, ἐπεὶ οὐκ εἶχέ τι ἕτερον δρᾶσαι, λείαν τὰ Βερόης ἅπαντα ποιησάμενος, ἄνδρας, γυναῖκας, νήπια, πρόβατα, βόας, καὶ σύμπαν ἄλλο κινεῖσθαι δυνάμενον, εἰς τὴν Ἀδριανοῦ τὴν ὑποστροφὴν ἐποιήσατο.

νζ'. Ἐκεῖθεν οὖν ἐπιλεξάμενος ἀξιόλογον στράτευμα περὶ τὰ ἐν Ἀχρίδῳ φρούρια ἐπιπέμπει, τὰ πρὸ μικροῦ τοῖς Βουλγάροις κεχειρωμένα, ὅπως καὶ αὖθις τῇ τῶν Ῥωμαίων ὑπαχθείη ἀρχῇ. ἐν αὐτοῖς οὖν ἀφι- B γμένοι σὺν τοῖς στρατεύμασιν, οἱ τῶν Ῥωμαίων ἡγεμόνες, μηχανήμασί τε καὶ ἑλεπόλεσι ῥᾷον τῶν φρουρίων περιεγένοντο. οἱ Βούλγαροι καὶ γὰρ θᾶττον τῶν ἐν ἄστεσι φυλακῶν ἀπαλλάττονται, εἰ πολεμίους ἑωρῶεν, καὶ μαχιμωτέροις συμπλακεῖεν τοῖς πράγμασιν. ἐν οὐ πολλῷ γοῦν τὰ πλείω αὐτῶν ἐχειρώσαντο. Ἀλλὰ καὶ ὁ Βασιλεὺς τὸν περὶ αὐτὸν συναθροίσας λαόν, περὶ τὰ ἐν Ῥοδόπῃ ἄστη κεχώρηκε. καὶ εἷλε μὲν Περιστίτζαν τοῖς μηχανήμασι, καὶ μετ' αὐτὴν τὸν Στενίμαχον, καὶ ἐπὶ τούτοις τὸν Κρυτζιμόν, ὀχυρώματα ταῦτα πάντα, καὶ εἰς πρόσωπον κείμενα τοῦ τῆς Ῥοδόπης ὄρους, καὶ τὰ ὀπίσω πάντα φυλάττοντα. ἀφίκετο δὲ καὶ εἰς Τζέπαιναν ἐν ἀκμῇ χειμῶνος. Ἡ δὲ τοῦ τόπου δυσχωρία, καὶ C τὸ ψυχρὸν τοῦ καιροῦ, οὐδὲ μικρόν τι εἴασεν ἐν ταύτῃ προσκαρτερῆσαι. ἐπεὶ δὲ τὸ ἔαρ ἐπέλαμψε, προστάγματα πρὸς τὸν Στρατηγόπουλον Ἀλέξιον, καὶ Τορνίκην Κωνσταντῖνον, ὃν μέγαν Πριμμικήριον ὁ Βασιλεὺς τετίμηκεν Ἰωάννης, ἐξέπεμψεν ἐν ταῖς Σέρραις ὄντας, καὶ τὸ στρατόπεδον ἔχοντας, ἵνα τὴν στρατιὰν πᾶσαν συναγαγόντες κατὰ τῆς Τζεπαίνης ἀφίκοιντο. Τοῦτο δὴ καὶ ἐπεποίησαν· κακοὶ δὲ ἐφάνησαν ἐν τούτῳ τῷ ἐπιχειρήματι στρατηγοί. μήτε γὰρ πολεμίων ἐγκυρήσαντες στρατιαῖς, μήτε ἀνδράσιν ἀξίοις τούτοις μαχέσασθαι, κτύπων δὲ καὶ μόνων, καὶ ψόφων ἀκηκοότες, καὶ ἤχων κερατίνων ἀκροασάμενοι, ἀκόσμως ἐχρήσαντο τῇ φυγῇ πᾶσαν ἀποσκευὴν καὶ D τοὺς πλείους τῶν ἵππων τοῖς ποιμέσι, καὶ συβώταις τῶν Βουλγάρων καταλιπόντες. Οὕτω μὲν οὖν ἐκεῖνοι φυγάδες γεγονότες τὰς Σέρρας καὶ αὖθις κατέλαβον, ἵππων, καὶ ὅπλων γυμνοὶ τυγχάνοντες. Ὁ μὲν οὖν Βασιλεὺς διὰ ταῦτα, θυμοῦ μὲν ἐπέπληστο, καὶ προσέταττεν ἐξ ὀργῆς αὐτοὺς ἐκείνους, ὅπως ἂν ἔχοιεν, περὶ τὴν αὐτὴν καὶ αὖθις μάχην χωρῆσαι. οἱ δὲ ἀδυνάτως εἶχον τῆς πράξεως.

νη'. Ἐπεὶ δὲ ταῦτα ὑπὸ ξυνήθει συμπεπτώκασι καί τι τῶν βαρυτέρων, καὶ πολλὴν τὴν κατὰ τῶν Ῥωμαίων βλάβην ἐπαπειλοῦν. ὁ γὰρ τοῦ Μελενικιωτικοῦ προεξάρχων στρατεύματος, Δραγωγᾶς τοὔνομα, καὶ φύσει μὲν ὡς Βούλγαρος δύσνοιαν τρέφων κατὰ Ῥωμαίων, ἔτι δὲ καὶ πλείω φέρων τοῦ φυσικοῦ διὰ τὴν πρὸς τὸν Βασιλέα ἀπέχθειαν, ἤλπιζε γὰρ ἐξ αὐτοῦ μεγάλων τυχεῖν, οὐδὲ γὰρ ἐκεῖνον ἄξια τὰ παρὰ τοῦ Βασιλέως Ἰωάννου ἐκείνῳ κεχορηγημένα, καὶ ταῦτα πολλὰ γεγενημένα, ἀποστασίαν φανερὰν μεμελέτηκε. Καὶ δὴ πάντας τοὺς ἐν Μελενίκῳ συναγαγὼν στρατιώτας τε, καὶ λοιπούς, ἔτι δὲ καὶ ἄλλους παμπόλλους ἐκ τῶν πέριξ χωρῶν, περικάθηται τοῦ Μελενίκου τὸ ἄστυ, καὶ ἐπολιόρκει τοῦτο, καὶ ἐφιλονείκει πορθεῖν. Ἦσαν δὲ ἐν τούτῳ τῷ ἄστει προτεταγμένοι τῶν φυλασσόντων, ὅ τε Νεστόγγος Θεόδωρος, καὶ ὁ

Ἀγγε-

A Ἄγγελος Ἰωάννης, καὶ ἀμφότεροι δεξιοὶ ἄστυ φυλάξαι, καὶ πολεμίους ἐκτρίψασθαι. ἐστενοχώρει δὲ τοὺς ἔνδον τοῦ ἄστεος οὐδὲν ἄλλο, καὶ γὰρ εὐμοίρουν τῶν χρειωδῶν, ἀλλ' ἡ κατὰ τοῦ ὕδατος ἔνδεια ἐν ὥρᾳ θέρους, τὸ ἀναγκαιότατον τῶν ἄλλων, ἀφ' ἧν τῇ σπάνει βαρύτατον. οἱ δὲ, καὶ γὰρ οὐ πάντη τούτους τὸ ὕδωρ ἐξέλιπε, καρτερῶς τοῖς ἐναντίοις ἀνθίσταντο, καὶ οἰστοῖς ἔβαλλον, καὶ λίθοις ἐτίτρωσκον, καὶ πᾶσιν ἄλλοις ὅπλοις ἐμάχοντο. Τούτων ἐν ἀκροάσει γεγενημένος ὁ Βασιλεὺς δυσφόρως τὴν ἀκοὴν ἤνεγκε, βουλὴν δὲ βουλευσάμενος τὴν ἀρίστην, ὡς εἶχε τάχους, ἅπαν ξυναγηοχὼς τὸ στρατόπεδον, δωδεκαταῖος τὰς Σέῤῥας πέφθακεν, ἐν ὀλίγῳ χρόνῳ τοσαύτην διανύσας ὁδὸν, καὶ τοσοῦτον ἐπαγόμενος στράτευμα, ταῖς κατὰ σταδίην εἰθισ- B μένον μάχαις, ὅπλοις κατάφρακτον, καὶ ἵπποις φορταγωγοῖς διωκημένον, καὶ πάσαις ἄλλαις ἀποσκευαῖς συγκροτούμενον, καὶ πεφραγμένον. ἐπεὶ δὲ μέχρι Σεῤῥῶν κατειλήφει αὐτόθι διανυκτερεύσας, ἅμα πρωῒ τὰ στρατεύματα συνταξάμενος, καὶ τοὺς πεζαιτέρους, καὶ τοξοφόρους ἔμπροσθεν βαίνειν ἐγκελευσάμενος, ἐπείπερ ἐπέπυστο, τὴν τοῦ Ῥουπελίου δυσχωρίαν, καθ' ἣν ὁ ποταμὸς Στρύμων ῥεῖ δυσὶ συγκλειόμενος ὄρεσιν, ὡς μόγις ἁμάξαις διὰ ταύτης ἔρχεσθαι, τοῦ ποταμοῦ στενοτάτην ἀπεργαζομένου τὴν δίοδον, Κλεισούρας τοὺς τοιούτους τόπους ὁ πολὺς κατονομάζει λαὸς, Βουλγαρικῇ φυλάττεσθαι στρατιᾷ, ἱππέων μὲν ὀλίγων, πεζῶν δὲ πολλῶν· οἱ γὰρ Βούλγαροι καὶ πύλας C ἐν αὐταῖς κατεσκεύασαν μοχλοῖς καὶ κλείθροις ἠσφαλισμένας, ὡς ἄμαχα τούτοις ἐξ ἀμφοτέρων τυγχάνειν τῆς τε δυσκολίας τοῦ τόπου, καὶ τῆς γεγενημένης παρ' αὐτῶν προμηθείας τῆς λοιπῆς ὀχυρώσεως. Ἐπεὶ ταῦτα οὕτως ἔχειν ἐμεμαθήκει ὁ Βασιλεὺς, σπουδῇ περὶ τὸν ἐκεῖσε τόπον ἀφῖκτο. εὗρε δὲ τὰ ἐν αὐτῷ καθάπερ ἐπέπυστο. ἀποκόψας οὖν τῆς τῶν πεζαιτέρων στρατιᾶς, ὅσον ἦν εἰκὸς σύνταγμα, ὑπὲρ κεφαλῆς τῶν Βουλγάρων βαδίζειν εἰς τὸ ὄρος προστέταχεν, ὡς ἂν ἐξ ὑπερδεξίων τοὺς Βουλγάρους βάλλωσιν ἐξ ὑψηλοτέρων τῶν τόπων ἐν τοῖς χθαμαλοῖς ἐκείνους τυγχάνοντας· οἱ δὲ θᾶττον ἐποίουν τὰ προσταττόμενα. ἦν γὰρ τὸ ὄρος δένδροις μὲν συ- D νηρεφὲς, βάσιμον δὲ ποσὶ πεζαιτέρων. ἱππεῦσι δὲ κατευθὺ τῶν πυλῶν τὴν μάχην ποιεῖν ἐκέλευσεν. Ἐπεὶ γοῦν κατεῖδον οἱ Βούλγαροι ἄνωθεν μὲν ἐκ τῶν βουνῶν οἰστοῖς ἑαυτοὺς βαλλομένους, σταδιαίαν τὴν μάχην κεκτημένους κατεναντίον, καὶ ἐν στενῷ κομιδῇ τὰ καθ' αὐτοὺς καθορῶντες εἰς φυγὴν ἐξετράποντο, καὶ τὸ βασιλικὸν αὐτοῖς ἐφείπετο στράτευμα· πολλοὺς οὖν ἐκεῖθεν σπάθης ἔργον πεποίηνται. οἱ δ' ἄλλοι μέχρι καὶ τῶν Βουλγαρικῶν στρατευμάτων διασωθέντες ἀπέδρασαν, καὶ τὰ περὶ τοῦ Βασιλέως τούτοις ἀπήγγειλαν, καὶ ὅσα δὴ ἐπεπόνθεισαν. οἱ δὲ τῇ ἀθρόᾳ διαταραχθέντες τῆς ἀκοῆς, καὶ ὡς αἴφνης αὐτοῖς ἐπιπεπτώκει τὰ δεινὰ, ἕκαστος, ὡς εἶχεν ἵππου τοῦ ἐφευρεθέντος αὐτῷ σχεδὸν ἐπιβὰς, φεύγειν ὥρμησαν. ἐπεὶ δὲ καὶ νὺξ ὑπῆρχεν ἀσέληνος καθ' ἣν ἡ φυγὴ, καὶ δυσχερὴς ὁ τόπος, καὶ τὰ τῶν ὁδῶν δυσδιάγνωστα· ἔπιπτον μὲν ἐξ ἵππων ἔνιοι, ἕτεροι δ' αὐτοὺς κατεπάτουν καὶ ἔφθειραν, καὶ ἄλλοι μὲν τῶν ἐφεστρίδων ἀπεσφενδονοῦντο κατὰ κρημνῶν, ἄλλοι δὲ ἄλλως τέλος δύστηνον ἀπελάμβανον, ὡς ὀλίγους ἐξ αὐτῶν διασωθέντας εἰς τὴν Βουλγάρων χωρῆσαι. τότε δὴ καὶ ὁ προϊστάμενος αὐτῶν Δραγωτᾶς, ὁ καὶ προεξάρχων τῆς ἀπιστίας ἵππων ποσὶν ἅπαν τὸ σῶμα συντέθλασται, καὶ τριταῖος τὴν αὐτοῦ ψυχὴν ἐξεφύσησεν. Ὁ μὲν οὖν Βασιλεὺς τῆς νυκτὸς ἐκείνης τὸ ἄστυ καταλαβὼν, τοῖς ἐκεῖσε φυλάττουσι ξυνωμίλησε, κἀκεῖνοι ἀσπασίως

A da, hostesque debellandos aptissimis. Oppidani licet necessariis rebus abundarent, aquæ tamen inopia laborabant, æstivo tempore præ cæteris ad tolerandum maxime arduum, ac difficillimum. Illi, neque enim prorsus aqua defecerat, fortiter adversariis resistere, sagittis ferire, lapidum jactu incessere, & omnium armorum genere impetum sustinere. Horum certior factus Imperator ægre animo angi, & cogitatione optima usus, celeritate, qua potuit militiis in unum coactis, die duodecimo, tam brevi temporis spatio tantum iter emensus, tantoque exercitu stataria sueto pugna, armis circumquaque munito, equis onerariis proviso, omni alio apparatu, atque ornatu visendo firmato obvallatoque instructus, Ser- B raa advenit: atque ibi cum pernoctasset, postero die summo mane recensitis copiis, pedites ac sagittarios præire jussit, cum accepisset difficilem Ropelii transitum, per quem flumen Strymo duobus occlusus montibus præterfluit, adeo ut vix per viam currus præteriret, flumine transitum quam angustissimum efficiente, ideoque locum Clisuras vulgus appellavit, a Bulgaro milite, equitibus quidem haud multis, peditibus plurimis custodiri. Bulgari enim palis, lorisque præmunitas fores in illis aperuerant, ut expugnari quidem, & difficultate loci, & per ipsos ex arte reliqua munitione absoluta, minime posset. Hoc ita se habere, ubi rescivit Imperator iter ad locum C accelerávit, & rem veram esse, quam audiverat, comperit. Expeditam itaque exercitu, quæ sufficere videbatur, cohortem separatam supra Bulgarorum capita montem ascendere præcepit ut a superioribus, ac opportunioribus locis, Bulgaros in humilioribus repentes ferirent. Dicto citius audiunt. Namque mons ille frequentibus arboribus consitus, viam peditibus sternebat. Equitibus adversum portas pugnam conserere mandat. Verum ubi Bulgari ex collium eminentiori facie spicula mitti, atque statariæ pugnæ ex adverso urgeri sese deprehendunt, resque suas in extrema fortuna collocatas conspiciunt, in fugam se dedunt. Imperatoriæ cohortes insecutæ, quam- D plurimos contrucidarunt, reliqui cursu in tentoriis Bulgaricis saluti consuluere, Imperatoris res gestas, & quæ ipsi passi fuissent enunciare, qui improviso nuncio, & repentinis calamitatibus conturbati, uti poterat quilibet in oblatum sibi equum conscendens fugit; & cum fugæ tempore luna sileret, locus difficilis, nec viæ essent in promptu, alii equis decidere, alii eos pedibus conculcatos interimere, alii e sagis per præcipitia ejaculari, alii alio malo vitam misere amittere, adeo ut ex illis pauci incolumes ad Bulgaros regressi fuerint. Per id etiam tempus Dragotas Bulgarorum ductor, defectionis auctor equorum pedibus corpus totum dilaceratus, tertio die lertho malo emoritur. Imperator ea nocte in oppidum appellens, custodes alloquitur, qui cum libentissime excipere, dein palusu& ac-

Edit. Paris. pag. 63.

clamationibus, ingentique præconio consalutare, & celerem aquilam compellare.

LIX. Rebus itaque, uti par erat, dispositis Imperator, nec non eorum, qui defecerant, uxoribus, ac filiis oppido in exilium missis, & universa eorum supellectile fisco sublatis, Melenico discedens Thessalonicam advehitur, inde Bardarium transiens parumque Bodena trajiciens castra collocat: quando & morbo hedrico laboravit. Morbus hic per milites etiam divagatus est. Ibi itaque tantum, ut malo mederetur cunctatus Prilapum petiit, ubi decenter rebus constructis, machinis comparatis, tormentisque, quas Helepoles vocant, cum vehiculis circumlatis Belesum adproperat, ac oppidum obsidione, ex hostium manibus ereptum sibi viodicaret; illi vel sola Imperatoris irruptione attoniti, cum neque tormentorum applicationem sustinuissent, de pace pactiones faciunt, ut scilicet nulla eis inferretur noxa, sed cum armis, & supellectile ipsis exitus pateret liber civitatis: pactis sacramento ab Imperatore confirmatis Beleso egrediuntur, quos ubi conspexit plures numero, qui quingenti numerarentur, ingenti corpore conspicuos, formaque egregios, facti cum cœperat pœnitere, quando tot, ac tales in inimicorum se protruderent loca, Romanis hostes futuri. Sed jurejurando obstrictus, libertatem, quam promiserat, concessit. Inde cum toto exercitu exiens per Neustapolim iter arripit, loca arida, & habitationum vacua, & multitudini copiarum impervia. Exercitus itaque panis inopia per plures laboravit, & major equorum pars per duos dies aquam non degustaverat. Nos Strumitzæ oppidum prætergressi, & per Melenici loca gradientes, rursus Serras devenimus, ubi litteris ex Oriente acceptis ab amico magno Domestico Muzalone datis, quibus certior Imperator redditur a Tachariis Musulmanos perturbari, omni festinatione properans diurna itinera longiora habere: ast ubi ad Hebrum, quem plebejus sermo Maritzam nuncupat, ventum est, res in Oriente non ita geri percipiens celeritate itineris moratus, tardius, ac per otium intendere, & Imperatoribus solitas mansiones conficere; recta vero e via ad Orientem deflectens, Didymotechum, indeque Adrianopolim transfertur. Verum castella, & oppida ab hostibus occupata, duobus exceptis, omnia Imperator recuperarat, quorum alterum valde exiguum in collibus Achridæ situm, Patmon nomine, nullo deinceps negotio a Philantropeno Alexio Duca in custodiam Achridanæ regionis ab Imperatore relicto, expugnatum est; alterum Tzepæna firmissime septum, munitumque in ipso maximorum montium Hæmi, Rodopesque, inter quos Hebrus fluvius præterfluit, concursu. Imperator, quod non horum, sicuti cæterorum potitus fuisset, quæ, ubi potiora subdi nequiverant ægre angi, sed Tzepæna potissimum exagitari, atque animo discruciari. Quare in eam expeditionem maturavit, viresque voluit experiri suas, siquid pemroficerent:

Edit. Paris. pag. 64.

pag. 65.

τὸν Αὐτοκράτορα ὑπεδέξαντο, καὶ κρότοις ἐτίμουν, καὶ εὐφήμοις λόγοις ἐκύδαινον, καὶ αὐτὸν ταχὺν κατωνόμαζον.

νθ'. Τὰ ἐκεῖσε οὖν, ὡς ἦν εἰκὸς, οἰκονομήσας ὁ Βασιλεὺς, καὶ τὰς γυναῖκας, καὶ τοὺς παῖδας τῶν ἀποστατησάντων ἐξορίσας τοῦ ἄστεος, πάντα δὲ τὰ αὐτῶν χρήματα δημοσιευθῆναι κελεύσας, ἀπάρας τοῦ Μελενίκου ἐς τὴν Θεσσαλονίκην ἀφίκετο, κἀκεῖθεν τὸ Βαρδάριον διαπεράσας, καὶ τὰ Βοδηνὰ παραμείψας ὀλίγον, ἐκεῖσε τὰς σκηνὰς ἔπηξεν. Ἐνόσησε δὲ νόσημα ἑδρικὸν, τοῦτο δὲ καὶ ἐπιδήμιον τοῖς ἐκεῖσε στρατεύμασιν ἐγεγόνει. Διακαρτερήσας οὖν ἐκεῖσε μικρὸν ὅσον ῥαΐσαι τὴν νόσον, περὶ τὸν Πρίλαπον ὥρμησεν. ἐκεῖσε οὖν προσηκόντως συσκευασάμενος, καὶ μηχανήματα προσλαβόμενος, καὶ ἁμάξας τὰς ἑλεπόλεις συγκομισάμενος, ἐς τὸν Βελεσὸν ἐχώρει πολιορκῆσαι, καὶ τῆς τῶν ἐχθρῶν χειρὸς ἐξελεῖν. οἱ δὲ καὶ μόνον τῇ τοῦ βασιλέως ἐφόδῳ καταβροντηθέντες, καὶ μηδὲ ἀναμείναντες ἀναστῆναι μαγγάνευμα, εἰς συνθήκας ἐλθόντες, ἐφ' ᾧ μηδέν τι παθεῖν δεινὸν, αὐτοῖς δὲ ὅπλοις καὶ πράγμασι τοῦ ἄστεος ἐξελθεῖν, τοὺς ὅρκους πρὸς τοῦ Βασιλέως λαβόντες, ἐξέστησαν τοῦ φρουρίου. ὁ δὲ Βασιλεὺς ἐπείπερ αὐτοὺς ἐθεάσατο, παμπόλλους μὲν τὸν ἀριθμὸν, εἰς γὰρ πεντακοσίους ἠριθμοῦντο, εὐμεγέθεις δὲ κεκτημένους τὰ σώματα, καὶ ἀγαθοὺς τὰς μορφὰς ἐπὶ τῇ πράξει μεταμεμέληται, εἰ τοσοῦτοι καὶ τοιοῦτοι ἐάσει πρὸς τὴν τῶν ἐχθρῶν ἀφεῖσθαι, καὶ ἐναντίους γενέσθαι Ῥωμαίοις. ὑπὸ δὲ τῶν ὅρκων ἀναγκασθεὶς ἀπέλυσε σφᾶς αὐτοὺς τὴν ἐλευθερίαν. Ἐκεῖθεν οὖν μετὰ πάσης τῆς στρατιᾶς ὁρμήσας διὰ τῆς Νεαπόλεως τὴν πορείαν ἐποιεῖτο, ἄνυδρος δὲ ἐστιν ὁ τόπος καὶ ἄοικος, καὶ πλήθει στρατευμάτων δυσβάδιστος. ἄρτων γοῦν ἐν ἐνδείᾳ ἐν ἡμετέραις ἡμέραις διῆγον ἡ στρατιὰ, καὶ δυσὶν ἡμέραις οἱ πλείους τῶν ἵππων ὑπῆρξαν ἄγευστοι ὕδατος. τὸ γοῦν τῆς Στρουμμίτζης παραμείψαντες ἄστυ, καὶ διὰ τῶν τοῦ Μελενίκου χώρων βαδίσαντες, ἐς τὰς Σέῤῥας καὶ αὖθις ἀπῄειμεν. ἔνθα καὶ γραφὰς ὁ Αὐτοκράτωρ δεξάμενος ἐκ τῶν τῆς ἀνατολῆς μερῶν πρὸς τοῦ προσφιλοῦς αὐτοῦ πεμφθείσας μεγάλου Δομεστίκου τοῦ Μουζάλωνος, ὡς τὰ τῶν Μουσουλμάνων πρὸς τῶν Ταχαρίων κυμαίνεται, ἐπέτεινε τὴν ὁδὸν, καὶ μακροτέρας τὰς ἡμερησίους ἐποιεῖτο πορείας. Ἐπεὶ δὲ τὸν Εὖρον ἐπεφθάκει, ὃν καὶ Μαρίτζαν ὁ χυδαῖος κατονομάζει λαὸς, καὶ μὴ οὕτως ἔχειν τὰ ἐν τῇ ἕῳ μεμαθηκὼς πράγματα, τῆς ταχυτῆτος ἀνίεις, σχολαιότερον ἐπορεύετο, καὶ τοὺς συνήθεις βασιλικοὺς ἐποιεῖτο σταθμούς. παρακλίνας δὲ τῆς πρὸς ἕω κατ' εὐθεῖαν ἐς τὸ Διδυμότειχον ἀφίκετο, κἀκεῖθεν ἐς τὴν Ἀδριανοῦ. Καὶ ἐπεὶ μηδὲν ἐναπολέλειπτο τῶν παρὰ τῶν Βουλγάρων κατασχεθέντων φρουρίων, καὶ ἄστεων πάντα ὁ Βασιλεὺς ἐχειρώσατο, πλὴν δυοῖν, ἑνὸς μὲν φρουρίου πάνυ σμικροτάτου ἐν τοῖς βουνοῖς κειμένου τῆς Ἀχρίδου, καὶ καλουμένου Πάτμου, ὃ καὶ εὐχερῶς πάνυ ὁ Φιλανθρωπηνὸς Ἀλέξιος εἷλεν ὁ Δούκας, καταλειφθεὶς πρὸς τοῦ Βασιλέως εἰς φυλακὴν τοῖν ἐν Ἀχρίδῳ, καὶ ἄστεος ἄλλου Τζεπαίνης ὀνομαζομένου λίαν τυγχάνοντος ἐχυροῦ, καὶ περὶ τὴν ξυμβολὴν τελοῦντος τῶν δύο μεγίστων ὀρῶν. τοῦ τε Αἵμου καὶ τῆς Ῥοδόπης, καθ' ὧν μέσον, ὁ Εὖρος ῥεῖ ποταμὸς, καὶ ἐν δεινῷ μὲν ἐποιεῖτο ὁ Αὐτοκράτωρ, ὅτι μὴ καὶ αὐτῶν ὡς τῶν ἑτέρων, ἀλλ' ἔτι τῆς χειρὸς αὐτοῦ κρείττω φανέντα ἔξω τυγχάνουσιν. μάλιστα δὲ ὑπὲρ τῆς Τζεπαίνης ἐδυσφόρει τὰ μέγιστα. ἔσπευσε μὲν οὖν καὶ κατὰ ταύτης στρατεῦσαι, καὶ ὡς εἶχεν ἰσχύος ἀποπειρᾶσθαι.

ἡ μὲν οὖν ὥρα τοῦ θέρους ἤδη παρήει, καὶ τὸ μετόπωρον ἐγγὺς ἦν καὶ τοῦτο παραδραμεῖν. Ὁ δὲ μηδέν τι τοῦ καιροῦ φροντίσας, μηδὲ τὸ τοῦ χειμῶνος προσαπάσας δριμὺ, ἑνὸς γὰρ καὶ μόνου τοῦ τὸ οἰκεῖον ἀποπλῆσαι βούλημα ἐστοχάζετο, τὴν στρατιὰν πᾶσαν ἐκ τῆς Ἀδριανοῦ κινήσας, ἁμάξας τε παμπόλλας συλλεγῆναι προστάξας ἀπὸ πανταχόθεν τῆς τῶν Μακεδόνων χώρας, τὰς μὲν ἐπὶ τῷ τὰ μηχανήματα, καὶ τὰς ἑλεπόλεις φέρειν, τὰς δὲ ἐπὶ τῷ διακομίζειν τὰ ζωαρκῆ τοῦ στρατεύματος, καὶ συναθροισθῆναι κελεύσας πληθὺν πεζῶν ἀνδρῶν, τοξοτῶν, καὶ κορυνοφόρων οὐκ εὐαρίθμητον. Ἐπεὶ πάντα καλῶς αὐτῷ, καὶ ὡς ἔδοξε κατηρτίσατο, τῆς Ἀδριανοῦ ἀπάρας κατὰ τῆς Τζεπαίνης ἐχώρει. τέτταρας δὲ σταθμοὺς παραμείψας ὁ στρατὸς, καὶ κατὰ τὸν τόπον, ὃν Μακρολιβάδα κατονομάζουσιν ἐτύμως πρὸς τὸ σχῆμα τὴν κλῆσιν οἱ πρώτως ἰδόντες θέμενοι, δεινὸς συμπίπτει αἴφνης χειμών. ἐξ ἑσπέρας οὖν ἀρξάμενος δι' ὅλης τῆς νυκτὸς τὴν σφοδρότητα τοῦ ψύχους, καὶ τοῦ ἀνέμου προσεπιτείνας τὸ βίαιον, πολλῇ τε χιόνι τῆς γῆς ἐπιλυγάσας τὴν ἐπιφάνειαν ἕωθεν τῷ βασιλεῖ πολλὴν προυξένησε τὴν δυσχέρειαν. ὅ τε γὰρ τόπος ἄοικος ἦν, καὶ ἐγγύτερον ἐτύγχανον οἱ πολέμιοι, καὶ ἡ προσδοκωμένη σπάνις τῶν ἀναγκαίων, οὐχ ἧττον τὴν ψυχὴν ἐπίεζε. Τοῦτο γὰρ καὶ μᾶλλον δεινότερον καθέστηκεν ἐν στρατεύμασιν. ἐς τοσαύτην γοῦν τὴν δυσχέρειαν συνελαθεὶς, τοὺς ἡγεμόνας συνηθροίκει τῶν στρατευμάτων, οὐ τῶν Ῥωμαϊκῶν μόνον, ἀλλ' ἤδη καὶ τῶν ἐξ ἔθνους Λατίνων τε καὶ Σκυθῶν, καὶ τούτους, τί δεῖ ποιεῖν, ἠρωτήκει. πάντες γοῦν σχεδὸν ἐβουλεύσαντο ἐς τὴν Ἀδριανοῦ τὴν ὑποστροφὴν ποιήσασθαι. Ὁ δὲ τὴν μὲν βουλὴν αὐτῶν οὐκ ἀπέπεμψεν, ἀλλὰ πρὸς αὐτοὺς εἰρήκει. Ὡς ὑμεῖς μὲν ὅπερ κρεῖττον, καὶ συμφέρον ἔδοξε, καλῶς ἐβουλεύσασθε. εἰ δὲ καὶ αὐτὸς ἕτερόν τι σὺν Θεῷ νοήσαιμι, οὐκ ἂν δέξησθε τοῦτο, ὡς ἀπὸ Δεσπότου συνετῶς εἰρημένον, καὶ ὑμῶν, ὡς δέον, προνοουμένου; ξυνεφώνησαν ἅπαντες. Ὥσπερ ἂν τῷ σῷ δόξειε κράτει στερκτὸν αὐτὸ καὶ ἀσπαστὸν λογισαίμεθα. τούτους μὲν οὖν πάντας ἀπέλυσεν ὁ Βασιλεὺς, εἰς τὰς σφετέρας ἀπιέναι σκηνάς. ἐφ' ᾧ καὶ τροφῇ διὰ τὸν χειμῶνα χρήσασθαι, αὐτὸς δὲ εἰς τὸν αὐτοῦ κοιτῶνα εἰσιὼν μετὰ τῶν περὶ αὐτὸν ἐβουλεύετο, τί μᾶλλον χρὴ ποιεῖν; τινὲς μὲν τὴν ἔξωθεν βουλευσαμένων βουλὴν εἰς ἔργον ἐβούλοντο θεῖναι. Ἕτεροι δὲ οἷς καὶ τὸ κρεῖττον διανοηθῆναι τῷ Βασιλεῖ διαφέρεται, τοὐναντίον εἰρήκασιν. ἔφησαν καὶ γὰρ ὅση μὲν ἡμῖν ὁδὸς ἐστὶν ὄπισθεν εἰς τὴν Ἀδριανοῦ, τοσαύτη καὶ ἔμπροσθεν εἰς τὸ τοῦ Στενιμάχου ἄστυ καθέστηκε. καὶ ὥσπερ ἐκεῖ τῶν χρειωδῶν εὐμοιρῆσαι ἔχομεν, οὕτω δὴ καὶ εἰς τὸν Στενίμαχον. οὕτω πράξαντες οὐ δόξομεν τοῖς πολεμίοις, οὔτε δειλίᾳ τῇ πρὸς αὐτοὺς, οὔτε καὶ τῇ τοῦ χειμῶνος δυσχερείᾳ τὴν ὑποστροφὴν ποιήσασθαι. ἀρεστὸν γοῦν ἔδοξε τῷ Βασιλεῖ. καὶ ἐπεὶ τῆς δριμύτητος καὶ ὁ χειμὼν ἔληγε, καὶ ἡ τῆς χιόνος ἔστη φορὰ, τῇ ἐπιούσῃ τὸ ἀνακλητικὸν ἠχῆσαι προσέταξεν. Ἐκεῖθεν οὖν τὰς συντάξεις τοῦ στρατεύματος λαβὼν, ἄπεισιν εἰς τὸν Στενίμαχον. κἀντεῦθεν οὖν τὸ σύμπαν ἐπισιτίσασθαι κελεύσας στράτευμα, κατευθὺ τῆς Τζεπαίνης ἐχώρει. καταλαμβάνει γοῦν ἐς πόλιν ἐπικεκλημένην Βατκούνιον, ἱκανὰς ἡμέρας μεγίστῳ ἐξαρκέσαι δυναμένην εἰς ζωαρκείας στρατιᾷ. Ἐκεῖθεν οὖν ἀποστέλλει τὸν θεῖον αὐτοῦ τὸν Λάσκαριν Μανουὴλ, μοναχὸν ὄντα καὶ Μάξιμον ὀνομαζόμενον, καὶ τὸν τοῦ Ἀλλαγίου αὐτοῦ ἄρχοντα τὸν Μαργαρίτην Κωνσταντῖνον κατοπτεῦσαι τὸν τόπον, καὶ εἰ εὐχερεστέρα ἡ πρὸς αὐτὸν πορεία σχοίη τὸ στράτευμα. οἱ

A elapsa jam æstate, extremi sub casum autumni, neque tempestatis, neque hyberni temporis asperitate deterritus, id enim sibi tantum rem suo modo, & more facere proposuerat, motis Adrianopoli cohortibus universis, vehicula pleraque ex Macedonum regione, hæc ad machinas, & arietes transportandos, illa ad militiæ idonea, victuique necessaria devehenda, undique cogi jubet, dein peditum, sagittariorum, clavigerorum innumera multitudine conducta, cum opportunissime parata esse omnia æstimasset, Adrianopoli discedens Tzepænam ferebatur: mansiones quatuor miles emensus in locum, cui ex forma ab hominibus, qui primum conspexerant, apposite nomen Macrolibada inditum fuit, advehitur: ibi fœda tempestas cælo dejecta,
B quæ a vespere coorta per totam noctem frigoris vim, & ventorum procellas intense continuans, multaque nive terræ faciem inasperans, mane Imperatori atrox negotium facessit. Locus enim erat habitatorum vacuus: hostes instabant proximi, & de quo timebat, necessariorum inopia, quod in exercitu omnium pessimum accidit, non minimum animum excruciabat. Tantis difficultatibus conflictatus copiarum, non Romanorum modo, sed ex aliis gentibus Latinarum, ac Scytharum duces advocat, deque agendis consulit. Omnes fere in id convenerunt, ut Adrianopolim remearent, Imperator haud spreta eorum sententia infert, *Vos quidem quod & melius, utiliusque fore judicastis, recte probeque consu-*
C *luistis. Verum si quippiam etiam ipse, Deo auspice, excogitarim, an non illud, veluti a prudente domino, eoque qui de vobis, uti addecet & providet, prolatum æquo animo accipietis?* Omnes acclamarunt, *Quidquid fuerit Majestati tuæ visum, acceptum, & universis complacitum erit*. Sic eos ad propria tentoria, ut corpus cibo propter hyemem reficerent, mandat; ipse in cubiculum suum introiens, cum iis, qui circa eum aderant, quid facto opus esset consulere. Quidam consilium, quod foris dederant, opere præstandum esse contendere; alii, quorum meliora judicia censuerat Imperator, adversari: *Iter enim*, ajebant, *retro nos ad Adrianopolim ducens exæquat illud, quod ante ad Stenimachi oppidum fert, & quemadmo-* Edit Paris. pag. 66.
D *dum ibi necessariorum copia, sic & Stenimachi affluit. Ubi ita egerimus neque timore, quem ex hostibus conceperimus, neque tempestatis asperitate retro cogi judicabimur.* Dictum approbaverat Imperator. Et cum acris hyems mitesceret, nivisque impetus stetisset, postero die, receptui signum dari jussit. Inde copiarum cohortes desumens Stenimachum contendit, & cum ibidem exercitum exsaturasset, recta Tzepænam iter dirigit, pervenitque tandem in oppidum Vatcunium, quod per plures dies maximo exercitui abunde effuseque posset alimenta suppeditare. Ex eo patruum suum Manuelem Lascarim, qui Monachis nomine dato, nomen sibi Maximi assumpserat, & Allagii præfectum Constantinum Margaritem, locum invisere, misit, referreque si quis ad eum aditus militi facilis pateret. Isti oculati, omnibus loci partibus perpen-

sis, ascensum facilem esse nunciant, & maxime Constantinus Margarites, licet alii, qui loca optime noverant, contradicerent. Illius sermonibus fretus Imperator cum universo exercitu ascensum tentat. Locus erat præruptus, & ascensu arduus: glacies per universam viam conglomerata, & levitate lubrica gressui properanti obstabat, spissæ arbores, ac foliis densæ culmen occuparant. Cohortes tota ea nocte focis accensis calefieri: plerorumque enim famuli cum attegiis dominos competire non poterant. Omnesque parum absuit quin fletum indesinentem, & absque mœstitudine flerent; nam fumus e rogis densitate arborum interceptus, cum in aere liber evagari nequiret, infra referebatur, oculosque ad extorsionem usque lacrymarum lædebat. Hoc ipsum Imperator quoque expertus est. Verum, ut nox præteriit, & dies cœpit, oppidum obsideri haud facile posse cognoscens, militem in planiciem descendere jussit: illi descenderunt. Imperator custos post eos cum exigua militum, quibus corporis custodia demandata erat, eorumque juvenum manu remanserat: dein & ipse, quemadmodum & reliqui, pedes, neque enim erat equo insidentem per collis prærupta iter agere, in campum devenit.

LX. Ibique per duos dies cunctatus, & Batcunium depopulatus, rursus Adrianopolim, indeque Didymotæchum repetit. Ubi exercitus ductores eligit Manuelem Lascarim, quem & Protosebastum cognominavit, homuncionem ineptissimum, militiæque inexpertum, & Constantinum Margaritem, cujus supra meminimus, rudem, ac sylvestrem virum, & ex sylvestribus prognatum, hordeaceo, furfuraceoque pane enutritum, verbaque solum gula præclusa male enunciantem, ac distorquentem. Is ex Neocastris originem duxerat, & in eo themate primum militiæ operam navavit. dein Tzausius factus est, deinceps Imperatori Joanni acer, & ministrandi in aula peropportunus judicatus, eo ammotus cohortis suæ Tzausium præfecit, & Magnum ipsi postea apposuit, ac Imperator Theodorus suæ cohortis Archontem ad illa usque tempora nemini concessum appellavit. Ille nomini Magnum præscribebat. His, aliisque multis Ducibus custodiam regionis tradidit, & militem tei supparem assignavit, illis conditionibus, ne ipsi hostium pugnam, si cum Scythis illi auxiliariis, id namque fama prævulgatum fuerat, in eos impetum facerent, adverso marte sustinerent. Quod si illi regionem direptam ivissent, ipsi Didymotœchi præsidio firmissimo fulti quiescerent. Oppidum enim flumine quoque Hebro munitum erat; eosdem inter ea loca castra ponere præceperat, ni exiguus admodum miles in regionem irrumperet; tum enim fidenter arma moverent. His præscriptis Imperator Hellespontum transfretans apud Lampsacum tentorium figit, ubi suos officiis, ac dignitatibus auxit. Georgium Muzalonem tantopere sibi ante alios dilectum, tunc magnum Domesticum, Protosebasti, & Protovestiarii, ma-

Edit. Paris. pag. 67.

δὲ ἀπιόντες, καὶ τὰ περὶ τὸν τόπον κατασκοπήσαντες, εὔχρηστα τυγχάνειν τὴν ἄνοδον τῷ Βασιλεῖ κατήγγελλον, καὶ μάλιστα ὁ Μαργαρίτης Κωνσταντῖνος, καίτοι γε πολλῶν τῶν εἰδότων ἀντιλεγόντων. τοῖς γοῦν τούτου λόγοις πεισθεὶς ὁ Βασιλεὺς μετὰ πάσης τῆς στρατιᾶς ἀνῄει. καὶ ἦν μὲν πάντῃ ἀνάντης ὁ χῶρος τῆς ἀνόδου, καὶ παγετὸς τὴν ὁδὸν πᾶσαν πολύτροπός τε καὶ λεῖος βαδίσαι δυσχερεστέραν ἐποίει. συνηρεφῆ τε καὶ λάσια δένδρα περὶ τὴν ἀκρώρειαν ἦν. ἡ μὲν οὖν στρατιὰ τὴν νύκτα πᾶσαν ἐκείνην πυρκαϊὰς ἀνάψαντες ἐθερμαίνοντο. τῶν γὰρ πλειόνων οἱ ὑπηρέται μετὰ τῶν σκηνῶν αὐτῶν οὐκ ἠδυνήθησαν τοὺς σφῶν Κυρίους εὑρεῖν· ἔκλαιον δὲ μικροῦ δεῖν κλαυθμὸν ἄπαυστον, εἰ καὶ ἄλυπον. Ὁ γὰρ ἐκ τῶν πυρκαϊῶν καπνὸς ὑπὸ τῆς τῶν δένδρων πυκνότητος συνεχόμενος, καὶ διέξοδον εἰς ἐλεύθερον ἀέρα μὴ εὑρίσκειν δυνάμενος, κάτω ὑπενόστει, καὶ τοὺς ὀφθαλμοὺς εἰς ἄκρον ἔδακνε, καὶ τῶν ὀφθαλμῶν ἐκπιέζειν κατηνάγκαζε δάκρυον. Τοῦτο καὶ ὁ Βασιλεὺς ἐπεπόνθει. ὡς δὲ ἡ νὺξ παρῄει, καὶ ἡμέρα ἐπέλαμψεν, ἀνεπιχείρητον εἰς πολιορκίαν εἶναι τὸ ἄστυ γνωρίσας, κατιέναι προσεπετάχει ἐς τὸ πεδίον τὴν στρατιάν, καὶ οἱ μὲν ἀπῄεσαν. Ὁ δὲ φύλαξ ὄπισθεν μετὰ μετρίων ἐναπελείφθη στρατιωτῶν, καὶ τούτων περὶ αὐτόν τι καὶ νεωτέρων. κατόπισθεν δὲ καὶ αὐτὸς κατῄει πεζός, ὡς καὶ οἱ λοιποί. Οὐδὲ γὰρ ἦν δυνατὸν ἱππότην βαδίσαι περὶ τὸ κάταντες τοῦ βουνοῦ.

ξ΄. Ἐκεῖσε γοῦν ἡμέρας διανύσας δύο, καὶ λείαν τὴν κώμην πεποιηκὼς τὸ Βατκούνιον, ἐς τὴν Ἀδριανοῦ καὶ αὖθις ὑπέστρεψε· κἀκεῖθεν εἰς τὸ Διδυμότειχον. Αὐτόθι γοῦν εἰς ἡγεμόνας τάξας τόν τε Λάσκαριν Μανουήλ, ὃν καὶ Πρωτοσέβαστον ἐπωνόμασεν, ἀνθρώπιον ἀφιλόστατον, κακῶς εἰδὸς στρατηγεῖν, καὶ τὸν Μαργαρίτην Κωνσταντῖνον, ὃν προφθάσας ὁ λόγος ἐδήλωσεν, ἄνδρα ἄγροικον, καὶ ἐξ ἀγροίκων γεγεννημένον, μάζῃ καὶ πιτύροις ἀνατεθραμμένον, καὶ λαρυγγίζειν μόνον εἰδότα. ἐκ Νεοκάστρων δὲ οὗτος ὥρμητο, καὶ ἐτέλει τὰ πρῶτα ἐν τῇ τοῦ θέματος τουτουῒ στρατιᾷ, εἶτα καὶ Τζαούσιος γέγονε. δόξας δὲ παραχρῆμα τῷ Βασιλεῖ Ἰωάννῃ, ὡς εὐτρεχής ἐστι, καὶ ὑπηρετεῖν ἱκανὸς ἐν τοῖς ἀνακτόροις, ἐκεῖθεν ἐκβαλών, Τζαούσιον τῆς αὐτοῦ πεποίηκε τάξεως, εἶτα αὐτῷ καὶ τό, Μέγας, προσετέθειτο. ὁ δὲ Βασιλεὺς Θεόδωρος ἄρχοντα τῆς αὐτοῦ κατωνόμακε τάξεως, ὅπω μέχρις αὐτοῦ τὸ τοιοῦτον ἔν τινι γεγονός. Ὁ δὲ καὶ τό, Μέγας, προσεγγράφει τῷ ὀνόματι. Τούτους εἰς φυλακὴν τῆς χώρας εἴασε, καὶ ἑτέρους ἡγεμόνας οὐκ ὀλίγους. καταλελοίπει δὲ μετ' αὐτῶν καὶ ἀξιόλογον στράτευμα, προσεπετάχει δὲ αὐτοῖς, μηδόλως ἐς μάχην ἐγκαταστῆναι τοῖς πολεμίοις, εἴπερ κατὰ τούτων ἁρμάσαιεν, Σκύθας προσλαβόντες εἰς συμμαχίαν, τοῦτο γὰρ ἡ φήμη προὔλεγε, καὶ εἰς σκύλευσιν δὲ εἰ κινηθεῖεν τῆς χώρας, αὐτοὺς ἀτρεμεῖν, ἐκ τοῦ Διδυμοτείχου τὴν ἀσφάλειαν ἔχοντας. Ἐχυρὸν γὰρ τὸ ἄστυ, καὶ ἐκ τοῦ ποταμοῦ Εὔρου. Μέσον γὰρ αὐτῶν στρατοπεδεύειν τούτους ἐκέλευσεν. Εἰ μή πω ὀλίγη τις κατὰ τὰς χώρας εἰσφρήσειε στρατιά. κατὰ ταύτης γὰρ ποιήσασθαι θαρραλέως τὴν ἔφοδον. οὑτωσὶ γοῦν ταῦτα πάντα καταρτίσας ὁ Βασιλεύς, τὸν Ἑλλήσποντον διαπεραιωθεὶς, περὶ τὴν Λάμψακον τὴν σκηνὴν ἔπηξε. κἀκεῖσε τοὺς αὐτοῦ ὀφφικίοις τετίμηκε καὶ ἀξιώμασι. καὶ τὸν μὲν Μουζάλωνα Γεώργιον τὸν ὑπὲρ τοὺς ἄλλους τούτῳ φιλούμενον, ὄντα μέγαν Δομέστικον, Πρωτοσέβαστόν τε, καὶ Πρωτοβεστιάριον, καὶ μέγαν Στρατοπεδάρχην τετίμηκε, τὸν δὲ αὐτοῦ ἀδελφὸν Ἀνδρόνικον Πρωτοβεστιαρίτην ὄντα, μέγαν Δομέστικον κατωνόμασε, τὸν

A δὲ Ἄγγελον Ἰωάννην μέγαν Πριμμικήριον τελοῦντα, τετίμηκε Πρωτοστράτορα, Πρωτοβεστιαρίτην δὲ τὸν Καρυανίτην τετίμηκεν. ἀλλὰ ταῦτα μὲν οὕτως. διεξίει δὲ τὰ περὶ τούτων ὁ τῆς ἱστορίας λόγος, ἵνα τὰ μετὰ ταῦτα σαφέστερον ἀπαγγείλῃ. ἐν τῇ Λαμψάκῳ γοῦν μικρὸν διὰ ταῦτα προσκαρτερήσας ὁ Αὐτοκράτωρ, καὶ τὰς τοῦ Χριστοῦ πανηγύρεις τῆς τε Γέννας καὶ τῶν Φώτων ἀποπληρώσας, διὰ μετρίων πάνυ τῶν ἡμερῶν ἐπεφθάκει τὸ Νύμφαιον.

ξα΄. Ἐκεῖσε γοῦν παραχειμάσας, ἐπεὶ τὸ ἔαρ ἐπέλαμψε, πολλὴν συλλεξάμενος στρατιάν. Οὐ γὰρ μόνον τοὺς τεταγμένους ἑπαδεῖν προσέταττεν, ἀλλὰ καὶ τοὺς μηδόλως ἐν τάξει ποτὲ πλουτοῦντας τῆς στρατιᾶς. B Αὐτίκα γὰρ τοὺς ἐξυπηρετοῦντας τοῖς βασιλεῦσιν ἐν θήραις ταῖς τῶν θηρῶν ἄγραις ἐλάφων τε καὶ χοίρων, καὶ τοὺς δι᾽ ἱεράκων θηρεύοντας, πάντας ἁπαξαπλῶς στρατιωτικοῖς συνέταξε τάγμασι. καὶ ἦν τὸ συναχθὲν πλῆθος πολύ. καὶ ἡ τοῦ κρατοῦντος δὲ ἀρχὰ ἠνάγκαζε τοὺς πλείους τῶν εἰωθότων φέρειν τι κρειττότερον. Οὕτω γοῦν πᾶσαν συναγηόχει τὴν στρατιάν. ὡς δὲ καὶ τὸν Περσάρχην μὴ πράγματα ἔχειν παρὰ τῶν Ταχαρίων, πρεσβείαν ἐξαποστείλας ἐμεμαθήκει, κατευθὺ πρὸς τὴν δυσμὴν ἐκ τῆς ἕω ἐχώρει. καλῶς γὰρ ἔχειν τὸν Περσάρχην τῶν ἐκείνου πραγμάτων οἰόμενος, καὶ ἀσφαλῶς μένειν, οὐδόλως περὶ τῇ αὐτοῦ κατὰ τὴν ἕω ἐδεδίει ἀρχῇ. C τὴν πᾶσαν γοῦν συναθροίσας στρατιάν, μείζονα τῶν ποτὲ παρά τε τοῦ πατρὸς αὐτοῦ Βασιλέως καὶ τούτου συνειλεγμένων εἰς τὰ διαπεραιωθῆναι τὸν Ἑλλήσποντον, ἀφίκετο εἰς τὴν Λάμψακον, ἐλπίσας, καὶ τοὺς κατὰ τὸ Διδυμότειχον καταλελειμμένους σώους τι εὑρεῖν, κατὰ τὰ προστεταγμένα τούτοις καὶ οὐ μικρὰν προσθήκην τῇ ἀμφ᾽ αὐτὸν στρατιᾷ ἐμποιήσασθαι, τοὺς δὲ κακοβουλία καὶ τὸ παρακοῦσαι τῆς βασιλικῆς κελεύσεως, ἔσφαλεν. Ἐπεὶ γὰρ ὁ τῶν Βουλγάρων ἄρχων μακρότερον ἀπέχειν τὸν βασιλέα ἐγίνωσκε, Σκυθικὸν στράτευμα εἰς σφετέραν συμμαχίαν προσκαλεσάμενος κατὰ τὴν τῆς Μακεδονίας χώραν ἐκπέπομφε, κέρδους τε χάριν, καὶ τῆς πρὸς Ῥωμαίους τινὸς ἐκφοβήσε- D ως. ἠρίθμηντο δὲ περί που τὰς τέσσαρας χιλιάδας, ὡς οἱ εἰδότες ἔφασκον Σκύθαι, τινὲς μὲν οὖν καὶ πλείους, οἱ δὲ καὶ ἐλάττους ἔλεγον. Οἱ μὲν οὖν Σκύθαι τὴν Ἀδριανοῦ παραμείψαντες, τὰ περὶ τὸν ποταμόν, οὗ Ῥηγίνα τοὔνομα, λεηλατοῦντες ἐποιοῦντο, καὶ τὰ πέριξ τοῦ Διδυμοτείχου χωρία ἐσκύλευον. οἱ δὲ προλελεγμένοι στρατάρχαι τοῦ εἰς τὸ Διδυμότειχον καταλελειμμένου στρατεύματος, τῶν βασιλικῶν ἐπιλελησμένοι προστάξεων, καθοπλισθέντες, κατὰ τῶν Σκυθῶν ἐφώρμησαν. οἱ μὲν οὖν Ῥωμαῖοι, οἷα ἔθος αὐτοῖς, δυσαχθέσιν ὅπλοις κατάφρακτοι ἦσαν, οἱ δὲ Σκύθαι κοῦφοι ὁπλῖται, καὶ τόξοις χρώμενοι. Μακρόθεν οὖν οὗτοι τοῖς βέλεσι τοὺς Ῥωμαίους ἔβαλλον, καὶ τοὺς ἵππους ἐτίτρωσκον, καὶ πεζοὺς τοὺς ἱππότας ῥᾳδίως ἐποίουν, καὶ τέλος τρέπουσιν. Ὁ μὲν οὖν Μανουὴλ ὁ Λάσκαρις, ταχύτατον ἔχων τὸν ἵππον, ὃν καὶ Χρυσοπόδην ἐκάλεσε, φυγὰς εἰς τὴν Ἀδριανοῦ ᾤχετο. ὁ δὲ Μαργαρίτης Κωνσταντῖνος ἑάλω, καὶ ἄλλοι πολλοὶ μετ᾽ αὐτοῦ τῶν εἰς κεφαλὰς τεταγμένων τῆς στρατιᾶς, οὓς καὶ ἀπημπόλησαν τοῖς Βουλγάροις οἱ Σκύθαι. ὁ μὲν οὖν Βασιλεὺς τὰ περὶ τούτων μαθὼν ἠνιάθη, ἔσπευσε δὲ διὰ τάχους περὶ τὸν τοῦ Βουλγαροφύγου χῶρον ἐλθεῖν, καὶ ἐπιτείνας τὸν δρόμον, ὀξυτέραν ἐποίει τὴν κίνησιν. Ἐπεὶ δὲ καὶ οἱ πάστηρες ἔφασκον ἐγγὺς τυγχάνειν τὸ Σκυθικὸν στράτευμα, ἔνθα αὐτοὺς περιπολεῖν ἔλα-

A gnique Stratopedarchæ munere decoravit: fratrem illius Andronicum Protovestiaritem, magni Domestici: Joannem Angelum magnum Primicerium, Protostratoris: Caryanytem, Protovestiaritæ titulo insignivit. Et hæc ita fuere. Oratio porro ita res eorum digerit, ut futura magis dilucide enunciet. Lampsaci paucis tempestatibus Imperator commoratus, & Christi diebus solemnibus Natalitiis, ac Luminibus celebratis, post non multos dies Nymphæum ingreditur, ibique hybernat.

LXI. Sed vere jam appetente exercitu ingenti conflato, neque enim eos tantum qui inter milites censebantur, sed eos præterea, qui nunquam inter militares copias fuerunt asserti, sequi voluit. Namque B confestim, qui in venationibus capiendis feris, cervis, & porcis, nec non accipitrum aucupio Imperatoribus inserviebant, universis penitus inter milites conscriptis, ingens militum vis exaggerata est. Imperatoris quoque studia animos, ut quid solito cumulatius deferrent, concitabant. Hac ratione universas copias conflavit. Et cum Persarum principem Tachariorum molestia liberum Legatis missis cognovisset, recta ex Oriente, in Occidentem graditur. Namque cum Persarchæ res esse in tuto collocatas, & sine discrimina apprehendisset, nihil de suo apud Orientem imperio hostile timebat. Igitur majore quam unquam, vel pater illius Joannes vel ipse antea comparasset, exercitu instructo, ad transfretandum Hellespontum Lampsa- C cum proficiscitur, quos etiam Didymotœchi reliquerat incolumes, nisi illis mandaverat, offendere, illisque maximum exercitum, majorem facere sperans. At illos Ducum perversa consilia, prudentiæ, & fidelitatis vacua attriverant. Quandoquidem Bulgarorum princeps longius abesse Imperatorem cognoscens, auxiliariam Scytharum sibi manum adscitam, ad bona oppugnanda, timoremque Romanis incutiendum in Macedoniæ loca amandat. Eorum numerus non ultra quatuor millia, ut rerum gnari Scythæ referebant, fuit, nonnulli plures, alii pauciores affirmabant. Scythæ Adrianopolim prętercurrentes, quę circum flumen, cui nomen Reginæ est, & circum Didymotœchum oppida omnia prædis, ac ra- D pinis vastabant. Exercitui apud Didymotœchum Præfecti, neglectis imperatoriis mandatis arma sumentes in Scythas irruunt. Romani pro more suo gravi armatura præcincti erant, Scythæ levi, & Sagittarii. Quare de longinquo illi jaculis Romanos lacessere, equos sauciare, & gravi casu ex equitibus pedites facere, tandem fugare. Itaque Manuel Lascaris equo velocissimo, quem Chrysopedem dicebat, fuga sese Adrianopolim intrusit. Constantinus Margarites, & cum eo plures alii cohortium capita Bulgaris, ac Scythis venundata, capta sunt. De his certior factus Imperator indoluit, maturiusque in Bulgarophygi locum festinavit, & gressum intendens festinationem acceleravit: sed speculatoribus

Edit. Paris. pag. 68.

Scytharum exercitum prope esse denunciantibus, ubi eos palantes audivit, eo universum exercitum movet, & uno die quadringentas, & amplius mansiones permensus est: attamen in eos non incidit; celere enim adventu Imperatoris cognito, citato cursu fugam arripuerunt, & plerique eorum, & nationis celebriores circum Bizyæ loca trucidati sunt. Spe frustratus Imperator in fluvio, cui Reginæ nomen castrametatur, ibique universum cogit exercitum, insolentem sane, atque amplissimum.

Edit. Paris. pag. 69.

LXII. Bulgarorum interim princeps, ubi adversum Romanos Imperatoris cum tam ubere milite in Occidentem accessum, illiusque vicinitate proficere quicquam non posset, amicitiam, & fœdus petiit, & Rossum Urum socrum, Ungariæ regis generum, cujus arbitratu communibus negotiis consuleretur, destinat; primum tamen Legati ad Imperatorem præmissi profectionem ad eum Uri, ut absque timore esset, quin etiam ut ille honorifice exciperetur, præparant. Et profecto ita se res habuit, & Urus ad Imperatorem se contulit. Ipse, & alii, qui cum eo accesserant, lubentissime, & debitis honoribus ab Imperatore afficiuntur; quare suo, & generis Bulgarorum principis jure, etiam jurejurando pacem firmavit, ea conditione, ut Tzepænæ oppidum solum ex iis, quæ sub ditione Joannis Imperatoris erant, a Bulgaris tum occupatum, Imperatori restitueretur. Imperator vice versa amicitiam, & pacem cum Bulgaris continuaret, & uterque antiquis confinium terminis contineretur. Ubi res pro arbitratu Imperatoris successit, Urus de reditu sermone collato, egreditur, imperatoriis muneribus auctus. Eorum ad viginti millia, si donariorum omne genus, equorum item, ac textilium, & aliorum in unum conferas, summa ascendit. Imperator Tzepænæ restitutionem expectans, Reginæ cunctabatur.

LXIII. Per id tempus res quidem dictu mira contigit, digna quæ hominum memoriæ, & historicis monumentis commendetur. Dies erat solemnis, & ex celebrioribus, quo Christi Transfigurationem pii nos celebramus, & cum sacro audiendo, ut moris erat, Imperator adesse deberet, in diei vesperam prandium dilatum est. Prandimus & ipsi, paulisper obdormimus, dein somno experrecti assurgimus, cum Sol se in occasum præcipitaret. Sueverat Imperator nimis sero inequitans universum circumire exercitum, in cujus confine æquum, & paululum e planicie assurgentem locum ascendere, indeque universum exercitum lustrare, quem *urbem se moventem, cæterasque alias Romanas urbes tutantem* nominabat: hocque ita patrabat continuo, & licet vesperugo in occasum sese immergeret, ipse nihilominus id idem neque segnis præstabat. Castrorum intervallum quadraginta stadia, nisi etiam plura addere velimus exæquabat. Ego itaque Deo tunc mihi irato, Imperatoris nimium amans, ac stolidus, ubi Imperatorem equo vehi accepi, in mulam propere saliens contento cursu sequebar temporis inop-

pag. 70.

A ἄγων, ἐκεῖσε καὶ πᾶσαν ἐκίνει τὴν στρατιάν, καὶ ἡμέρας μὲν μιᾶς πλείους τῶν τετρακοσίων διεξήει σταθμούς. οὐκ ἐνέκυρσε δὲ τούτοις. Ἐμεμαθήκεσαν γὰρ καὶ οὗτοι τὴν ταχεῖαν τοῦ Βασιλέως ἔφοδον, καὶ ὡς εἶχον ποδῶν ἔφυγον, καὶ πλείους δὲ ἐξ αὐτῶν, καὶ περιφανέστεροι τοῦ ἔθνους, περί που τὰ μέρη τῆς Βιζύης ξίφους ἔργον ἐγένοντο. Ἀποτυχὼν γοῦν τῆς ἐγχειρήσεως ταύτης ὁ Βασιλεὺς περὶ τὸν ποταμόν, ὃς Ῥηγίνα καλεῖται, τὴν σκηνὴν ἔπηξε, καὶ πᾶσαν ἐκεῖσε συνῆξε τὴν στρατιὰν εἰς πλῆθος οὖσαν πολύ.

ξβʹ. Ὁ μὲν τῶν Βουλγάρων ἄρχων, ἐπειδὴ μὴ διαπράξασθαί τι κατὰ Ῥωμαίων ἐδεδύνητο, τοῦ Βασιλέως ἐπιδεδημηκότος μετὰ τοσούτων στρατευμάτων ἐν
B τῇ δυσμῇ, καὶ πεπλησιακότος τῇ ἑαυτοῦ, εἰς σπονδὰς ἐτράπετο, καὶ τὸν πενθερὸν αὐτοῦ τὸν Ῥῶσον Οὔρον τοῦ ῥηγὸς Οὐγγρίας ἐπὶ θυγατρὶ πλουτοῦντα γαμβρὸν μεσιτεῦσαι τὰ εἰς εἰρήνην βεβούληται· καὶ πρῶτα μὲν ἔστειλε πρέσβεις πρὸς τὸν Βασιλέα προοικονομήσοντας τὴν εἰς αὐτὸν τοῦ Οὔρου ἄφιξιν, ἔξω πτοίας τε εἶναι, καὶ ἐντίμως πρὸς τοῦ Βασιλέως δεχθῆναι. καὶ γέγονε ταῦτα. καὶ ὁ Οὔρος εἰς τὸν Βασιλέα ἀφίκετο. Ἐδέχθη γοῦν παρὰ τοῦ Αὐτοκράτορος, ἀσμένως τε, καὶ μετὰ τῆς προσηκούσης φιλοτιμήσεως, καὶ οὗτός τε, καὶ οἱ μετ' αὐτοῦ, καὶ τὴν εἰρήνην πεποίηκεν ἐπομοσάμενος δικαίῳ τε αὐτοῦ, καὶ τῷ γαμβροῦ αὐτοῦ τοῦ τῶν Βουλγάρων ἄρχοντος, ἀπο-
C λυθῆναι μὲν πρὸς αὐτὸν Βασιλέα τὸ τῆς Τζεπαίνης ἄστυ. Τοῦτο γὰρ καὶ μόνον παρὰ τῶν Βουλγάρων κατείχετο, ἀφ' ὧν ὁ Βασιλεὺς Ἰωάννης ἐκράτει, εἰρηνικῶς τε πρὸς τοὺς Βουλγάρους ἔχειν τὸν Βασιλέα, καὶ ἑκάτερα τὰ μέρη, τοῖς παλαιτέροις ὁρίοις ἀρκεῖσθαι. Ἐπεὶ γοῦν ἅπαντα ταυτὶ κατὰ γνώμην τετέλεσται τῷ κρατοῦντι, ὁ μὲν Οὔρος τοὺς τῆς ἀποχαιρέσεως ἐξειπὼν λόγους, ἐξήει βασιλικῶν χαρισμάτων τυχών. τὰ δ' ἦσαν εἰς εἴκοσι χιλιάδας ἀπαριθμούμενα ἐκ παντοίων συνειλεγμένα εἰδῶν, ἵππων τε, καὶ ὑφασμάτων, καὶ λοιπῶν. ὁ δὲ Βασιλεὺς διεκαρτέρει ἐν τῷ τῆς Ῥηγίνης τόπῳ, τὴν τῆς Τζεπαίνης περιμένων ἀπόλυσιν.

D ξγʹ. Συμβέβηκε δέ τι ἐν τούτοις τῷ τότε πρᾶγμα θαυμάσιον, μνήμης καὶ ἱστορίας ἄξιον. ἡμέρα ἦν τῶν ἐπιφανῶν τε καὶ ἑορτασίμων καθ' ἣν τὴν τοῦ Χριστοῦ μεταμόρφωσιν οἱ εὐσεβεῖς ἑορτάζομεν. καὶ ἐπεὶ ἔδει καὶ ἀμφὶ τὴν ἱερὰν μυσταγωγίαν, ὡς τὸ εἰωθός, παρεῖναι τὸν Βασιλέα, εἰς ἀργίαν ὁ τοῦ ἀρίστου παρετάθη καιρός. Ἠριστήσαμεν γοῦν καὶ αὐτοί, καὶ μικρόν τι καθευδήσαντες ἀνηγέρθημεν. ἤδη δὲ ὁ ἥλιος τῷ ὁρίζοντι προσήγγιζε τῆς δυσμῆς. ἔθος δὲ ὑπῆρχε τῷ Βασιλεῖ περὶ δείλην ἑσπέραν ἐποχεῖσθαι, καὶ σύμπαν διέρχεσθαι τὸ στρατόπεδον, καὶ ἀμφὶ τὸ τούτου τέρμα εἰς τόπον ἀγχώμαλόν πως τελοῦντα, καὶ μικρὸν ὑπερανεστηκότα, τῆς πεδιάδος ἀνέρχεσθαι, καὶ τὴν ὅλην καθορᾶν στρατιάν, ἣν καὶ πόλιν κινουμένην ὠνόμαζε, πάσας τὰς Ῥωμαϊκὰς ἄλλας πόλεις φυλάττουσαν. τοῦτο δὲ οὕτως ἐποίει διηνεκῶς, καὶ ὁ φωσφόρος δὲ εἴπερ τὸν δυτικὸν εἰσδύναι ὁρίζοντα ἔμελλεν, οὐ κατώκνει τοῦτο ἐργάζεσθαι. τὸ δὲ τοῦ στρατοπέδου διάστημα ἀμφί που τὰ τεσσαράκοντα στάδια ἦν, εἰ μή γε καὶ πρός. Ἔγωγε οὖν οὐκ ἀγαθῇ τότε τύχῃ χρησάμενος ὁ φιλοβασιλεύς τε, καὶ μάταιος, πεπυσμένος ἱππότην εἶναι τὸν Βασιλέα, τῆς ἡμιόνου, ὡς εἶχον τάχους, ἐπιβάς, δρομαῖος ἐφεπόμην αὐτῷ, οὐ τὸ τῆς ὥρας ἄωρον κατοπτεύσας, ὅπερ ἔδει. ἐφ' ἵππου δὲ ὁ Βασιλεὺς ἐπιβάς, ταχύτερον ἐπορεύετο, ὡς δὲ

A οὐδέ με κατόπιν αὐτοῦ μὴ δυνάμενον ἐκείνῳ συνέπεσθαι, ὑπολαβὼν, μή πως μακρυνάας οὐχ ἕψομαι, εἰρήκει μοι, μηδόλως ἀπολειφθῇς, ἀλλὰ καὶ χολαιότερον ἔρχου. ἀπῄει γοῦν εἰς τὸν συνήθη τόπον, καὶ σὺν αὐτῷ οἱ ἀμφ' αὐτὸν λογάδες συνέστησαν, καὶ αὐτὸς σφίσι συνῆλθον ἑπόμενος, καὶ περιέστημεν κατὰ κύκλον πάντες. καὶ ὁ Βασιλεὺς, Μεμαθήκατε, φησὶ, τῶν προσφάτως ἀπηγγελμένων οὐδέν; καὶ ἡμεῖς, οὔκουν ὦ Βασιλεῦ. καὶ ὁ Βασιλεύς. ἄνθρωπός τις πρό τινος βραχείας ὥρας ἐλθὼν ἀπήγγειλέ τι τῶν ἀβουλήτων. τὸ δ' ἦν, ὡς ὁ Ῥῶσος Οὖρος ἡμᾶς ἐξηπάτηκε. χάριν γὰρ κέρδους ἐνταυθοῖ ἀφιγμένος τὴν μεσιτείαν τῆς εἰρήνης ἐψεύσατο, καὶ ἐπίορκον ὤμοσε. φενάκη γοῦν ὑπῆρχε τὰ πάντα ἐ- B κεῖνα ὅσα πεποίηκε, καὶ ἀπολογίαν ἀφορμὴν ἔχει, ὥς φασι, πρὸς τὴν τοῦ ὅρκου διάλυσιν, ὅτι περ ὁ τῶν Βουλγάρων ἄρχων ὁ τούτου γαμβρὸς τὴν ἐπὶ συμφωνίαις τοιαύταις εἰρήνην οὐ καταδέχεται. τί οὖν ὑμῖν δοκεῖ; ἆρ' ἀληθές ἐστι τοῦτο, ἢ ῥῆμα πεπλασμένον πρὸς ψευδολόγου; καὶ ἡμεῖς, οὐδόλως δοκεῖ πως, ἔφαμεν, ἀληθείας τὸν λόγον ἔχεσθαι. πάνυ γὰρ τυγχάνει οὗτος ψευδὴς καὶ ἀβέβαιος. Ὅτι περ ὁ Ῥῶσος Οὖρος οὐ μόνον ὑπὲρ ἑαυτοῦ, ἀλλὰ καὶ ὑπὲρ τοῦ γαμβροῦ αὐτοῦ τοῦ τῶν Βουλγάρων ἄρχοντος ἐπωμόσατο. πῶς οὖν ἐστι πεφυκὸς, ἄνθρωπον ὄντα Χριστιανὸν ἐπιορκίᾳ τοιαύτῃ περιπεσεῖν; καὶ ὁ Βασιλεύς. ἡ τῶν χρημάτων ἴσως ἐπιθυμία, παρέπει- C σεν ἂν αὐτὸν εἰς τοιαύτην ἐξολισθῆσαι κακίαν. καὶ ἡμεῖς οὐ μόνον τὴν τῶν Βουλγάρων ἀγάπην οὐκ ἔχομεν, ἀλλὰ καὶ τοσαῦτα ἐπὶ κενῆς κατηναλώκαμεν χρήματα. οὐμενοῦν, ἡμεῖς ἔφαμεν, ἀληθές τι καθέστηκε Βασιλεῦ. καὶ ὁ Βασιλεὺς ἰδίᾳ καὶ πρὸς ἐμέ. σὺ δὲ, τί φάσκεις πρὸς ταῦτα; καὶ αὐτός. οὑτωσί πως ἐν τούτοις, ὡς καὶ οἱ ἄλλοι διάκειμαι. καὶ ἐπιπολὺ μᾶλλον ψεύδεσθαι τὸ λελεγμένον, ἢ ἀληθεύειν οἴομαι. εἰ δὲ, οἷα συμβαίνει ποτὲ καὶ ἐν ἐνίοις, καὶ ὁ Οὖρος οὑτοσὶ τοὺς ὅρκους ἀθετηκέναι βεβούληται, δόξας ἡμᾶς ἐξηπατηκέναι, ἀλλ' ἕξει μὲν οὗτος τὸ Θεῖον καθ' ἑαυτοῦ πολέμιον. ἡμεῖς δὲ ὑπὲρ ἑαυτῶν τῆς ἀληθείας, καὶ τοῦ δι- D καίου ὑπερμαχόμενον. ταῦτ' εἴπομεν. καὶ ὁ Βασιλεὺς τοῖς λελεγμένοις συνῄνεσε· καὶ ὑπεστρέφομεν πρὸς τὰς σκηνὰς ἐφωρμήκαμεν. νὺξ γὰρ ἦν ἤδη. ἀλλ' ἡ σελήνη πανσέληνος οὖσα φῶς ἡμῖν παρεῖχεν ἀρκοῦν. καὶ ὁ Βασιλεὺς διερχόμενος, τί ὑμῖν δοκεῖ περὶ τῶν λελεγμένων; αὖθις ἠρώτα. καὶ ἡμεῖς ψευδὲς τοῦτο, ὦ Βασιλεῦ. τοῦτο δὲ οὐχ ἅπαξ, οὐδὲ δὶς, ἢ καὶ τρὶς, ἀλλὰ καὶ πολλάκις πυθόμενος ἦν. καὶ ἡμεῖς τὰς ἀποκρίσεις ἐξ ἴσου πρὸς τὰς πεύσεις πεποιηκότες, ἐσιωπῶμεν. ὁ δὲ καὶ πάλιν ἠρώτα. Ἐπεὶ δὲ τοὺς ἄλλους σιγῶντας ἑώρα, πρός με τὸν λόγον ἀποστρέψας, ἠρώτηκε. Σὺ δὲ τί φὴς πρὸς ταῦτα, τὴν τοῦ ὀφφικίου κλῆσιν προσθείς. ἡ τοιαύτη ὑπόθεσις σοὶ ἁρμόττει, καὶ ὡς σοὶ καθέστηκε μάλιστα. ταυτὶ δὲ ἔλεγεν, πρόφασιν ὀργῆς ζητῶν ἐφευρεῖν. ἦν δ' ἐγώ. τίνος χάριν ἐστὶν ἐμοῦ; εἰ γὰρ μὴ καλῶς πεποίηκα τὰς γραφὰς, καὶ τοὺς ὅρκους τετέλεκα, μηδὲ προσηκόντως αὐτόν τε, καὶ τὰς ἀμφ' αὐτὸν ᾠκονόμηκα. σφάλμα τοῦτο ἐμὸν, καὶ πταῖσμα μακρόν. εἰ δὲ πρεπόντως ταῦτα γεγένηται, καὶ ὡς οὐκ ἄλλως ἐχρῆν, τί πρὸς ἐμὲ τὰ παρ' ἐκείνου πρὸς ἀνατροπὴν τῶν γεγονημένων τελούμενα; καὶ ὁ Βασιλεὺς, οὐκ οἶδ' ὅπως, τὴν γὰρ αἰτίαν εἰρήκειν, πάλιν λέγει, τί φὴς περὶ τῶν τοιούτων; καὶ αὐτός. πολλάκις εἰρήκειν, ὦ Βασιλεῦ, ὡς ἐπιπλέον

A portunum, quod utique debebam, minime conspicatus. Imperator equo vectus cursum rapere, mox me subsequentem conspiciens cursui imparem, suspicatus, si longius ipse processisset, non secuturum, dixit, *Cave, cursum contineas, sequere tamen commodius*. Ille in sueta sibi loca advehitur, proceres, ac viri illustres itineris comites, quibus cum & ipse conveneram, undique eum constipantes, adstant. Tunc Imperator: *Cognovistis ne*, inquit, *quæ nobis nuper nunciata sunt?* Nos, *Minime Imperator*, diximus. Et Imperator, *Quidam ante paucissimum tempus adveniens, quod sane nobis displicet, nunciavit, Rosum Urum nobis fucum fecisse. Lucri enim causa huc veniens, pacem, & amicitiam, quam inter* B *nos, & Bulgaros meditatus est, fefellit, & pejeravit. Quæcumque ergo attentavit fucus fuere, atque fallacia. Nec male compta illi responsio ad jus deerit violandum. Bulgarorum nempe principem, ejus generum pacem hujuscemodi conditionibus conflatam non recipere. Quid vobis videtur? Vestrum ne est hoc, an verbum a mendace confictum?* Et nos, *neutiquam*, dicimus, *sermo verus esse videtur; omnino namque falsus est, atque incertus, namque Rosus Urus non pro se ipso modo, sed & pro genero suo Bulgarorum principe juravit. At quonam modo id fieri potest, hominem Christianum tali se perjurio dedecorasse?* Et Imperator, *Pecuniarum fortassis aviditas in simile eum flagitium conduxit. Et nos neque Bulgarorum amicitia fruimur, & tantam nummorum vim incassum projeci-* C *mus. Non est*, subdimus nos, *non est hoc veritati consonum, Imperator*. Et Imperator ad me potissimum conversus, *Tu vero quid ad hæc ais?* Tum ipse: *Non aliter de his iudico: aliorum approbo sententiam, fraudemque esse quam maximam potius, quam veritatem, quod circumfertur, existimo. Verum si quod etiam aliquando in nonnullis accidere solet, Urus sacramentum violavit, nobis, ut ipse opinabatur imponens, attamen numen ipse sibi iratum, nos vero id pro nobis ipsis, veritate, justitiaque ipsa decertans habebimus*. Hæc Imperator effata approbavit, & quisque nostrum ad tentoria progredi cœperat. Namque nox omnia occupaverat, licet Luna plena lumine collustraret, Imperator dein præteriens, rursum nos sollicitare. *Quid nobis de prædictis videretur?* Et D nos, *Mendacium hoc est, Imperator*. Et hoc non bis, aut ter, sed sæpissime interrogabat. Et nos porro responsionibus, interrogationibus ex æquo satisfacientes tacebamus. Illa rursum compellare, sed cæteros obmutescentes intuitus ad me convertens, orationem, infit. *Tu porro quid ad hæc dicis?* & nomini officium addidit, *Hoc negotium ad te spectat, & tua potissimum interest*. Hæc autem irascendi sibi causam procurans dicebat. Tum ego, *Quanam causa mea interest? si fideliter scripturas non executus sum, nec jusiurandum persolvi, neque uti par erat, illud, & quæ circa illud pertractari solent, disposui, error hic quidem meus, & impudens culpa fuerit. Verum, si hæc uti decuit, & ratione, qua nihil melius absoluta sunt, quomodo, quæ ille ad evertendum, quæ confecta sunt, meditatur, mea poterunt interesse?* Et Imperator rursum nescio quo modo, namque causam exposui,

Edit. Paris. Pag. 71.

denuo profert; *Quid ipse de dissentio?* Tum ego, *At sæpius effatus sum plus in se mendacii, quam veritatis, quod circumfertur in se continere; & in dubiis exquisite sententiam ferre, non ita facile mihi videtur.* Respondit ille, *Sed in dubiis vere, ac firmiter enunciare id prudentis est, de manifestis quippe & asini pronunciaverint;* Tum ego, *Jam & nos inter & asinos collocamur.* Et Imperator ira inflammatus, *Tu semper*, ait, *haud sanus ineptis, & nunc quoque ineptis.* Ipse, nec aliud, ita me sermones ament, respondi; *At ego quidem ineptio; ideoque silentium est mihi, qui sapiunt, ipsi loquantur.* Dixeram: Imperator incredibili, atque atroci percitus iracundia, ensis capulo manu compresso, vagina detegere tentat; sed motum temperat, & quem paululum retexerat ensem, vaginæ reddit. Dein magno Domestico Andronico Muzaloni, me de equo dejicere, imperat. Ille voce submissa, *secede*, ait, *sago*: ego mula descendi; Tunc optimus erga nos Imperator, nos qui multa a Patre suo sui gratia aspera perpessi eramus, ut palam sæpeque multis audientibus clarissima vocete flatus est, virum hunc, me nempe intelligens, bona sibi plurima apportasse pro disciplina

Edit. Paris. pag. 72.

Logicæ, qua eum instituerant, nec non & alia non exigua se debere confessus, duobus clavigeris heri, aut nudiustertius, nescio an propter me, ut Dramatis scena in Tragœdiam ad amussim converteretur, electis, & eorum numero ad viginti quatuor ascendente, verberibus appetere jussit. Illi itaque verberare, ego silentio verbera excipere: id magis in furorem agebat Imperatorem, quod nec verberibus cæsus ad supplicationes effunderer. Ubi vero frequentium verberum ictibus universum corpus fœdaverant, vix tandem ego debili ac voce submissa, *Christe rex*, inquam, *quot morbis afflictatus sum, quare coram nullo vitam amisi, sed ad has me tempestates servasti.* His dictis, Imperator, nonnihil, ut videbatur, veritus secessit, cum uni ex iis, qui ipsum sequebantur, dixisset, *Duc tecum ipsum.* Ille equo advehens, interrogat, quo abituri sumus? Ego, *Præi, quocumque lubentia trahit, sequar* Rursus ille interrogans urgere, quando & ipse respondi; *Iter nobis nobis ad Bardariotas, tibi magis expeditum ineundum est.* Res ita gesta est, & ad Bardariotarum tentoria convenimus. Ubi me eorum Primicerius conspexit, non sine admiratione percunctatur, quænam me occasio inejus tentorium conduceret? Tum ego, *at tantillum placide quiescam*, ajo. Paululum inibi commoror; jam enim & Primicerius de me cognoverat omnia. Neque in multum cunctatus Imperator, ad tentorium me meum conferre præcepit; suspicatus vero, ne molestia conflictatus fuga me subducerem, aliqua militum manu tentorium circumsepsit, & sic clanculum me custodiri mandavit. In meum advectus tentorium quiete ætatem agebam, neque in aulam vadens, neque familiares, neque amicos alloquens, sed libris tantum incumbens, eorumque lectione me delectans, eiboque me opportune reficiens; plerique itaque dies cum hoc vitæ meæ moderamine prætergressi sunt. Et Imperator ingenium meum durum, ac implacabile videns, ægre ferebat. Augustus totus effluxerat, neque ego de

A μοι δοκεῖ τὸ εἰρημένον ψευδὲς, ἐπέλαττον ἢ ἀληθές. τὸ δὲ ἐπὶ τοῖς ἀδήλοις ἀκριβῶς ἀποφαίνεσθαι, οὔ μοι δοκεῖ ῥᾷον εἶναι. ὁ δ' ἐκεῖνος, ἐν τοῖς ἀδήλοις ἐστὶ χάρις βεβαίως καὶ ἀληθῶς ἀποφαίνεσθαι· ἐπὶ γὰρ τοῖς δήλοις καὶ οἱ ἀείδαροι λέγουσιν. ἦν δ' ἐγώ. Ἰδοὺ μετὰ τῶν ἀειδάρων καὶ ἡμεῖς συντετάγμεθα. καὶ ὁ Βασιλεὺς χόλου πλησθεὶς, σὺ πάντοτε ἦσθα, ἔφη, μωρός. καὶ ἀρτίως πάλιν μωρός. καὶ αὐτὸς οὐδέν τι πλέον μετὰ τοὺς λόγους ἀντεπεξελθεῖν. ἀλλ' ὦ ἐγὼ μὲν εἰμὶ μωρὸς, καὶ ἵνα σιωπῶ. οἱ δὲ φρονοῦντες λαλείτωσαν. ταῦτ' εἶπον. καὶ ὀργῆς ὁ Βασιλεὺς ἀπλέτου πλησθεὶς, ἑλκύσαι μὲν ὥρμησε τὴν σπάθην τοῦ κουλεοῦ τῆς κώπης ἐπιλαβόμενος. ἀλλὰ τοῦτο μὲν κατέ- B σχε. μικρὸν γὰρ ταύτην ἀπογυμνώσας, πάλιν εἰσῆξε. τῷ μεγάλῳ δὲ Δομεστίκῳ αὐτοῦ τῷ Μουζάλωνι Ἀνδρονίκῳ, καταβαλεῖν με τοῦ ἵππου προσέταξε, καὶ ὃς, ἠρέμα πως ἔφη. ἔκστηθι τῆς ἐφεστρίδος. καὶ αὐτὸς ἀπέβην τῆς ἡμιόνου. Ὁ δὲ χρηστότατος περὶ ἡμᾶς Βασιλεὺς τοὺς πολλὰ πρὸς τοῦ Πατρὸς αὐτοῦ δι' αὐτὸν πεπονθότας, ὡς ἐν πολλῷ πλήθει καὶ πολλάκις δημοσίᾳ ἔλεξε τῇ φωνῇ, Ὡς πολλῶν μοι αἴτιος ἀγαθῶν οὗτος ὁ ἄνθρωπος γέγονε, περὶ τὸ λογικῆς φάσκων παιδείας, καὶ πολλῶν ὀφειλέτης τούτῳ τυγχάνω, δυοῖν κορυνοφόροιν προσέταξεν, τύπτειν με, χθιζὰ καὶ πρὸ τρίτης τούτους χειροτονήσας, ὡς εἰκοσι τέσσαρας πάντας τὸν ἀριθμὸν, οὐκ οἶδ' εἰ μὴ δι' ἐ- C μὲ, ἵν' εἴη καὶ σκηνὴ τοῦ δράματος εἰς τραγῳδίαν μεμορφωμένη. καὶ οἱ μὲν ἔτυπτον. ἐγὼ δὲ σιγῇ τὰς τύψεις ἐλάμβανον. ὃ καὶ μᾶλλον τοῦτον ἐξέμαινεν, ὅτι μηδόλως πρὸς δεήσεις κάμπτομαι καὶ πλαττόμενος. Ἐπεὶ δὲ πολλὰς κατὰ παντὸς ἐδεξάμην τοῦ σώματος, μόγις ἐγὼ, τῇ ἠρεμαίᾳ φωνῇ, ὦ Χριστὲ Βασιλεῦ, ἔφην, πόσας νενόσηκα νόσους, καὶ οὐκ ἔτι ἐν οὐδεμιᾷ τούτων κατέλυσα τὴν ζωὴν, ἀλλ' ἐν τοιούτοις με καιροῖς ἐταμίευσας; ταῦτ' εἶπον. καὶ ὁ Βασιλεὺς οἷον αἰδεσθεὶς ἀπαλλάττεται, ἑνὶ τῶν ἀκολούθων αὐτοῦ εἰρηκώς. λάβε τοῦτον αὐτός. καὶ ὃς ἔφιππόν με λαβὼν, ἠρώτα, ποῦ ἂν καὶ ἀπέλθοιμεν; ἐγὼ δὲ, ὅπου ἂν αὐτὸς βούλει, ἕψομαι. καὶ πάλιν οὗτος διὰ τῶν ἐρωτήσεων κατηνάγκα- D ζε. Τότε γοῦν καὶ αὐτὸς πρὸς τοῦτον ἀπέφην, ὡς δεῖ ἡμᾶς τὴν πρὸς τοὺς Βαρδαριώτας βαδίσαι, τοῦτο γάρ μοι δοκεῖ καὶ μᾶλλον συμφέρον σοι. καὶ γέγονεν οὕτως. καὶ ἐς τῶν Βαρδαριωτῶν ἀπῄειμεν τὰς σκηνάς. ἰδὼν δέ με ὁ αὐτῶν Πριμμικήριος, θαυμάσας ἐρώτα, τί ἂν βουλόμενος περὶ τὴν αὐτοῦ σκηνὴν ἀφικόμην. καὶ ἔγωγε, μικρᾶς, ἔφην, ἀναπαύσεως χρῄζω. βραχὺ γοῦν τι προσεκαρτέρησα τοῖς ἐκεῖσε. ἤδη γὰρ καὶ ὁ Πριμμικήριος ἐμεμαθήκει τὰ κατ' ἐμέ. ὁ δὲ Βασιλεὺς οὐδ' εἰς πολὺ μελάσας, διεμηνύσατο εἰς τὴν σκηνὴν ἀφικέσθαι με. Δεδιὼς δὲ μή πως τῇ λύπῃ καταχθεὶς φυγῇ χρήσωμαι, προσέταξε μοῖραν τινὰ στρατιωτικὴν, περιστοιχίσαι E μου τὴν σκηνὴν, καὶ λεληθότως φυλάττειν με. Ἐγὼ μὲν οὖν εἰς τὴν οἰκείαν ἀφιγμένος σκηνὴν, ἀσύχως ἐν αὐτῇ τὸν καιρὸν διεβίβαζον, οὔτε ἐν ἀνακτόροις βαδίζων, οὐδέ τινι τῶν ἐπιτηδείων, καὶ συνήθων προσομιλῶν, ἀλλ' ἢ ταῖς βίβλοις προσανέχων, καὶ ἀναγνώσει χρώμενος, καὶ τροφῆς μεταλαμβάνων κατὰ καιρόν. ἱκαναὶ γοῦν ἡμέραι οὕτω πως μου ἔχοντος παρῳχήκεισαν. Καὶ ὁ Βασιλεὺς ἠγανάκτει τὸ σκληρὸν μου καθορῶν τοῦ φρονήματος. παρῄει γοῦν ὅλος ὁ Αὔγουστος, καὶ οὐδ' ὅλως ἐν-

δοιῶ

τὸ στρατιωτικὸν συλλέξας, ὡς δι' ἑαυτοῦ τὴν πρὸς τὸν αὐτοῦ πενθερὸν συμμαχίαν πεποίηκεν· ἦγε δὲ οὗτος ἀπειροπληθὲς τὸ ὁπλιτικὸν, ἔκ τε γὰρ τοῦ Φραγγικοῦ γένους ἐτύγχανε, καὶ ἐκ τῶν οἰκητόρων Ῥωμαίων, Ἀχαΐας τε καὶ Πελοποννήσου, ὧν οὗτος ἦρχε. οἱ πλείους δὲ τῶν τῶν Λατίνων ὑπῆρχον γένους. συνήθροιστο γοῦν παμπληθὴς στρατιὰ, καὶ κατὰ τοῦ αὐταδέλφου τοῦ Αὐτοκράτορος τοῦ Σεβαστοκράτορος Ἰωάννου τὴν ὁρμὴν ἐποιεῖτο. ὁ δὲ, καὶ γὰρ εἶχε τὰς συμβουλὰς ἀγαθὰς ἐκ τοῦ αὐταδέλφου καὶ Βασιλέως, στρατηγικῶς τοὺς ἀντιπάλους μετήρχετο. ἐκείνους μὲν γὰρ μετὰ τῶν καταφράκτων, καὶ θώραξι κεχρημένων δυνάμεων τὰ ἐχυρώτερα τῶν τόπων ἐκράτει, τοῖς δὲ ἐλαφροτέροις τῶν ὁπλιτῶν, καὶ οἷς τὸ κινεῖσθαι ῥᾷον ὡς κουφοτέροις τὴν κατὰ τὰς πεδιάδας μάχην ποιεῖσθαι πρὸς τοὺς ἀντιπάλους προσέταττεν. ἦσαν δὲ οὗτοι, οἱ μὲν ἐκ Σκυθῶν, οἱ δὲ ἐκ Τούρκων, πολλοὶ δὲ καὶ ἐκ τῶν Ῥωμαϊκῶν φύλων, οἷς καὶ μᾶλλον ἡ τοξεία τὸ ἐπιτήδευμα. Οὗτοι μὲν οὖν τοῖς ἐναντίοις προσβάλλοντες μακρόθεν τοῖς βέλεσιν ἔπληττον. ἄρξαντο μὲν οὖν ἐκ τοῦ τόπου, οὗ Βορίλα Λόγγος τοὔνομα, ξυμπίπτειν τοῖς ἐναντίοις. οὔτε γοῦν ἡμέρας ἀνέτως βαδίζειν αὐτοῖς παρεχώρουν, οὔτε νυκτὸς ἠρεμεῖν. συνερρήγνυντο γὰρ αὐτοῖς, ἡμέρας μὲν ἐν τοῖς τῶν ἵππων ποτοῖς, εἴπου τοῖς μακροτέροις ἀπῄει τῶν ἵππων ποτίσαι. ξυνέπιπτον δὲ τούτοις καὶ καθ' ὁδὸν, καὶ ταῖς ἁμάξαις, καὶ τοῖς φορταγωγοῖς ὑποζυγίοις προσπελάζοντες, ἐκ τῶν παρ' αὐτοῖς φορτίων ἐσκύλευον ὑποχωρούντων τῶν φυλαττόντων· τοῦτο δὲ πολλάκις πεποιηκότες εἰς θάρσος κατὰ τῶν ἐναντίων οὐ μέτριον ἐληλάκασιν, ὥστε καὶ χερσὶ χεῖρας ἐμβάλλειν, κἀκ αὐτῶν σκυλεύειν τὰ προστυχόντα. τὸ μὲν οὖν ἀντάρτου Μιχαὴλ κἀκ τούτου συνέσταλτο στράτευμα, καὶ εἰς πτοίαν οὐ μικρὰν κατεληλύθει. σχεδὸν γὰρ πᾶσαν σωτηρίαν ἀπηγορεύκει. βίᾳ γοῦν καὶ μόγις Στανὸν, καὶ Σωσκὸν, καὶ Μολυσκὸν παραμείψαντες, σκοπὸς γὰρ ἦν αὐτοῖς εἰς τὸ τοῦ Πριλάπου ἄστυ γενέσθαι, ὅπως αὐτὸ περισώσειαν. ἐκεῖσε γεγονότες εἰς οἰκείαν ἕκαστος μετασκεδασθέντες βουλὴν, τὸ περὶ ψυχῆς τρέχειν, ὅπως ἂν εἶχεν ἰσχύος, βεβούλευνται. καὶ ὁ μὲν ἀποστάτης Μιχαὴλ μετὰ τοῦ υἱοῦ αὐτοῦ Νικηφόρου καί τινων ἄλλων μετρίων ἀνδρῶν, οἷς καὶ εἴωθεν ἐμπιστεύειν τὰς αὐτοῦ πράξεις, νυκτὸς τοῖς ἵπποις ἐποχηθέντες ἀπέδρασαν, καλῶς τὰς τῶν ὁδῶν ἐπιστάμενοι. ἕωθεν δὲ ἡμέρας ἤδη γεγενημένης, ὡς οἱ τοῦ στρατεύματος ἔγνωσαν τὸν Μιχαὴλ ἀποδράντα, ἤδη καὶ αὐτοὶ πρὸς φυγὴν ἐτράποντο. τὸ μὲν οὖν Ῥωμαϊκὸν στράτευμα, καὶ οἱ κρείττους τῶν ἐπικρατούντων αὐτὸ, καὶ ὁ νόθος τοῦ ἀποστάτου υἱὸς Ἰωάννης τῷ Σεβαστοκράτορι Ἰωάννῃ προσῆλθον, καὶ χεῖρας αὐτῷ δεδώκασι, καὶ τῷ Βασιλεῖ τοὺς ὅρκους ἀπέδοντο. ὁ δὲ Πρίγκιψ Ἀχαΐας, καὶ οἱ μετ' αὐτοῦ ἄλλος ἀλλαχοῦ διεσπάρησαν. καὶ ὁ μὲν Πρίγκιψ κατὰ τὴν Καστορίαν ἑάλω, ὑπὸ ἀχυρμιᾷ τινὶ κρυβεὶς, κἀκ τῶν ὀδόντων τῷ τινι στρατιωτῶν γνωρισθείς. Εἶχε γὰρ τοὺς ἐμπροσθίους ἐν μεγέθει, καὶ προβεβλημένους τῶν φατνωμάτων, καὶ δέσμιος ἀπήχθη τῷ Βασιλεῖ. οἱ δὲ κρείττους τῶν ταγμάτων αὐτοῦ, καὶ προσγενεῖς, ἅτε Ἀσέλδε Τουσὶ, ὁ τῆς Καρυτανίας Ἰοφρὲ, καὶ ἄλλοι τῶν ὀνομαστῶν πλείους, οἱ μὲν κατὰ τὸν Πλαταμῶνα, οἱ δὲ κατὰ ἄλλο μέρος ἑάλωσαν, καὶ δεσμῶται τῷ Βασιλεῖ συναπήχθησαν. καὶ τὸ συμμαχικὸν δὲ στράτευμα τὸ ἐκ τοῦ Ῥηγὸς Σικελίας τοῦ Μαφρὲ τῷ ἀποστάτῃ ἀποσταλὲν, ὡς εἰς τετρα-

A so exercitu collecto per semetipsam socerum auxilium tulit. Hic armatum agmen, atque innumerabile e natione Francica, & Romanis Achajæ, & Peloponnesi, quibus ipse imperabat, incolis, licet potissimam illius partem miles Latinus compleret, lectum ducebat. Amplissimo itaque exercitu comparato adversus Joannem Sebastocratorem Imperatoris fratrem bellum apparabat: qui fratris sui Imperatoris proficuis monitis, ac consiliis innixus, militari calliditate adversarios eludebat: cum milite quippe undequaque armato, & thorace communito loca magis ardua detinebat, at leviori armatura indutum, & qui veluti agilior quocumque vellet expeditius se moveret, in planicie, &
B agris cum hostibus confligere jusserat; pars eorum Scythæ, alii Turcæ, plerique etiam e Romana gente, quibus sagittandi peritia inerat. Hi cum hostibus minus conferentes eminus telis ferire, & e loco, cui Borilæ Longo nomen est, adversarios urgere, quibus neque per diem iter sine molestia conficere, neque noctu quiescere concedebatur; namque interdiu dum equi aquatum ducerentur, confligere, siquis ad potandum equum longius processisset, illis etiam inter eundum congredi, & plaustris, jumentisque onerariis propinquantes, res, quas illi conducerent, nec custodibus renuentibus, rapere: atque id ubi sæpius perpetrarunt, animis adversus hostes ingentibus
C resumptis, res ad mucrones & manus adductæ, obvia quæque ex illis prædari. Igitur Defectoris Michaelis exercitus hac quoque ratione attritus est, timoreque non modico lacessitus de salute propria desperaverat. Ut tandem, & maximo suorum incommodo Stanum, Soscum, ac Molyscum penetrantes; nam illis in animo erat ad Prilapi oppidum, ac illi suppetias ferrent, proficisci, ubi ad ea loca pervenere, propriæ quilibet opinioni servientes, extrema quæque tentare, & pro anima, ut dicitur currere, pro viribus instituerunt. Interea Defector Michael, & filius Nicephorus cum nonnullis, sed valde paucis, quibus cum consilia sua, & actiones communicare
D fueverat noctu equis invecti, viasque bene instructi sese repente abripiunt. Mane ubi dies processit, milites Michaelis fugam cognoscentes una & ipsi in fugam impelluntur Romanum agmen, & qui illud ducebant præstantiores, & Defectoris Spurius filius Joannes Sebastocratori Joanni accurrentes se dedunt, & Imperatori fidem sacramento obligant. Princeps vero Achajæ, sociique, alius alio dispersi sunt. Princeps apud Castoriam capitur sub palearum acervo absconditus, sed ex dentibus a quodam milite cognitus, namque dentes anteriores ingenti magnitudine prominebant, & colligatus ad Imperatorem advehitur. Agminum nobiliores, affinesque Aseldetusi, & Caritaniæ Jophredus, alii-
E que illustrium plures, Platamone, alioque in loco capti, vinctique ad Imperatorem conducuntur; auxiliaris item manus a Manfredo Siciliæ rege Defectori transmissa, ad quadringentos, ut diximus, numerata, cum armis, & equis a

Edit. Paris. pag. 94

quatuor hominibus, magno nempe Domestico Alexio Strategopulo, Nicephoro Rimpsa, qui Turca origine, Christianis nomen dederat, quorum fidem ingenuissime coluit, & aliis duobus, quorum nomina tempus nobis invidit, debellata est. Et hi quoque constricti vinculis ad Imperatorem transportantur. Hac victoria nostri imperatoriis consiliis potiti sunt, adeout fama illius ad ultima quæque orbis terrarum penetrarit. Neque enim tales victorias plures Sol vidit. Tunc porro oppida omnia, & regionem universam nostri subegerunt.

LXXXII. Postmodum Joannes Sebastocrator Thessaliam prætergressus, & in ea oppidis, ac castellis communitis, ad novam Patram una secum Spurium Michaelis Defectoris filium defereos, locat tentoria. Magnus Domesticus Alexius Strategopulus, & Joannes Raulus Pyrenæos montes transeuntes Artam properant, Joanninis militum manu ad obsidendum oppidum relicta. Artam itaque hi penetrarunt, in ea cum illis ipse quoque in colloquium veni, & paucos dies quotidianis congressibus versatus, rebusque dispositis Arta egredior, cum multitudo illa non bene erga nostros afficeretur: milites enim non æquos se illis præbuerant. Ideoque victoria illa, quæ Romanis illuxerat, omnium ore concelebrata, non diu post in contrarium dilapsa est. Ipse recta via ad Joannem Sebastocratorem Imperatoris fratrem, apud novam Patram agentem profectus, & nonnullos dies cum eo moratus, iter ad Imperatorem ingredior. Filius spurius Defectoris Michaelis Joannes Sebastocratori assideos, cum quibusdam aliis defectionem meditabatur; & dum Sebastocrator Joannes adversus Latinos progressus, præterita Lebadia Thebas prædarentur, quam secum conceperat, palam defectionem parturit, & cum quibusdam aliis sceleris conseiis fuga arrepta ad Defectorem Michaelem patrem proficiscitur. Ille re improvisa turbatus, ubi pedem figeret, nescire, sed naviculas ipse, & filius Nicephorus, & uxor, & ex familiaribus quidam conscendentes in mare moras trahere, & circum circa insulas, Leucada nempe, & Cephalenem divertere. Sed quando illius filius spurius Joanoes ad eum, ut innuimus, accessit, exuta socordia, segnitieque deposita, animos assumens, Artam contendere. Eo appulsus cives universos in se propensos comperiens (sub ditione quoque sua ad illum diem Bonditzæ oppidum remanserat (quos ibi offendit, simul collectis, nostros de finibus Artæ expellit, & Joannina obsidentes longius ab obsidione removet. Sic denuo Romana res affligi cœpit, & quæ imperatoriis adhortationibus prospere gesta fuerant, Ducum inobedientia, ac socordia in nihilum fere, aut satis parum redacta sunt. Interim Imperatoris frater Joannes Sebastocrator, & socer illius Tornicius

Edit. Paris. pag. 95.

A κοσίους, ὡς εἰρήκειμεν, κεκθημαμένον, αὐτοῖς ὅπλοις, αὐτοῖς ἵπποις ὑπὸ τεττάρων ἀνδρῶν κατεσχέθησαν. ἀφ' ὧν ὁ μὲν εἷς ἦν ὁ μέγας Δομέστικος ὁ Στρατηγόπουλος Ἀλέξιος, ἅτερος δὲ ὁ Ριμψᾶς Νικηφόρος ἐκ Τούρκων ἕλκων τὸ γένος, ὀρθότατος δὲ γεγονημένος Χριστιανός. οἱ δὲ δύο τῶν ἀνωνύμων ὑπῆρχον. καὶ τούτους γοῦν δεσμώτας πρὸς τὸν Βασιλέα ἐξέπεμψαν. Τοιαύτην γοῦν νίκην οἱ τῶν ἡμετέρων ταῖς βασιλικαῖς κατορθώσαντο. Ὥστε τὴν αὐτῆς φήμην, εἰς πάντα τῆς γῆς περιέναι τὰ πέρατα. ὀλίγας γὰρ τοιαύτας νίκας εἶδεν ὁ ἥλιος. τηνικαῦτα γοῦν πάντα τε τὰ ἄστη καὶ πᾶσαν χώραν, ὑφ' ἑαυτοὺς πεποίηνται οἱ ἡμέτεροι.

B πβ. Ὁ μὲν οὖν Σεβαστοκράτωρ Ἰωάννης τὴν Θετταλίαν παραμείψας, καὶ τὰ ἐν αὐτῇ ἄστη τε καὶ φρούρια ὀχυρωσάμενος περὶ τὴν νέαν Πάτραν ἐστρατοπεδεύσατο ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν νόθον υἱὸν τοῦ ἀποστάτου Μιχαὴλ Ἰωάννην. Ὁ δὲ μέγας Δομέστικος ὁ Στρατηγόπουλος Ἀλέξιος, καὶ ὁ Ραοὺλ Ἰωάννης τὰ Πυρρηναῖα ὑπερβάντες ὄρη περὶ τὴν Ἄρτην ἐχώρουν, καταλειπόντος ἐν τοῖς Ἰωαννίνοις στράτευμα μετρικὸν εἰς πολιορκίαν τοῦ ἄστεος. κατέλαβον οὖν οὗτοι τὴν Ἄρταν, κἀκεῖσε γοῦν καὶ αὐτὸς τούτοις ξυνεντυχήκειν, οἷς καὶ πρὸς ὀλίγας ἡμέρας συνομιλήσας, κἄπειτα δὲ συνταξάμενος τῆς Ἄρτης ἐξῄειν καταλιπὼν τὸν ἐκεῖσε λαὸν οὐκ εὐνοϊκῶς πρὸς τοὺς ἡμετέρους διακείμενον.

C οὐ γὰρ καλῶς αἱ τῶν στρατευμάτων τούτοις ἐχρήσαντο. Διὰ ταῦτα καὶ ἡ περιφανεστάτη ἐκείνη νίκη τοῖς Ῥωμαίοις ἐπιλάμψασα ἐν οὐ πολλῷ τῷ χρόνῳ πρὸς τοὐναντίον κεχώρηκεν. ἀπῄειν οὖν ἐξορθῶ πρὸς τὸν Σεβαστοκράτορα Ἰωάννην τὸν τοῦ Βασιλέως αὐτάδελφον περὶ τὴν νέαν Πάτραν διάγοντα, καί τινας ἡμέρας μετ' αὐτοῦ διακαρτερήσας, τῆς πρὸς τὸν Βασιλέα φερούσης ἡψάμην. Ὁ μὲν οὖν νόθος υἱὸς τοῦ ἀποστάτου Μιχαὴλ Ἰωάννης τῷ Σεβαστοκράτορι ξυνών, ἀποστασίαν μετὰ καὶ ἄλλων τινῶν ἐμελέτα. καὶ ἐπεὶ ὁ Σεβαστοκράτωρ Ἰωάννης κατὰ τῶν Λατίνων κεχώρηκε, καὶ τὴν Λεβαδίαν παραμείψας τὰς Θήβας ἐσκύλευε, τὴν ἣν ὤδινεν οὗτος ἀποστασίαν εἰς προῦπτον προήγαγε.

D φησι· καὶ μετὰ καὶ ἄλλων τινῶν ἀποδρὰς περὶ τὸν ἀποστάτην Μιχαὴλ τὸν πατέρα αὐτοῦ ἀπῄει. Ἐκεῖνος μὲν οὖν τῷ ἀθρόῳ τοῦ πράγματος ταραχθεὶς οὐκ εἶχεν, ὅποι γῆς σταίη. ἀλλ' ἐν πλοιαρίοις ἐμβάντες αὐτός τε καὶ ὁ υἱὸς αὐτοῦ Νικηφόρος, καὶ ἡ σύζυγος τούτου, καί τινες τῶν αὐτοῦ τὰς διατριβὰς ἐν τῇ θαλάττῃ ἐποίουν, τάς τε νήσους τὰς πέριξ καταγώγιον εἶχον, Λευκάδα δηλαδὴ καὶ τὰς τῶν Κεφαλλήνων. ἀλλ' ἐπεὶ ὁ τούτου νόθος υἱὸς Ἰωάννης πρὸς αὐτὸν ἀπῄει, καθὰ δεδήλωται, ἀνερρώσθη τῆς ῥαθυμίας, καὶ τὸν ὄκνον ἀποσεισάμενος περὶ τὴν Ἄρτην ἐβάδιζε· κἀκεῖσε δὲ ἀφιγμένος, ἐπεὶ τοὺς πάντας οἰκήτορας προστεθειμένους εὗρεν αὐτῷ, εἶχε δὲ καὶ τὸ τῆς Βονδίτζης ἄστυ παρὰ τοῦ μέρους τούτου κρατούμενον, συναγαγὼν τοὺς ἐκεῖσε διευρισκομένους τοὺς ἡμετέρους τῶν ὁρίων τῆς Ἄρτης ἐξήλασεν. ἀλλὰ καὶ τοὺς πολιορκοῦντας τὰ Ἰωάννινα, μακρὰν τῶν Ἰωαννίνων πεποίηκεν. οὕτω μὲν οὖν ἀρχὴν κακῶν τὰ τῶν Ῥωμαίων εἴληχε πράγματα, καὶ τὰ καλῶς ταῖς βασιλικαῖς συμβουλίαις γεγενημένα ταῖς τῶν στρατηγούντων ἀνηκοΐαις, ἀταραξίαις εἰς τὸ μηδὲν σχεδὸν, ἢ καὶ πάνυ σμικρὸν καταντήκασιν. Ὁ μὲν οὖν αὐτάδελφος τοῦ Βασιλέως ὁ Σεβαστοκράτωρ Ἰωάννης, καὶ ὁ πενθερὸς αὐτοῦ ὁ Τορνίκιος Κωνσταντῖνος τῆς μάχης ἐξιόντες, εἰς τὸν Αὐλῶ-

κράτορα ἐπανέζευξαν περὶ τὴν Λάμψακον ὄντα, καὶ τὰς διατριβὰς ἐκεῖσε ποιούμενον. τὸν μὲν οὖν Σεβαστοκράτορα Ἰωάννην ὁ Βασιλεὺς τῷ τῶν Δεσποτῶν τετίμηκεν ἀξιώματι, ἀντίχαριν οἷον τῆς νίκης τοῦτο διδούς, καὶ ἵνα τοῖς μαχομένοις τούτῳ προσώποις ἀντισταθμίζοιτο, Δεσπότης πρὸς Δεσπότας μαχόμενος. τὸν δὲ πενθερὸν αὐτοῦ τὸν Τορνίκιον Κωνσταντῖνον μέγαν Πριμμικήριον ὄντα τῷ τῶν Σεβαστοκρατόρων τετίμηκεν ἀξιώματι. ἀλλὰ καὶ τὸν αὐτάδελφον αὐτοῦ Κωνσταντῖνον ἐκ Καισάρων Σεβαστοκράτορα κατωνόμασεν. ἐν τούτοις δὲ τὰ τῶν Σεβαστοκρατόρων διάφορον, ἐν οἷς ὁ μὲν αὐτάδελφος τοῦ Βασιλέως τοῖς κυανοῖς πεδίλοις ἐγκεκολλημμένους εἶχε, καὶ χρυσοϋφεῖς ἀετούς, ὁ δὲ Τορνίκιος γυμνὰ τούτων τὰ πέδιλα ἐπεδίδυτο. Ἀλλὰ καὶ τὸν Στρατηγόπουλον Ἀλέξιον μέγαν Δομέστικον ὁ Αὐτοκράτωρ τετιμηκώς, διʼ ἀποστολῆς τετίμηκε Καίσαρα, καὶ πόμπιμον αὐτῷ τὴν τιμὴν χαρισάμενος. καὶ ταῦτα μὲν οὕτω ξυνέβη.

πγ΄. Ὁ δὲ Βασιλεὺς παραχειμάσας ἐν τῇ Λαμψάκῳ, ἔαρος ἐπιλάμψαντος κατὰ τῆς Κωνσταντίνου κεχώρηκεν. ἅπασα γὰρ ἦν αὐτῷ σπουδή, καὶ ἅπας σκοπὸς τὴν τῶν Λατίνων χειρὸς ἀναρρύσασθαι. Ἐπῆλθε γοῦν κατὰ τῆς Κωνσταντινουπόλεως οὐ τοῖς στρατεύμασι τεθαρρηκώς, οὐδὲ γὰρ ἦγεν ἀξιόμαχον στρατιὰν εἰς τοιαύτης πόλεως πολιόρκησιν, ἀλλὰ λόγοις τοῖς τοῦ ἐξαδέλφου αὐτοῦ, οὗ τὸ ὄνομα Ἀσὲλ ἐξηπατημένος· ἀπάτα καὶ γὰρ τὸν Βασιλέα, ὡς αὐτὸς ἐν τῷ τείχει τῆς πόλεως τὴν οἰκίαν ἔχει, καὶ πύλας ἔχει παρʼ αὐτοῦ δεσποζομένας, διʼ ὧν δύναιτʼ ἂν τὰ τοῦ Βασιλέως στρατεύματα ἔνδον τῆς πόλεως ἀψοφητί, καὶ δίχα μάχης, εἰσαγαγεῖν. καὶ ἐπιστεύετο λέγων ταῦτα. τό, τε γὰρ συγγενὲς φαντασίαν ἐδίδου τοῦ ἀληθεύειν τὸν ἄνθρωπον, καὶ τὸ πλειόνων δωρημάτων τε καὶ τιμῶν τὸ ὑποσχέσεις ὀμωμοκὼς λαβόντα Φράγγων * * * * ἐν τῇ τοῦ Πρίγκιπος Ἀχαΐας μάχῃ, καὶ προσδοκήσας δεινά, μάλιστα μεμοιρήκει πολλῶν ἀγαθῶν, ὅτε καὶ τὰς τοιαύτας ὑποσχέσεις τῷ Βασιλεῖ δέδωκε, καὶ τὰς πρὸς αὐτὸν ἀντεδέξατο· τούτοις οὖν, ὡς ἔφημεν, ἐλπίσας ὁ Βασιλεὺς κατὰ τῆς Κωνσταντίνου ἐπῄει, καὶ ἀντιπέραν τοῦ Βορείου κέρως τῆς πόλεως ἐν τῷ τόπῳ τοῦ Γαλατᾶ κατονομαζομένῳ, ἐστρατοπεδεύσατο, καὶ τὸ μὲν δοκεῖν τὸ τοῦ Γαλατᾶ ἐμάχετο φρούριον, τῇ δʼ ἀληθείᾳ κρύφα πρὸς τὸν Ἀσὲλ ἔπεμπεν, ὅπως τὰς ὑποσχέσεις πληρώσειεν. ὁ δὲ πρὸς κέρδος ἑώρα, οὐ πρὸς ἀλήθειαν. ψευδεῖς γοῦν ἐποιεῖτο τὰς ἀποκρίσεις, ἄλλα ἐπʼ ἄλλοις προφασιζόμενος· Ἐπεὶ γοῦν ἱκανὸς παρερρύη χρόνος, καὶ οὐδὲν ἤνυεν, ἀλλὰ καὶ τῆς στρατιᾶς ὁπλισθείσης, καὶ νυκτὸς ἀπιούσης, καὶ τῇ οἰκίᾳ τούτου προσεγγισάσης, τοῦτο γὰρ ἐκεῖνος γενέσθαι διεμηνύσατο, τότε ψεύδεσθαι πεφώραται φανερῶς· καὶ ἐπεὶ οὐκ εἶχέ τινα εὔλογον ἀπολογίαν ποιήσασθαι, τὴν αἰτίαν εἰς τὸν ἄρχοντα τῆς πόλεως ἔθετο. ὑπώπτευσε γάρ, εἴρηκεν οὗτος, ὡς οὐ καλόν ἐστι τὰς κλεῖς με τῶν τῆς πόλεως κατέχειν πυλῶν. καὶ διὰ ταῦτα εἴληφε ταύτας αὐτός. καὶ διὰ τοῦτο ἔγωγε περὶ τὸ ἔργον ἀδυνατῶ. Ἐπεὶ οὖν καθαρῶς τὴν τοῦ ἀνθρώπου ἀπάτην ἐπεγνώκει ὁ Βασιλεὺς ἐξῄει τοῦ τόπου. καθʼ ὁδὸν δὲ τρεῖς πρέσβεις εἰρήνην αἰτοῦντας πρὸς τὸν Βασιλέα οἱ Λατῖνοι πεπόμφασιν. ὁ δὲ Βασιλεὺς πεποίηκε ταύτην, εἰς ἐνιαυτὸν δὲ καὶ μόνον ἕνα ἐν στενῷ κομιδῆ ἐπισφίγξας τούτοις τὰ πράγματα.

Georg. Acrop. Hist.

A Constantinus pugna dimissa ad Imperatorem Lampsaci eo tempore moras trahentem, remeant. Imperator Sebastocratorem Joannem Despotarum dignitate adornavit, ob victoriam partam, remunerans, & ut ex dignitate personis, quibus cum bella gesserat, Despota cum Despotis confligens exæquaret: Socerum vero illius Constantinum Tornicium magnum Primicerium, Sebastocratoris munere insignivit. Sed & fratrem illius germanum Constantinum ex Cæsare Sebastocratorem indigitarit. Et in his Sebastocratores differebant, nam Imperatoris frater in ceruleis calceis aquilas auro contextas deferebat, Tornicius nudo hisce insignibus calceo utebatur. Quinimo & *Edit. Paris. pag. 96.*

B Alexium Strategopulum magnum Domesticum antea condecoratum per epistolam Cæsarem instituit, missilem illi dignitatem elargitus. Et hæc quidem ita evenere.

LXXXIII. Imperator cum Lampsaci hybernasset, appetente vere, Constantinopolim commeat: namque quamcupidissime appetebat, omnesque suos eo referebat conatus, ut Latinorum e manu in libertatem Constantinopolim vindicaret. Hinc profectus est adversus Constantinopolim, non copiis fretus, neque enim tantum exercitum, qui similem civitatem obsidione posset cingere secum ducebat, sed consobrini sui, cui nomen erat Aseli sermonibus deceptus. Ille etenim mala fraude Imperatorem

C eludebat, se, inquiens, penes urbis mœnia ædem habere, portasque in sua potestate esse, per quas Imperatoris copias intra urbem sine strepitu, & sine pugna quiret intromittere. His sermonibus sibi in dicendo fidem conciliabat. Affinitas enim, & muneribus, ac honoribus eum auctum fuisse, & adversus Achajæ principem pugnæ multa incommoda passum, multis bonis, ac gratiis affluenter abundasse tunc, cum Imperatori ea promissa dederat, aliaque ab Imperatore ipse receperat, hominem vera dicere suadebant. Igitur his fidens Imperator in Constantinopolim arma movet, & ex adverso Borealis cornu urbis in loco Galata vocato, castrametatur.

D Et, ut quidem videbatur Galatæ oppidum oppugnabat, re tamen vera clanculum per internuncios Aselem sollicitabat, ut fidem solveret suam: ille ad lucrum non ad veritatem inhians fallacibus, ac captiosis responsionibus alia, atque alia confingens, rem protrahebat. Verumtamen cum tempus diutinum procederet, ipseque nihil efficeret, immo etiam armatis cohortibus, noctuque progressis illius ad domum appropinquatum fuisset, id enim ille, ut fieret, denunciarat, eum mendacio fallere, & vera confundere palam deprehenditur. Et cum ipse responsionem, qua objectis fieri satis posset, haud haberet, crimen in urbis principem referebat. *Neque enim decorum illi videbatur penes me*, ajebat ille,

E *claves urbis esse, ideoque eas abstulit, & ego opus perficere nequeo.* Sic fraude hominis plane detecta, Imperator loco egreditur. In itinere tres Legati a Latinis ad Imperatorem missi pacem petunt quam illis Imperator non uno amplius anno concessit, cum res eorum in extremum jam discrimen adduxisset. *pag. 97.*

LXXXIV. Igitus Imperator Hellespontum trans abiit, & Pegarum partes, ubi moras trahebat, occupat: cum vero æstas præterlapsa fuisset, necnon Autumni tempus excurrisset, inde discedens, ad quietem Imperatoribus de more, ea eo, quo Constantinopoli extorres tempore oberrabant, destinatam, Nymphæum pervenit. Me porro ad Constantinum Bulgarorum principem Legatum mittit: abii, & cum eo pes aliquos dies versatus sum. Namque ea tempestate festi dies Christi Natalium, ac Baptismatis, quibus Bulgarorum principes magnificentiam ostentant, celebrabantur: ideoque Bulgarorum princeps Constantinus, ut cum eis tunc oculatus eorum, quæ fiebant, spectator adessem cogebat. Mandata itaque mihi imposita executus Trinobo ex eo, & ad Imperatorem tunc Nymphæi cunctantem, in quo & hybesnaverat, me confero. Ineunte vere ille Nymphæo egreditur, prius ibidem læto, ac splendido Resurrectionis Dominicæ die concelebrato. Et dies aliquot Phlebiis egit, inde ad locum Clyzomenem dictum veniens, tentoria collocat. Namque ibi Nymphæo exeuntes, tempus conterere, & veris plerumque agere Imperatores sueverant. Campus undique planicie eacurrit, agro fertili, atque herboso, qui plurimis equis alendis suffecerit, aquis irriguo, & multorum vicorum, ac urbium vicinitate, unde vitæ necessaria affluentes suppeditantur, peropportuno. In eo, cum esset Imperator, Sebastocrator Tornicius Nicæa accedens pro Expatriarcha Arsenio moleste Imperatorem rogat. Patriarchale siquidem solium Nicephoro Patriarcha, qui in Patriarchale culmen ea Ephesino Metropolita ascenderat, ex terreno ad cælestia promoto, cum nec integro anno Patriarchatui præfuisset, sessore destituebatus. Arsenius ab Imperatore Theodoro in Patriarcham fuerat electus, vir & verbo & opere quam dexterrimus, & sermone præcipue, qui natura inditur, namque qui eruditione comparatur, parum omnino degustaverat. Etenim cum nonnulla ea Encycliis philosophatus perdidicisset, ne horum penitus inexpertus haberetur, neque ea ignorare, quæ ipse negligere sibi in animo proposuerat, videretur, telo divini amoris corde saucius, rebus terrenis omnibus, a quibus se avelli ægre plerique sustinent, contemptis, Monastico instituto nomen dederat. Hic imperatoria corona Imperatorem condecoraverat: sed eum suis votis minime obtemperantem conspicatus, iniquior cum eo inimicitias exarcuit: Neque ab eo abhorruerat Andronicus Sardensis, & Manuel Thessalonicensis, cognomine Opsara. Sed Sardensis quando Imperator Constantinopolim castra movit, & prope eam sedem locavit ab Joannicio Philadelphiensi Monastico pallio induitur; ille enim continuo, & non sine molestia Imperatoris animum sollicitabat, ut proficiscendi sibi daretur facultas Paphlagoniam, unde ipse ortum ducebat; sed Imperator distorta hominis sensa apprime callens, ne in eas partes abiret, impediebat: animo enim proposuerat propter eas, quas cum Imperatore simultates exercebat, res Paphlagonum perturbare. Verum Imperator æquissimo cum sermone lacessit. *Sardium, non*

Edit. Paris. Pag. 98.

A πδʹ. Διαπεράσας γοῦν ὁ Βασιλεὺς τὸν Ἑλλήσποντον τὰ τῶν Πηγῶν κατέλαβε μέρη, κἀκεῖσε τὰς διατριβὰς ἐποιεῖτο. Ἐπεὶ δὲ ὁ τοῦ θέρους παρῄει καιρὸς, ἀλλά γε δὴ καὶ ὁ τῆς ὀπώρας ἐῤῥύη, τῶν τοιούτων ἀπάρας χώρων, πρὸς τὴν ἐξ ἔθους τοῖς βασιλεῦσιν οὖσαν ἀνάπαυσιν ἐξότε τῆς Κωνσταντίνου γεγόνασιν ὑπερόριοι, κατειλήφει τὸ Νύμφαιον. Ἐμὲ δὲ πρὸς τὸν ἄρχοντα τῶν Βουλγάρων Κωνσταντῖνον πρέσβιν ἐκπέπομφεν. ἀπῄειν γοῦν πρὸς αὐτὸν, καὶ διεβίβαζα μετ' αὐτοῦ ἡμέρας τινάς. ἔτυχον γὰρ τότε καὶ ἑορτάσιμοι τοῦ Χριστοῦ ἡμέραι, αἵ τε τῶν γενεθλίων, καὶ αἱ τοῦ βαπτίσματος, ἃς οἱ τῶν Βουλγάρων ἄρχοντες λαμπρύνονται μάλιστα, καὶ ἐβούλετο ὁ τῶν Βουλγάρων ἄρχων τότε Κωνσταντῖνος, σφίσιν αὐτοῖς συμμεῖναι κἀμὲ, καὶ B θεατὴν γενέσθαι τῶν τελουμένων. τὰ προσεπιταγμένα μοι γοῦν πληρώσας, τοῦ Τερνόβου ἐξῄειν, καὶ πρὸς τὸν Βασιλέα ἀπῄειν ἐν τῷ Νυμφαίῳ διάγοντα. ἐκεῖσε γοῦν ὁ Βασιλεὺς παρεχείμασε, καὶ ἐπιλάμψαντος ἔαρος τοῦ Νυμφαίου ἐξῄει, τὴν λαμπρὰν τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμέραν προεορτάσας ἐν τῷ Νυμφαίῳ. ἡμέρας δέ τινας ἐν τοῖς Φλεβίοις διαβιβάσας περὶ τόπον ὅτι πως ἐπονομαζόμενον Κλυζομένην, ἀπελθὼν, ἐπήξατο τὰς σκηνάς. ἐκεῖσε καὶ γὰρ εἰώθασιν οἱ Βασιλεῖς τοῦ Νυμφαίου ἐξιόντες χρονοτριβεῖν, καὶ τὸ πλεῖον τοῦ ἐαρινοῦ παραμείβειν καιροῦ. ὅτι γὰρ τόπος πεδιὰς ἅπας καὶ χόρτον προβεβλημένη πολλοῖς ἀρκοῦντα τοῖς ἵπποις· κατάῤῥυτος δὲ τυγχάνει καὶ ὕδασιν. ἐγγὺς δὲ αὐτοῦ καὶ κώμας ἔχει πολ- C λὰς καὶ πόλεις, ἐξ ὧν δαψιλῆ καθεστήκει τὰ ζωαρκῆ. Ἐκεῖσε γὰρ ὄντος τοῦ Βασιλέως καὶ ὁ Σεβαστοκράτωρ ὁ Τορνίκιος ἐκ τῆς Νικαέων ἐπιδεδήμηκε, καὶ διόχλει τῷ βασιλεῖ γεγονὼς διὰ τὸν προπατριαρχεύσαντα Ἀρσένιον. Ὁ γὰρ Πατριαρχικὸς ἐχήρευε θρόνος τοῦ πατριαρχεύσαντος Νικηφόρου, ὃς ἀπὸ τῆς Ἐφέσου εἰς τὸν Πατριαρχικὸν μετετέθη θρόνον, ἀπάραντος τῶν ἐνθένδε πρὸς τὰ οὐράνια, μηδὲ εἰς ὅλον σχεδὸν ἐνιαυτὸν τοῦ Πατριαρχικοῦ ἀπολαύσαντος θρόνου. ὁ δὲ Ἀρσένιος οὗτος ἦν προβεβλημένος εἰς Πατριαρχικὸν θρόνον πρὸς τοῦ βασιλέως Θεοδώρου, ἀνὴρ καὶ εἰς λόγον καὶ εἰς πρᾶξιν πανευφυέστατος, καὶ λόγον μάλιστα τὸν ἐκ φύσεώς πως προβαλλόμενος, τοῦ γὰρ ἐκ παιδείας μικρόν τι μετεῖχεν. ὀλίγα γάρ τινα τῶν D ἐγκυκλίων φιλοσοφήσας τοῦ μὴ δοκεῖν παντάπασι τῶν τοιούτων ἀπείρως ἔχειν, μηδὲ ἀγνοεῖν, ὧν ὑπερορᾶν ἐδοκίμασε. τῷ βέλει τοῦ πρὸς Θεὸν ἔρωτος τρωθεὶς τὴν ψυχὴν, πᾶσι τοῖς κατὰ κόσμον, ὧν οὐκ εὐχερῶς ἔχουσιν οἱ πλείους ἀφίστασθαι, χαίρειν εἰπὼν, τὸν μονήρη βίον προείλετο. οὗτος τὴν Αὐτοκρατορικὴν ἀπεπλήρου στεφηφορίαν τῷ Βασιλεῖ. ἐπεὶ δ' οὐχ ἑώρα τοῦτον τοῖς ἑαυτοῦ θελήμασιν ὑπεικόμενον, δύσνους περὶ τοῦτον ἐγένετο, ἔχων ἐν ταύτῃ συνίστορας τὸν Σάρδεων Ἀνδρόνικον, καὶ τὸν Θεσσαλονίκης Μανουὴλ, τὸν καὶ Ὀψαρᾶν λεγόμενον. ἀλλ' ὁ μὲν Σάρδεων, ὅτε ὁ Βασιλεὺς κατὰ τῆς Κωνσταντινουπόλεως ἐστρατοπεδεύσατο, καὶ ἐγγὺς ταύτης τὰς ἐπαύλεις ἐποιεῖτο, τότε τὰ τῶν μοναχῶν ἐνεδέδυτο ἀμ- E φια ὑπὸ τοῦ Φιλαδελφείας Ἰωαννικίου. Ὡς γὰρ συχνῶς διηνώχλει τὸν Βασιλέα ἐπιδημῆσαι τῇ Παφλαγόνων, ἐκεῖθεν καὶ γὰρ ὥρμητο, τὸ στρεβλόνουν τοῦ ἀνδρὸς ὁ Βασιλεὺς ἐπιστάμενος, οὐκ εἴα τοῦτον περὶ τὰ ἐκεῖσε μέρη ἀφῖχθαι· σκοπὸς γὰρ ἦν αὐτῷ τὰ τῶν Παφλαγόνων πάντα διαταράξαι τῇ πρὸς τὸν Βασιλέα δυσνοίᾳ. ὁ Βασιλεὺς δὲ δικαιότατον πρὸς τοῦτον ἐποίει τὸν λόγον. ὡς μητροπολίτης κεχειροτόνηται Σάρδεων, οὐκέτι γε μὴν

Παφλαγονίας, καὶ δεῖ σε τοῖς τῶν Σάρδεων ἐμφιλοχωρεῖν μέρεσι, κἀκεῖσε καὶ διατρίβειν, καί σε ποιμαίνειν τὸ ποίμνιον. Ἐπεὶ οὖν ἐγνώκει ἀμετάπτωτον εἶναι τὸ βασιλικὸν βούλημα, μὴ ἔχων ὅτι καὶ δράσειε, τὸν μονήρη βίον προείλετο. ὁ δὲ Θεσσαλονίκης Μανουὴλ ἄκων ἐξιὼν τῆς Νικαίας περί που τὰ ἐγγὺς ἐκείνης διέτριβεν. ὁ δὲ πατριαρχεύσας Ἀρσένιος καὶ αὐτὸς ἐξιὼν ἐκεῖθεν ἔν τινι σεμνείῳ ἑαυτὸν καθείρξας διῆγεν. ἐντεῦθεν συνελθόντες πάντες οἱ ἀρχιερεῖς περὶ τὴν Λάμψακον ψήφῳ πάντων καὶ προσταγῇ βασιλέως ὁ τῆς Ἐφέσου πρόεδρος Νικηφόρος εἰς τὸν Πατριαρχικὸν ἀνήχθη θρόνον. ἀλλ᾽ οὗτος, καθάπερ εἰρήκειν, μήπω ἐνιαυτίσας τὸ βιοῦν ἐξεμέτρησε. Τότε γοῦν ὁ Σεβαστοκράτωρ Τορνίκιος τῇ φιλίᾳ τοῦ Ἀρσενίου προσκείμενος ἠνάγκαζε τὸν βασιλέα, τὸν Ἀρσένιον εἰς τὸν Πατριαρχικὸν καὶ αὖθις θρόνον ἀναγαγεῖν, θαύματά τινα, καὶ πράξεις παρὰ τοῦ Ἀρσενίου ἐνεργούμενα διηγούμενος, καὶ πράγματα διηνεκῶς παρέχων τῷ Βασιλεῖ, πατριαρχεύειν τὸν δύστροπον αὐτῷ βιαζόμενος. ἀλλ᾽ ὁ Βασιλεὺς ἑκὼν ἄκων τῇ τοῦ Σεβαστοκράτορος συμβουλῇ ξυντιθείς, εἰς τὸν Πατριαρχικὸν καὶ αὖθις θρόνον ἀνήγαγε τὸν Ἀρσένιον. καὶ οὕτω μὲν τὰ ἐπὶ τῷ Ἀρσενίῳ.

πέ. Ὁ δὲ Βασιλεὺς τὸν Στρατηγόπουλον Ἀλέξιον τὸν Καίσαρα μετὰ στρατευμάτων τινῶν οἰκονομήσας ἐπὶ τοῖς δυτικοῖς ἐκπέπομφε μέρεσι, τοῖς ἐκεῖσε οὖσι τῶν Ῥωμαίων ὑπεναντίοις ξυνελθεῖν εἰς μάχην, παραγγείλας, ὡς ἐν τῷ διέρχεσθαι, ἐπεὶ τὰ τῆς ὁδοῦ τῆς ἐκεῖσε φερούσης πλησίον ὑπῆρχε τῆς Κωνσταντινουπόλεως, ἔφοδόν τινα κατὰ ταύτης ποιήσασθαι, καὶ μέχρι τῶν πυλῶν αὐτῆς ἐπιδραμεῖν τὰ στρατεύματα, ὡς ἂν πτοία παρ᾽ αὐτῶν τοῖς οὖσιν ἐντὸς Λατίνοις ἐγγένηται. ἐγένετο δὲ τὸ τότε καί τι ξυμβῆναι προνοίᾳ Θεοῦ. ἐπεὶ γὰρ ναῦς μεγίστη κοίλη Λατινικὴ ἐκ Βενετίας εἰς τὴν Κωνσταντίνου ἀφίκετο, καὶ νέος ἐν ταύτῃ ἐξουσιαστὴς παρεγένετο, ὃν καὶ Ποτεστάτον ἐπονομάζουσιν, ἀνήρ, ὡς ἐφάνη δραστήριος καὶ θρασύτερος εἰς τὰ μάχιμα, τοὺς ἐν τῇ Κωνσταντινουπόλει Λατίνους παροτρύνας εἰς μάχην, καὶ ξυμβουλεύσας ὡς δεῖ καὶ ἡμᾶς μὴ μόνον ἐντὸς ὄντας τῆς πόλεως τὴν πόλιν καὶ ἑαυτοὺς φυλάττειν, ἀλλὰ καὶ κατὰ Ῥωμαίων τι δρᾶν, ὡς ἂν μὴ πάντῃ καταφρονητικῶς ἐν τοῖς καθ᾽ ἡμῶν διατίθωνται. Ἔπεισεν οὖν αὐτοὺς εἰσιόντας ἐν ὅσαις εἶχον τριήρεσι, καὶ τισιν ἑτέροις πλοίοις, λεμβαδίοις οἷον καὶ δρόμωσι κατὰ τῆς νήσου Δαφνουσίας χωρῆσαι, εἴπως δυνηθεῖεν αὐτὴν παραστήσασθαι, καὶ σκύλων εὐμοιρῆσαι τῶν ἐξ αὐτῆς. κεκένωται οὖν ἡ πόλις ἀνδρῶν, καὶ ἦν γυναιξὶ καὶ νηπίοις, καὶ τῷ βασιλικῶς τάχα ταύτης κατάρχοντι Βαλδουίνῳ μετά τινων μετρίων ἀνδρῶν διεξαγομένη, καὶ τηρουμένη. αἰφνιδίως οὖν ὁ Στρατηγόπουλος Ἀλέξιος ὁ Καῖσαρ νυκτὸς ἐπιὼν τῇ Κωνσταντίνου προσήγγισεν. Ἐπεὶ δὲ μεθ᾽ ἑαυτοῦ εἶχε καὶ ἄνδρας τινὰς ἐξωρμημένους τῆς πόλεως, καὶ ἀκριβῶς εἰδότας τὰ κατ᾽ αὐτήν, καὶ πυνθανόμενος αὐτῶν ἐμεμαθήκει, ὀπήν τινα εἶναι περὶ τὸ τεῖχος τῆς πόλεως, δι᾽ ἧς ἀνὴρ ὁπλίτης δύναιτ᾽ ἂν ἐντὸς εἰσελθεῖν, μηδόλως μελλήσας τὸ ἔργου εἴχετο, καὶ εἰσῆλθε διὰ ταύτης ἀνὴρ καὶ ἐπηκολούθησεν αὐτῷ ἕτερος, εἶτα ἐκείνῳ ἄλλος, καὶ οὕτω μέχρι τῶν πεντεκαίδεκα, τάχα δὲ καὶ πλείους ἄνδρες ἐντὸς εἰσῆλθον τῆς πόλεως. ἐπεὶ δὲ περὶ τὸ τεῖχος ἕνα εὗρον τὸν ἐμπεπιστευμένον τὴν φυλακήν, τινὲς ἐξ αὐτῶν ἀναβάντες, καὶ τῶν ποδῶν λαβόντες ἔρριψαν ἔξω τῆς πόλεως. οἱ δ᾽ ἄλλοι ἀξίνας ἐγχειρισάμενοι, καὶ τοὺς μοχλοὺς τῶν πυλῶν διαρρήξαντες ἐλευθέραν πεποίηνται τὴν εἰς τὴν

Paphlagoniæ Metropolitatum tenes, Sardium ideo partes invisendæ, quibus continuo consuescere debes, ibique immorando greges tibi commissos pascere. Igitur ubi Imperatorem inexorabilem vidit, cum quid ageret, ipse nesciret, Monasticum vitæ institutum complexus est, Thessalonicensis Manuel invitus Nicæa egressus in locis adjacentibus vitam ducebat. Arsenius item Expatriarcha & ipse inde exiens in Monasterium se intrusit. Hinc universi Præsules Lampsacum convenientes suffragio omnium, mandatoque Imperatoris Ephesinum Antistitem Nicephorum in Patriarchale solium invehunt. Sed hic, ut jam dixi, neque per annum integrum cathedram moderatus, e vivis excessit. Tunc Sebastocrator Tornicius Arsenio impense deditus Imperatorem urgebat, ut Arsenium iterum in Patriarchalem sedem promoveret, & mira quædam, ac portentosa Arsenii facinora in medium afferens, continuo Imperatorem ad molestiam usque exorabat, ut sibi minime æquum, etiam invitus, in Patriarcham eligeret. Sic Imperator volens nolens Sebastocratoris consilius loco dato, ad Patriarchalem dignitatem Arsenium rursum evehit. Et hæc quidem de Arsenio ita se habuere.

LXXXV. Imperator Strategopulum Alexium Cæsarem copiis aliquibus fultum in occiduas partes mittit, ut cum Romani nominis hostibus confligeret, monens sub ipsa profectione, quando via, per quam esset incedendum, prope Constantinopolim erat, in eam irrumpere, & ad portas ipsas conducere agmina, ut timor Latinis incuteretur. Evenit vero tunc temporis, ut tale quid, ita providente Deo, contingeret. Navis maxima Latinorum Venetiis Constantinopolim appulit, cum ea juvenis auctoritate potens, quem illi Potestatem vocant, accessit, vir, ut effectus comprobavit, factiosus, & in aciem, & pugnas audacior. Is Latinos, qui Constantinopoli erant, adineundam pugnam concitat. *Haud decorum esse* dictitans, *eos, qui in urbe essent, urbem, seque tutando tempus conterere, sed aliquid etiam adversus Romanos machinari debere, ne nos illi adeo contemptim contemnant, & pro nihilo ducant.* Suasit itaque in triremes, quotquot haberent, aliaque navigia lembadia nempe, ac dromones ingressos in Daphnusiam insulam pergere: quam si in potestatem redigere forte potuissent, ne illi spoliis locupletarentur. Urbs igitur hominibus vacua, mulieribus ac infantibus, & forte tunc imperanti Balduino cum exigua aliorum manu gubernabatur, & custodiebatur. Interea improviso Cæsar Alexius Strategopulus noctu adveniens in eam impetum fecit, & cum viros secum haberet nonnullos ex urbe fugitivos, & rerum illius apprime gnaros, ex iisque sciscitans cognovisset foramen urbis muris inesse, per quod armatus miles introire posset, nulla mora operi incumbit, & per illud quidem ingreditur, quem sequitur alius, & iterum tertius, & hac ratione quindecim, & forte plures viri urbem ingrediuntur: in ipso muro quemdam, cui custodia demandata erat, compertum, ea illis reliqui muro conscenso arreptum pedibus extra muros projiciunt, alii strictis securibus, & portarum vectibus disruptis in urbem ingressi tum

Edit. Paris. pag. 99.

liberum exercitui aperiunt. Hac ratione Cæsar Strategopulus, & cum eo Romani universi, ac Scythæ, ex his enim copiæ co flatæ erant, urbem ingressi sunt. Cives re improvisa perculsi, ut quisque poterat, saluti suæ consulere. Hic quidam Monasteria petere, & Monasticum habitum, ut cladem evitarent, induere. Mulieres in murorum foramina conjici, & in cellis obscuris, reconditisque abscondi: civitati Imperans Balduinus in magnum advolare palatium. Qui vero Daphnusiam abierant Latini, & cum illis Potestas, eorum, quæ gerebantur plane ignari, cum

Edit Parif. pag. 100.

nihil adversum Daphnusiam perpetrare potuissent, opem enim illis tulerat Deus, retrogressi in urbem contendere, & in supernarum virtutum principis Michaelis templum in Anaplo situm conveniunt, adhuc eorum, quæ patrabantur nescii: at ubi eo commigrassent, certiores redditi in urbem gressus festinant. Id Romanæ copiæ audientes igne in Latinorum domos prope littus adjacentes immisso, eas corrumpunt, & ante alias Venetorum aliarumque deinceps nationum, quas Campos vocant. Latini incendiis urbem inflammari conspicientes, genis manibus diverberatis, quotquot habere potuerunt ex suis in triremes, & alia navigia assumptis, retro cessere. Ex triremibus una in magnum Palatium progressa Balduinum in maximo discrimine, & extremo pene periculo, jam jamque vivum capiendum recepit. Et ita ea res evenit. Ex Constantinopolis, ita Deo annuente, rursum sub potestate Romani Imperatoris jure, & merito venit, vigesima quinta mensis Julii, Indictione quarta, anno ab orbe condito seamillesimo septingentesimo seaagesimo nono, postquam hostes ea potiti fuissent, annos quinquaginta octo.

LXXXVI. Ea tempestate, Imperator castra Meteorii disposuerat, noctuque ea improviso, rumor quidam inter multorum aures perstrepuit. Rumor a servulo quodam sororis Imperatoris Irenes, sed propter monasticum habitum Eulogiæ nominatæ, e Bithyniæ partibus ad ipsam profecto, qui in itinere audierat, a Romanis copiis captam esse Constantinopolim, sparsus fuerat. Illa propere Imperatorem conveniens, somno sopitum invenit, quare manu eum plaude dimovere, & ut excitaret, altiore voce proloqui, *Tenesne, x Imperator, Constantinopolim*. Sæpius hoc repetiit: Imperator immotus stans non respondebat. Verumtamen cum illa sermone mutato, dixisset; *Surge Imperator. Christus tibi Constantinopolim elargitus est:* Lecto assurgens, manibusque in cælum extensis, *Hunc*, ait, *sermonem foror, & ipse amplector, sed quem primum dixeras, me Constantinopoli potitum, nullo pacto excipio. Quanam enim ratione, qui Meteorii sum, Constantinopolim devicerim? qui nec tantas copias ad eam debellandam adornavi. Sed hæc Numini facillima esse & ipse fateor, citiusque ac commodius ea etiam, quæ fieri haud posse videntur, quibus ipse voluerit, concedere potens est*. Dixit, omnibusque, qui ibi in dignitate erant, convocatis, an vera ea esse illis videren-

A πόλιν εἴσοδον τῷ στρατεύματι· οὕτω μὲν οὖν ὁ Στρατηγόπουλος Καῖσαρ καὶ οἱ σὺν αὐτῷ πάντες Ῥωμαῖοι καὶ Σκύθαι, ἐκ τῶν τοιούτων καὶ γὰρ τὸ ὑπ' αὐτὸν συγκεκρότητο στράτευμα, ἐντὸς τῆς πόλεως ἐγεγόνεισαν. οἱ δ' ἐντὸς τῷ αἰφνιδίῳ κατασεισθέντες τοῦ πράγματος, ὡς εἶχον ἕκαστος τῆς ἑαυτοῦ σωτηρίας ἐπραγματεύοντο. καὶ οἱ μὲν περὶ τὰ σεμνεῖα ἐβάδιζον, καὶ μοναχικὰ ἐνεδιδύσκοντο ἄμφια, ὅπως τὸν φόνον ἐκφύγοιεν. γυναῖκες δὲ εἰς ὀπὰς τοίχων συνεστέλλοντο, καὶ εἰς στοὰς σκοτεινάς, καὶ ἀποκρύφους ἐκρύπτοντο. Ὁ δὲ τῆς πόλεως κατάρχων Βαλδουῖνος περὶ τὸ μέγα παλάτιον ὥρμησεν. οἱ δὲ περὶ τὴν Δαφνουσίαν ἀπιόντες Λατῖνοι, καὶ ὁ μετ' αὐτῶν Ποτεστάτος, μηδέν τι τῶν γινομένων γνωρίσαντες, ἐπεὶ B μηδὲν κατὰ τῆς νήσου Δαφνουσίας ποιῆσαι τι ἴσχυσαν, ἀντελάβετο γὰρ ἐκείνων Θεός, παλίνδρομοι πρὸς τὴν πόλιν ἐπανεζεύγνυον. μέχρι μὲν οὖν τοῦ ναοῦ τοῦ ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων Μιχαὴλ ἐλθόντες, τοῦ περὶ τὸν ἐν Ἀνάπλῳ διακειμένου, οὐδέν τι ὅλως τῶν γεγενημένων ἐμεμαθήκεισαν. Ἐκεῖσε δὲ ἀφιγμένοι, καὶ ταῦτα μαθόντες εἰς τὴν πόλιν ὥρμησαν ἐπελθεῖν. Ἀλλὰ τὰ Ῥωμαϊκὰ στρατεύματα τοῦτο γνόντες πῦρ ταῖς οἰκίαις τῶν Λατίνων ἐνέβαλλον παρὰ τὸν αἰγιαλὸν κειμέναις, καὶ ἐνέπρησαν ταύτας, καὶ πρῶτα μὲν τὰς τῶν Βενετίκων, εἶτα τῶν ἄλλων γενῶν, ἃς καὶ Κάμπους κατωνόμαζον. Ἐπεὶ δὲ εἶδον τὴν πόλιν πυρπολουμένην οἱ τῶν Λατίνων, τὰς παρειὰς ταῖς χερσὶ τύψαντες, καὶ λαβόντες C ὅσους ἠδύναντο ἐντὸς τῶν τριήρεων αὐτῶν, καὶ τῶν λοιπῶν πλοίων ὑπανεχώρησαν. μιᾶς τριήρεως εἰς τὸ μέγα παλάτιον ἀπελθούσης καὶ ἀναδεξαμένης τὸν Βαλδουῖνον ἐγγὺς τῆς ζωγρείας γενόμενον. καὶ ταῦτα μὲν οὕτω ξυνέβη, καὶ ἡ Κωνσταντίνου προνοίᾳ Θεοῦ καὶ αὖθις ὑπὸ χεῖρα τοῦ Βασιλέως τῶν Ῥωμαίων ἐγένετο, κατὰ λόγον δίκαιόν τε καὶ προσήκοντα, Ἰουλίου εἰκοστὴν καὶ πέμπτην ἄγοντος, οὔσης Ἐπινεμήσεως τετάρτης, καὶ ἀπὸ γενέσεως κόσμου ἔτους ὄντος ͵ϛψξθʹ. ὑπὸ τῶν ἐχθρῶν κρατουμένη χρόνους πεντήκοντα καὶ ὀκτώ.

πϛʹ. Περὶ γοῦν τὸ Μετεώριον τότε σκηνουμένου τοῦ Βασιλέως ἐξαπίνης φήμη τις νύκτωρ τὰς τῶν πολλῶν περιεβόμβησεν ἀκοάς. ἡ δὲ φήμη παρὰ παιδαρίου τινὸς D αὐταδέλφης τοῦ Βασιλέως τῆς ὀνομαζομένης μὲν Εἰρήνης, διὰ δὲ τοῦ μοναδικοῦ σχήματος μετονομασθείσης Εὐλογίας, ἐκ τῶν τῆς Βιθυνίας μερῶν παρ' αὐτὴν ἀφικομένου, ὡς καθ' ὁδὸν ἐμεμαθήκει παρὰ τῶν τῶν Ῥωμαϊκῶν στρατευμάτων ἁλῶναι τὴν Κωνσταντίνου. ὡς εἶχε γοῦν τάχους ἡ τοῦ Βασιλέως αὐτοκασιγνήτη παρὰ τὸν Βασιλέα ἀφιγμένη καταδαρθάνοντα τοῦτον εὗρε. καὶ ἠρέμα πως ἐκίνει αὐτὸν τῇ χειρί, ὅπως ἄν γε καὶ ἐγρηγορήσειεν, ἰσχυροτέρᾳ τῇ φωνῇ ὑπολέγουσα, ὡς κατέχεις, ὦ Βασιλεῦ, τὴν Κωνσταντινούπολιν. καὶ πολλάκις τοῦτο εἰρήκει· καὶ ὁ Βασιλεὺς ἐπέμενε, μηδέν τι πρὸς ταύτην ἀνταποκρινόμενος. ὡς δὲ τὸν λόγον μετέβαλε, καὶ εἰρήκει· Ἀνάστηθι, βασιλεῦ, ὁ γὰρ Χριστὸς ἀπεχαρίσατό σοι τὴν Κωνσταντινούπολιν, τῆς κλίνης ἀναστάς, καὶ τὰς χεῖρας εἰς οὐρανὸν ἀνατείνας, τοῦτον μέν, ἔφη, τὸν λόγον, ὦ ἀδελφή, καὶ αὐτὸς δέχομαι. ὃν δὲ λόγον τὸ πρῶτον εἴπες, ὡς τὴν Κωνσταντίνου κεκράτηκα, οὐδαμῶς ἀποδέχομαι. πῶς γὰρ ἐκ τοῦ Μετεωρίου ἐγκρατὴς γενοίμην τῆς Κωνσταντίνου, ἀλλ' οὐδὲ στράτευμα κατ' αὐτῆς ἀξιόλογον πέπομφα. τὸ δὲ ῥᾷον ταῦτα εἶναι Θεῷ καὶ αὐτὸς ξυνομολογῶ, καὶ θᾶττον ἂν τὰ μικροῦ καὶ ἀδύνατα τοῖς οἷς ἂν βούλοιτο παρασχεῖν καθέστηκε δυνατός. ταῦτ' εἰπὼν τοὺς ἐν τέλει ἅπαντας ξυνήθροισε, καὶ ἐπυνθάνετο, εἰ ἀληθῆ δοκεῖ σφίσιν αὐτοῖς τὰ

παρὰ τῆς φήμης· καὶ οἱ μὲν συνετίθεντο τὰ τῶν λόγων ἐπαληθεύειν. καὶ μάλιστα οἷς ἡ τῶν Λατίνων ἔξοδος ἀκριβέστερον ἐπεγνώσθη. ἔνιοι δὲ τὸν λόγον εἶχον ἐν ἀμφιβόλοις, οἷς οὐκ ἐν γνώσει τὰ τῆς ἄνω προνοίας καθέστηκε κρίματα, ὑπολογιζόμενοι καὶ τὸ πρᾶγμα τῶν δυσχερεστάτων τι εἶναι καὶ μὴ ῥᾳδίως κατορθουμένων. ἐν τοῖς τοιούτοις μὲν λόγοις τὸ τῆς νυκτὸς παρῄει διάστημα. Ἐπεὶ δὲ ἡμέρα ἐπέφωσκεν, ἐλπὶς μὲν ἦν πᾶσι, τὸν διακομίζοντα ἐλεῦθε ἀφικέσθαι πρὸς τὸ στρατόπεδον. ἀλλὰ καὶ τὸ τῆς ἡμέρας ἐκείνης παραδεδραμήκει διάστημα, καὶ οὐδεὶς τοιοῦτος ἀφίκετο. ἤσχαλλον γοῦν αἱ τῶν ἁπάντων ψυχαί, καὶ ἐδημόνουν, καὶ μάλιστά γε τοῦ Βασιλέως. ἀλλὰ νυκτὸς ἐπιούσης ὁ τὴν ἀγαθὴν ἀγγελίαν διακομίζων ἐλήλυθεν. καὶ σαφῶς εἴρηκε περὶ τοῦ ἔργου, ὅτι περ τὰ τῶν Ῥωμαίων στρατεύματα μετὰ τοῦ Καίσαρος Στρατηγοπούλου ἐντὸς τῆς Κωνσταντίνου διαγεγόνασι. καὶ πάντα ὡς εἶχεν ἀπήγγειλεν.

πζ'. Ἀπάρας γοῦν ὁ Βασιλεὺς τοῦ Μετεωρίου μεθ' ἡδονῆς, ὅτι πολλῆς τὴν Κωνσταντίνου φθάσαι διὰ τάχους ἐπέσπευδε, δεδιὼς μήποτε ἐκ τῆς Δαφνουσίας οἱ Λατῖνοι ὑποστρέψαντες, καὶ τῆς πόλεως ἐντὸς γενόμενοι μάχην κατὰ Ῥωμαίων στήσαιεν κραταιάν, καὶ πολλῷ πλείους τῶν Ῥωμαίων ὄντες, τῶν τειχῶν ἔξω βάλωσιν. ἀλλὰ ταῦτα μὲν οὐ ξυνέβη. ἀλλ' ἐκεῖνοι μὲν τὸ ἀθρόον τὰς ψυχὰς κατασεισθέντες, προὔλαβον ἀποδρᾶναι, καθὼς ὁ λόγος φθάσας ἐδήλωσεν. ὁ Βασιλεὺς δὲ τὴν πορείαν ἐπέτεινεν. Ἐπειδὴ καὶ τοὺς τοῦ Καλάμου βουνοὺς παραμείψαμεν, καὶ τῷ Ἀχυρᾶς ἐγγὺς ὁ Βασιλεὺς ἐπήξατο τὴν σκηνήν, τότε δὴ καὶ τοῦ Βαλδουίνου τοῦ τάχα Βασιλέως τῆς Κωνσταντίνου ἀπάρχοντος τὰ βασίλεια διακομίσθησαν σύμβολα. ταῦτα δὲ ἦν καλύπτρα Λατινικὰ τὸ σχῆμα, καὶ μαργάροις πεποικιλμένη, καὶ ὑπὲρ κεφαλῆς λίθῳ κοκκίνῳ, πέδιλά τε κοκκοβαφῆ, καὶ σπάθη σηρικὸν κοκκοβαφὲς ἐνδεδυμένη προκάλυμμα· τότε δὴ καὶ ὁ πολὺς λεὼς τὰ τῆς ὑποθέσεως ἐπεπίστευτο. Τὸ γὰρ μεγαλεῖον οὐκ εἶχε τοῦ πράγματος εὐχερῶς πιστεύειν τοῖς λεγομένοις. ἐσπεύδετο οὖν ὁ Βασιλεὺς πρὸς τὴν εἴσοδον. ταχυτέρας γοῦν καὶ μακροτέρας ἐποιεῖτο τὰς μεταβάσεις. ἐγγίσαντι γοῦν τῇ Κωνσταντίνου τῷ Βασιλεῖ, κατὰ νοῦν ἐπέσει θεοπρεπεστέραν μᾶλλον, ἢ βασιλικωτέραν τὴν εἰς τὴν Κωνσταντίνου ποιήσασθαι πάροδον. καὶ τὸν τρόπον ἐσκέψατο, ὅπως ἂν γένοιτο· ὁ δὲ διὰ λόγων εὐχαριστηρίων πρὸς τὸν Θεόν, καὶ φωνῶν ἱκετηρίων ὑπέρ τε βασιλείας, καὶ ἱεραρχίας, ὑπέρ τε τῆς πόλεως, καὶ τῶν αὐτῆς οἰκητόρων, καὶ τοῦ ταύτης πληρώματος. Ἐπεὶ δὲ ἐζήτει τὸν τὰς εὐχὰς συγγράψασθαι μέλλοντα, τὸν φιλόσοφον Βλεμμίδην πρὸς τοῦτον ἐπινεῦσαι ἐβούλετο. μακρὰν δὲ ἦν ὁ ἀνήρ, περὶ γὰρ τὴν Ἔφεσον τὰς διατριβὰς ἐποιεῖτο. εἰς ἀργίαν δὲ τὰ τοῦ πράγματος ἔπιπτεν. ὁ δὲ Βασιλεὺς μέλλησιν οὐκ ἤθελε πρὸς τὴν εἴσοδον. ἐδυσχέραινε γοῦν ἐπὶ τούτοις. ἀλλ' αὐτὸς τὸ δυσχερὲς διελυσάμην τῷ Βασιλεῖ. εἰ γὰρ θέλεις, ὦ Βασιλεῦ, ὡς ἐξ ἁγίου ἀνδρὸς βούλει τὰς εὐχάς, ἅπερ ἐθέλεις γενέσθαι σοι, οὐκ ἔχω λέγειν, εἰ δὲ ἐξ οἱουδήτινος, δυναμένου δὲ συγγράφειν προείλου τὴν θέλησιν ἐκπληρῶσαί σοι, ἰδοὺ σοι αὐτὸς τὴν θέλησιν ἀποτελέσαιμι, καὶ τὰς εὐχάς σοι συγγράψαιμι. ἔδοξε κρεῖττον τοῦτο τῷ Βασιλεῖ, καὶ τὴν ταχίστης εἰσόδου τὰς ὑπ' ἐμοῦ ποιηθησομένας προείλετο. ἐγὼ μὲν ἂν εὐθὺς ἡψάμην τοῦ ἔργου. καὶ οὔπω ἡμέρα παρῄει ὅλη καὶ νύξ, καὶ δέκα πρὸς τῇ τρισὶν συνεγραψάμην εὐχάς, ἑκάστην οἰκεῖον ἔχουσαν τὸν σκοπόν.

πή. Κατέλαβε γοῦν ὁ Αὐτοκράτωρ τὴν Κωνσταντίνου. πεντεκαιδεκάτην ἦγεν τότε ὁ Αὔγουστος,

A tur, quæ fama circumferrerentur, interrogat. Quidam annuere, rumorem vera nunciare, & potissimum ii, quibus Latinorum exitus exquisitius compertus fuerat. Alii dubitare, & in ambiguo ponere, qui divinæ judicia providentiæ non accurate tenerent, ratiocinantes rem e difficillimis esse, & ea illis, quæ non ita facili negotio peraguntur. In his sermonibus noctis spatium evigilatum est: ubi dies cœpit, spes omnes tenere ab exercitu, qui vera referret, adventurum; at illius etiam diei intervallum consumitur, & horum nihil annunciatur. Animi itaque omnes trahere cum animo suo & angi, & præcipue Imperator. Veruntamen nocte meunte bonus internuncius accessit, planeque facinus fatetur, Romanum militem cum B Cæsare Strategopulo intus Byzantium sedem locasse, & cuncta modo, quo evanerant, narrat. Edit. Paris. pag. 101.

LXXXVII Igitur Imperator Meteorio exiens, mirandum in modum suo bono gaudens Constantinopolim celerrime festinabat, metuens, ne Latini Daphnusia revertentes, & urbem introgressi, pugna magna cum Romanis confligerent, & numero superiores extra muros ejicerent. Sed hæc minime contigerunt; quippe qui re subita, atque improvisa animos deturbati fugam præripuere, ut supra enarravimus. Imperator iter sollicitabat, & Calami collibus emensus prope Achyraum castra posuit. Tunc Balduini Constantinopoli imperan- C tis regia insignia allata sunt. Hæc autem erant. Operculum Latino more efformatum unionibus interstinctum, in vertice saxulo rubeo renidens: cocco tincti calcei, & ensis ex serico rubro tegumentum indutus. Tunc multitudo etiam rem ita fuisse persuasa est, quandoquidem facinoris magnitudo ne temere adeo dictis fides adhiberetur, efficiebat. Imperator loci mutationes longiores, & velociores percurrens viam celeravit. Constantinopoli appropinquans animo agitare cœperat accessum ad urbem Deo magis convenientiorem, quam regi instituere, & modum, quo id ita fieret, excogitavit: per sermones nempe, qui gratias Deo referrent, & vo- D ces pro imperio, sacerdotio, urbe, & cultoribus universis, supplices. Sed precationum scriptorem conquirens Philosophum Blemmidam ad opus decreverat. Verum vir ille longe aberat, Ephesi namque ætatem agebat. Quare res nimis differri, ac procrastinari videbatur, pag. 102. cum tamen Imperator ingressum impense admodum acceleraret, propterea que animo angebatur. Sed ipse ardua Imperatori complanavi. Num, *o Imperator*, dixi, *si a sancto viro preces hasce conscribi expetis, quid dicam, ipse non habeo: si a quocunque qui tamen scribere possit, voluntati tuæ satisfactum iri putas, ipse ego tibi, quæ concupiscis efficiam, & preces componam.* Id ut melius probatur Imperatori, & ut ingressus celer esset, a me componendas aliis prætulit. Ipse statim opus aggredior. Et nondum integer dies, & nox excurrerant, & tres, & decem precationes conscribo, quamlibet proprio argumento locupleterem.

LXXXVIII. Imperator decimo

quarto Augusti die Constantinopolim pervenit: neque illo eodem die urbem introit, sed apud Cosmidii Monasterium prope Blachernas, tentoria locat: ibi cum pernoctasset, postero die Constantinopolim hoc apparatu ingreditur, & cum Patriarcha Arsenio absente, precationes illæ omnibus audientibus a Præsule recitandæ essent, Cyzici Metropolita Georgius, quem Clidam cognominabant, quæ necessaria erant, supplevit: nam in unam ex aureæ Portæ turribus ascendens, secumque Deiparæ imaginem ex monasterio Hodegorum gestans, omnibus audientibus precationes recitavit. Interim Imperator capitis tegumento regio deposito, flexisque genibus in terram provolvitur, omnesque qui cum eo erant, post eum in genua procumbunt. Sed precationum prima finita, Diaconus indixit, ut assurgerent. Omnes stantes, *Domine miserere* centies numerantes, acclamarunt. His finitis a Præsule rursus alia precatio enunciatur. Itaque ut in prima, ita in secunda, & in aliis factum est, & sic deinceps usque ad integram precationum omnium recitationem sacris precationibus, ceremoniisque fine posito, Deo magis convenientius quam regi, Portam auream Imperator ingreditur: pedes Imperator, præeunte Dei Matris imagine proficiscebatur. Ad Studii Monasterium ventum est. Eo in loco immaculatissimæ Dei Matris imagine relicta, equum conscendens, ad Sapientiæ Dei templum pervenit, & Christo Domino adorato, gratiisque, uti par erat, relatis, ad magnum Palatium appellit. Exultatione itaque & ingenti lætitia, & inenarrabili gaudio Romanorum omnis sexus repletus gestiebat. Namque qui non saltaret, vel ludibundus exiliret nemo erat, tantæ rei assensum vix præstans propter improvisum opus, & superaffluentem voluptatem. Quando vero & Patriarchæ ingrediendum erat Constantinopolim post nonnullorum dierum excursum, sermonibus, suasionibusque adductus introit Imperator in sacram regiam, magnæ Sapientiæ sacrarium, ad cathedram Pontifici consignandam. Cum Imperatore omnes in dignitatibus constituti, & Patriciorum præcipui, & plebs universa accurrerat. Ibi Imperator manum Patriarchæ continens, Tene, inquit, *Thronum tuum Domine, & a qua tamdiu aberrasti, cathedra fruere*. Sic etiam Patriarchæ ab Imperatore provisum.

Edit. Paris. pag. 103.

LXXXIX. Ea tempestate accidit, quod non alienum a narratione mea esse ducens, hic scripto consignabo: Orationem de recepta Constantinopoli composueram. Orationis argumentum, circa principium gratiæ Deo pro beneficentia erga Romanos, & misericorde suo auxilio, ac patrocinio redditæ: inerat & orationi præter Imperatoris præconia ad eumdem gratiarum actio: sub calce adhortatio, ut Andronicus Comnenus primus Imperatoris filius cum Imperatore, & patre in administratione advocaretur. Hoc multos, & potissimum dignitatibus præditos, quibus non ex sententia res successisset, fugiebat. At ex nostris, qui primas obtinebant, Joannes nempe Despota Imperatoris fra-

A εἰσελθεῖν γοῦν εἰς τὴν Κωνσταντινούπολιν οὐκ ἠθέλησε τὴν αὐτὴν ἡμέραν, ἀλλὰ τὰς σκηνὰς ἐν τῇ μονῇ τοῦ Κοσμιδίου ἐπήξατο, τῇ ἄγχι παρακειμένῃ τῶν Βλαχερνῶν. ἐκεῖσε γοῦν παρανυκτερεύσας ἕωθεν ἀναστὰς τὴν εἰς Κωνσταντινούπολιν εἴσοδον ἀπειργάσατο τρόπον τοιοῦτον. Ἐπεὶ δὲ ὁ μὲν Πατριάρχης Ἀρσένιος οὐ παρῆν, ἔδει δ' ἄρα τῶν τινα Ἀρχιερέων τὰς εὐχὰς εἰς ἐπήκοον ἐξειπεῖν, ὁ τῆς Κυζίκου μητροπολίτης Γεώργιος, ὃν καὶ Κλειδᾶν κατωνόμαζον, ἐπλήρου τὴν χρείαν. καὶ εἰς ἕνα τῶν πύργων τῆς Χρυσείας ἀναβάς, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸ τῆς Θεοτόκου ἐκτύπωμα, τὸ ἀπό πως ἐκ τῆς μονῆς παρωνομασμένον τῶν Ὁδηγῶν, εἰς ἐπήκοον ἁπάντων ἀπεστομάτισε τὰς εὐχάς. Ὁ μὲν οὖν Αὐτοκράτωρ τὴν B καλύπτραν ἀποβαλών, καὶ γόνυ κλίνας ἔπεσε χαμαί, καὶ πάντες δὲ οἱ σὺν αὐτῷ ὄπισθεν αὐτοῦ ἐπὶ γόνυ κατέπεσον· ἐπεὶ δὲ ἡ πρώτη τῶν εὐχῶν ἐτετέλεστο, καὶ ὁ Διάκονος ἐσήμηνε τὴν ἀνέγερσιν, πάντες ἀναστάντες, τὸ, Κύριε ἐλέησον, εἰς ἑκατὸν ἀριθμήσαντες, ἐπεβόησαν. καὶ τούτου τετελεσμένου πρὸς τοῦ Ἀρχιερέως καὶ αὖθις ἑτέρα τις ἐξεφωνεῖτο εὐχή. ὡς ἐν τῇ πρώτῃ γοῦν, καὶ ἐν τῇ δευτέρᾳ γεγένηται, καὶ οὕτω πως ἐξεπέπρακται μέχρι καὶ συμπληρώσεως τῶν ὅλων εὐχῶν. Ἐπεὶ γοῦν ἀπαρτί πως τὰ τῆς ἱεροπραξίας πάντα γεγένηται θεοπρεπῶς μᾶλλον, ἢ βασιλικῶς, διὰ τῆς Χρυσείας πύλης εἰσῆλθεν ὁ Βασιλεύς, πεζὸς γὰρ ἐβάδιζε. προῆρχετο δὲ τούτου τῆς Θεομήτορος ἡ εἰκών. Μέ- C χρι μὲν οὖν τῆς τοῦ Στουδίου μονῆς ἀπελθών, ἐκεῖσε τὴν εἰκόνα καταλιπὼν τῆς ὑπεράγνου μητρὸς τοῦ Θεοῦ, ἐπιβὰς τοῦ ἵππου περὶ τὸ τῆς Σοφίας τοῦ Θεοῦ ἀφίκετο τέμενος. ἐκεῖσε γοῦν τῷ Δεσπότῃ Χριστῷ προσκυνήσας, καὶ τὰ εἰκότα τούτῳ εὐχαριστήσας, περὶ τὸ μέγα κατέλυσε παλάτιον. ἐν εὐφροσύνῃ γοῦν, καὶ θυμηδίᾳ πολλῇ, καὶ ἀπλέτῳ χαρᾷ τὸ Ῥωμαϊκὸν τότε γεγένηται πλήρωμα. οὐδεὶς γὰρ ἦν ὁ μὴ σκιρτῶν τε καὶ ἀγαλλόμενος, καὶ μικροῦ δεῖν τῷ πράγματι ἀπιστῶν, διὰ τὸ ἀπροσδόκητον τοῦ ἔργου, καὶ τὸ ὑπερβάλλον τῆς ἡδονῆς. Ἐπεὶ δὲ ἔδει καὶ τὸν Πατριάρχην ἐντὸς γενέσθαι τῆς Κωνσταντίνου μετὰ παραδρομήν τινων ἡμερῶν, λόγοις καὶ τῇ παρὰ τούτων πειθοῖ D εἰσῆλθε, καὶ ὁ Βασιλεὺς εἰς τὸ ἱερὸν ἀπῆλθεν ἀνάκτορον, τὸ τῆς μεγάλης Σοφίας τέμενος, ἵν' ἐγχειρίσῃ τὴν καθέδραν τῷ Ἀρχιερεῖ. καὶ συνήθροιστο μετὰ τοῦ Βασιλέως καὶ τῶν ἐν τέλει πάντες, καὶ τῶν ἀρχόντων οἱ πρόκριτοι, καὶ πᾶν τὸ πλῆθος. ὁ Βασιλεὺς δὲ τῆς χειρὸς τοῦ Πατριάρχου ἐπιλαβόμενος, ἔχεις, φησί, τὸν θρόνον σου, Δέσποτα, καὶ οὗτινος ἐπὶ μακρῷ ἐστέρησαι, νῦν τῆς καθέδρας ἀπόλαυε. καὶ οὕτω μὲν καὶ ἐπὶ τῷ Πατριάρχῃ τὰ τοῦ Βασιλέως ξυνέβη.

πθ'. Ἐγένετο δὲ τότε, καί τι τοιοῦτον, ὃ μὴ παραδοῦναι γραφῇ τῶν οὐ δεόντων ἐλογισάμην, λόγον ἐπὶ τῇ ἀναρρύσει τῆς Κωνσταντίνου συγγραψάμην. καὶ ὁ σκοπὸς τοῦ λόγου κατὰ τὰς ἀρχάς, εὐχαρι- E στία ἦν πρὸς Θεόν, τῆς πρὸς Ῥωμαίους τούτου ἀγαθουργίας, καὶ τῆς εὐσπλάγχνου ἀντιλήψεως. συμπαρείληπτο δὲ τῷ λόγῳ καὶ εὐφημία πρὸς τὸν Βασιλέα εὐχαριστήριος. ἡ δὲ ἐπὶ τέλει τοῦ λόγου ἀξίωσις συνηγορεῖ θέλουσα τῷ Βασιλεῖ καὶ πατρὶ τὸν Βασιλέως πρωτογενῆ παῖδα, τὸν Κομνηνὸν Ἀνδρόνικον. τοῦτο ἐλάνθανε τοὺς πολλούς, καὶ μάλιστα τῶν ἐν τέλει, οἷς καὶ οὐ κατὰ γνώμην ὑπῆρχε τὸ πρᾶγμα. οἱ μὲν προὔχοντες τῶν ἡμετέρων, ὅτι Δεσπότης Ἰωάννης ὁ τοῦ Βασιλέως αὐτάδελφος, καὶ

ὁ πε-

ὁ πενθερὸς τούτου ὁ Σεβαστοκράτωρ Τορνίκιος, ὁ γὰρ Καῖσαρ Στρατηγόπουλος, καὶ εἰ παρῆν ἐν τοῖς τοιούτοις, οὐδόλως εἶχε περὶ τούτων φροντίδα, τὸ σκοπὸν ἀγνοοῦντες, καὶ τὴν ἀξίωσιν τοῦ προβλήματος, ἠνάγκασαν τὸν Βασιλέα ἐπ' ἀκροάσει γενέσθαι τοῦ λόγου. Ὁ δὲ Βασιλεὺς ἐδυσχέραινεν· ἤδη γὰρ μεσημβρινὰς τὰς ἀκτῖνας ὁ ἥλιος ἔβαλλε, καὶ ὁ τοῦ ἀρίστου παρῄει καιρός.

A

ter, & socer illius Sebastocrator Tornicius, nam Cæsar Strategopulus, licet adesset, de his omnino nullam curam suscipiebat, propositum ignorantes, & postulata problematis, Imperatorem ad orationem audiendam compulere. Imperator ægre ferebat, jam enim sub meridie Solis radii ingruebant, & prandii hora abierat.

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΑΚΡΟΠΟΛΙΤΟΥ
ΤΟΥ ΜΕΓΑΛΟΥ ΛΟΓΟΘΕΤΟΥ,
ΠΟΝΗΜΑ ΧΡΟΝΙΚΟΝ,
ΗΜΙΤΕΛΕΣ.

GEORGII ACROPOLITÆ
MAGNI LOGOTHETÆ
CHRONICON COMPENDIARIUM.

LEONE ALLATIO *Interprete*.

Edit. Parif. pag. 105. I. HISTORIÆ commoda, qui ante nos Historias scripserunt, declararunt; & quæ illi dicere potuissent, rebus gestis edocti, hæc nos quoque in nostra scriptione enumerabimus, Historicorum vestigiis pro modulo nostro insistentes, ut boni Historici imitatorum auram captemus. Cum itaque res gestæ novæ sese offerant, a nullo scriptioni traditæ, nova item inde commoda, novamque contingit utilitatem accedere. Illa etenim in præsentia, quæ diffuse & variis modis plerique adnotarunt, diligenti examine, rerum gestarum indagata veritate, enarrabimus. Scriptores ergo non unum omnes principium tenere, sed aliunde alius exorsus, seu ab ipso Orbe condito, seu a memorabili alicujus principatus origine, veluti Persarum, Græcorum, Romanorum, aut aliorum pro scopo suo fineque scriptionem propriam concinnavit. Nostrum vero scriptum alium in modum digeretur, tum quod illa a multis conscripta sunt, tum *pag. 106.* quod in rebus enarrandis sibi ipsi pugnant: ne & nos controversa scribentes, veritatem læsisse videamur, quemadmodum falsarii, & qui nummos regios adulterant. Neque enim ea quarum notitia evanuit, neque majorum nostrorum memoria, & jam dudum facta, & tenebris circumfusis scribere aggrediemur; neque hic quicquam ad gratiam, vel invidiam, vel odium aliorum, qui argumentis ex probabilibus aut dialecticis, excogitatis pro aliis alia fingunt, & res quæ numquam fuerunt, admirabiles, licet eas aliis persuadere nequeant, comminiscuntur, sive parva exaggerantes, sive magna publicæ artis Rhetoricæ artificiis imminuentes, veritati tenebras obducunt, sed veritati nitida eaque clarissima, nostro hoc ævo, ut ita dicam, gesta, partim ex optime ea callentibus audita, fideque digna constabilita, partim ex eruditorum, ac curiosorum commentariis accepta, partim etiam a nobis ipsis perspecta auditaque, nova scilicet ac recentia, in quibus nuda veritas exprimitur, veluti in columnis statuæ, & Imperatorum simulacra ad hominum memoriam in cippis vel pinguntur, vel finguntur, vel insculpuntur, & in cœmeteriis, publicis locis, & foris, & ubi convenire homines assolent, artificiose conficiuntur, eriguntur, & solide infiguntur. No-

A. α΄. ΤΟ τῆς ἱστορίας χρήσιμον καὶ οἱ πρὸ ἡμῶν συγγραψάμενοι διωρίσαντο, καὶ ἅπερ αὐτοὶ ἐκεῖνοι εἶχον ἂν εἰπεῖν, ἀπὸ τῶν πραχθέντων ἀναμαθόντες, ταῦτα ἡμεῖς νῦν προϊόντες ἐροῦμεν, τῶν ἱστορίαν συγγραψαμένων, ὡς ἐνόν, τὸν στῦλον ἐχόμενοι, καθὰ μιμηταὶ τοῦ καλοῦ τῆς ἱστορίας ἐθέλοντες ἐπακούειν. καινοτέρων τοίνυν προκειμένων πραχθέντων πραγμάτων, καὶ μήπω ἔτι οὐδενὶ συγγραφῇ παραδεδομένων, καινότερον συμβαίνει πως γενέσθαι καὶ τὸ ὠφέλιμον. ἐκεῖνα γὰρ νῦν διηγησόμεθα, ἃ χύδην καὶ πολυτρόπως πολλοὶ ἐσημειώσαντο, ἐκλεξάμενοι δὲ ἀναμαθόντες τὴν ἀλήθειαν τῶν πεπραγμένων. Οἱ μὲν οὖν τῶν συγγραφέων αὐτῶν, ἄλλην ἄλλος πεποίηται τὴν ἀρχήν, ἢ ἀπὸ τῆς γενέσεως τοῦ παντὸς ἀρξάμενοι, ἢ ἀπὸ ἀξιολόγου
B ἀρχῆς οἷον Περσῶν, Ἑλλήνων, Ῥωμαίων, ἢ καὶ ἄλλων, ἕκαστος πρὸς τὸν σκοπὸν ἑαυτοῦ τὸ οἰκεῖον ἐξυφαινόμενος σύγγραμμα. ἡμῖν δ᾽ οὐχ οὕτω τὰ τῆς συγγραφῆς ἡμῶν ἔσται, τοῦτο μὲν ὡς πολλοῖς συγγεγραμμένα, τοῦτο δέ, ὅτι καὶ πρὸς ἀλλήλους ἀντιλεγόμενα, μὴ δὲ ἡμεῖς ἀντιμάχοις τυχόντες, τὴν ἀλήθειαν ἀδικήσωμεν, ὡς οἱ παραχαράκται, ἢ οἱ τὰ βασιλικὰ αἱρήματα λυμαινόμενοι. οὔτε γοῦν ἀφανῆ τινα καὶ πολυχρόνια, ἀσάφειαν ἔχοντα συγγράφειν ἐπιχειρήσομεν, οὔτε πρὸς χάριν, ἢ ἀπέχθειαν, ἢ φθόνον, ἢ ἄλλων τῶν συσκιαζόντων τὴν ἀλήθειαν, καὶ πιθανῶς, ἢ καὶ διαλεκτικῶς ἄλλα ἀντ᾽ ἄλλων ἀναπλαττόντων, ἢ δὲ τὰ μὴ
C ὑπάρξαντα, θαυμαστὰ μέν, ἀλλ᾽ οὐ πιστὰ τῇ φύσει ἀναπλαττόντων, ἢ καὶ τὰ μικρὰ μεγαλυνόντων, ἢ καὶ τὰ μεγάλα σμικρυνόντων τῇ πανδήμῳ ῥητορείᾳ· ἀλλὰ φιλαλήθως τὰ ἐμφανῆ, καὶ ἐπὶ τοῖς χρόνοις εἰπεῖν ἡμῶν πεπραγμένα, ἐξ ὧν ἄλλα μὲν ἀπὸ τῶν ἀκριβῶς εἰδότων ἠκούσαμεν, καὶ πεπληροφορήμεθα, ἄλλα δὲ καὶ ἀπὸ σημειωμάτων τῶν σπουδαιοτέρων, ἄλλα δὲ δὲ ἴδομεν, καὶ ἐνωτίσθημεν, νέα εἰπεῖν καὶ πρόσφατα, ἐν οἷς ἀλήθεια γυμνῶς ἀναγράφεται, ὡς ἐπὶ στήλης ὁ ἀνδριάς, καὶ τὰ Βασιλικὰ ἀπεικονίσματα τῆς μνήμης χάριν ἐπὶ στηλῶν ἃ ζωγραφούμενα, ἢ πλαττόμενα, ἢ ἐγγλυφόμενα, ἀνά τε τοὺς πολυανδρείους τόπους καὶ φόρους καὶ συνελεύσεις τετεχνουργημένα, ἀνεστηλωμένα τε, καὶ ἰσχυρῶς ἐνιδρυμένα. Ἀρχὴ δὲ ἡμῖν γενέσθω τοῦ παρόντος συγγράμματος τῆς ἱστορίας, ἅλωσις Λατίνων, ἡ τῆς πασῶν μὲν πόλεων εὐτυχεστάτης, προαιρεθείσης, καὶ βα-

σιλίδος, τῆς Κωνσταντίνου, τῆς Βύζαντος ποτὲ, νῦν δὲ δυστυχεστάτης, ὡς ἐμφυλίοις κακοῖς ἐντυχούσης, καὶ πράγμασι γειτονικοῖς καθὰ εἰπεῖν κυκλομερῶς καὶ ἁπανταχόθεν πολιορκηθείσης, ἵνα τὴν ταύτης κάραν εἴποι τὴν κομῶσαν, καὶ χαρίτων συρμάδας τὰς παντοίας κλινοῦσι, καὶ διαμερίζονται τὸν ταύτης πλουτισμόν. Ἣν δὲ ἅλωσιν ὑπέστησαν ταραχαῖς, πολέμοις, ἀνδροκτασίαις, αἰχμαλωσίαις, καὶ ἐναντιωθεῖσαν ἁπανταχοῦ ἔθνεσιν ἅπασι καὶ σύμπασι φάναι, φήμη, ὡς Θεά τις καθ' Ὅμηρον καὶ αὐτὴ, καὶ τὰ πρὸς ἀλλήλους ἐρωτήματα, τὰ συνήθη ἀνθρώπων καὶ διηγήματα ἐποίησε γνώριμον καὶ διάδηλον.

β'. Ἀλεξίου τοῦ Ἀγγέλου τὰ τῶν Ῥωμαίων τότε διιθύνοντος σκῆπτρα, οἱ ἐξ Ἰταλίας κατὰ τῆς Κωνσταντινουπόλεως ἐξεστράτευσαν· ἡ δ' αἰτία τοιάδε. κατέβαλε μὲν τῆς ἀρχῆς τὸν ἀδελφὸν Ἰσαάκιον, καὶ αὐτοῦ τὰς ὄψεις ἐπήρωσεν. ὑπῆρχε δὲ τῷ Ἰσαακίῳ υἱὸς, ὃς δυσανασχετήσας τῇ τοῦ πατρὸς παροινίᾳ, τὴν φυγήν τε μηχανησάμενος περὶ τὴν Ῥώμην χωρεῖ. καὶ τῷ ταύτης Ἀρχιερεῖ ἑαυτὸν προσρίπτει, πατρικὴν ἐκδίκησιν ἐπιζητῶν. ἐπεὶ δὲ τῷ τότε τύχοι πλήθη πολλὰ εἰς ἓν συναχθῆναι, οἱ μὲν ἐξ αὐτῆς Ἰταλίας, οἱ δὲ ἐκ τῆς τῶν Φράγγων ἀρχῆς, ἔνιοι δὲ Ἐνετοὶ ὄντες, καὶ ἐξ ἄλλων ἄλλοι. καὶ ἡ πρόφασις εἰς ἐλευθερίαν τῆς Ἱερουσαλὴμ ἀπελθεῖν, ὅπου ὁ Κυριακὸς τυγχάνει τάφος. Ἣν δὲ ἅπαντας ἀθροίσας ὁ Πάπας, ταῖς τοῦ παρακλήσεσι τοῦ παιδὸς καταδυσωπηθεὶς, μᾶλλον δὲ ταῖς ὑποσχέσεσιν, ἐτύγχανον γὰρ ἁδραί, παραδίδωσι τὸν παῖδα τοῖς ἡγεμόσι τοῦ στρατεύματος, ὡς ἂν αὐτὸν, τὸν προκειμένης ἐκδύσαντες τῷ πατρικῷ καταστήσαιεν θρόνῳ, ἀναλώματά τε παρ' αὐτοῦ λάβοιεν, ὁπόσα ἂν καθ' ὁδὸν ἀναλώσαιεν, καὶ ὁπόσα περὶ τὴν Κωνσταντίνου βραδύνοντες. ἀνήχθησαν οὖν οὗτοι, τριήρεσι, καὶ ναυσὶ κοίλαις. ἐπεὶ δὲ τῇ Κωνσταντίνου προσώκειλαν εὐτυχῶς ἐν πνεύμασι φορίοις γνωρίζουσι τοῖς ἐκεῖσε τὸν παῖδα, τὴν ἀδικίαν, τὰ ἐκ ταύτης τῆς Ῥώμης ἐντάλματα. μέχρι μὲν οὖν τινὲς λόγοι τε ἐγεγόνεισαν, καὶ μάχαι ἐξ ἀμφοτέρων. Ἐπεὶ δ' ὁ Βασιλεὺς Ἀλέξιος τοῖς τοιούτοις ἀπώκνησε πράγμασι, μάλιστα δὲ ἀπείρηκε, τοὺς ἐντὸς εἰς σύγχυσιν ἀποβλέπουσι, καὶ νοσοῦσι τὸ ἄστατον, τὰ πάντα χαίρειν ἐάσας φυγῇ ἐχρήσατο, τοῦτο προειπὼν, Δαυὶδ φυγὼν διεσώθη.

γ'. Πρεσβεύουσι πρὸς τοὺς Ἰταλοὺς οἱ οἰκήτορες, ὡς ἂν ὁ τοῦ Ἰσαακίου υἱὸς Ἀλέξιος ἐντὸς εἰσαχθείη, καὶ Βασιλεὺς ἀναγορευθείη. εἰσάγεται γοῦν ἐπὶ ταῖς συνθήκαις, αἷς ὑπέσχετο τοῖς ἀναβιβάσασιν αὐτὸν Ἰταλοῖς, καὶ Βασιλεὺς παρὰ παντὸς ἀναγορεύεται τοῦ λαοῦ. τῶν μὲν Ἰταλῶν τὰς ὑποσχέσεις ἀπαιτούντων, καὶ τὰ ἀναλώματα, τῶν δ' οἰκητόρων τῆς πόλεως ὑπὲρ ἀριθμὸν ἡγουμένων τὸ χρῆμα, καὶ διισχυριζομένων, ὡς οὐκ ἂν ἔχοιεν τοσαῦτα τοῖς Ἰταλοῖς ἐπιδοῦναι. συνέβη δὲ τῷ τότε καὶ τούτου χάριν λογισμὸν ἐν τῇ πόλει γενέσθαι. ὁ γὰρ πατὴρ Ἀλεξίου ὁ Ἄγγελος Ἰσαάκιος, μήπω ἁλούσης τῆς πόλεως, γνώμην δέδωκεν, εἰς τῶν ἱερῶν κειμηλίων συνάθροισιν γεγονέναι τὰ πρῶτα. ἐντεῦθεν τε ἄρξασθαι τοῦ πρὸς Ἰταλοὺς χρέους, τὸ δ' ἐλλεῖπον ἐκ τῶν βασιλικῶν ταμιείων δοθῆναι, καὶ τῶν οἰκητόρων τῆς πόλεως. ἐν τῷ μεταξὺ δὲ τῆς ἀμφισβητήσεως οὔσης, καὶ ἐξ ἑκατέρων τῶν μερῶν πρέσβεων ἀφικνουμένων, φονεύεται ὁ παῖς τοῦ Ἰσαακίου Ἀλέξιος παρ' Ἀλεξίου τοῦ Δούκα, ὃν Πρωτοβεστιάριον οὗτος τετίμηκεν. οἱ δὲ τῆς πόλεως εἴς τι τῶν αὐτοῦ ἐπιμεμφόμενοι, Μούρτζουφλον ἐκάλουν. ἀνηγορεύθη οὖν παρὰ τῶν πολιτῶν ὁ ῥηθεὶς Ἀλέξιος Μούρτζουφλος Βασιλεύς. τούτου γοῦν χάριν ἐπὶ πλέον μα-

A stri itaque Commentarii historici initium sit urbis Constantini, quondam Byzantis, urbium omnium felicissimæ, primatiæ, & reginæ, nunc vero infelicissimæ, tamquam quæ noxis internis oppressa est, & vicinorum vexationibus, ut ita dicam, undique & circumquaque obsepta; ut florens illius caput, & omnis generis gratiarum tractus extenuent, opesque illius ac thesauros sibi ipsi dispertiant, per Latinos excidium, quod tumultibus, bellis, hominum cædibus, captivitatibus perstrepens, & nationum omnium quaquaversum aures personans, fama, quæ quoque Dea est, ut Homero placuit, necnon & mutuæ interrogationes hominibus consuetæ, & narrationes notum perspectumque effecerunt.

B II. Alexio Comneno Romani imperii sceptrum tenente, Itali Constantinopolim ducto agmine invaserunt: expeditionis causa fuit. Fratrem ille imperio spoliatum obcæcat. Erat Isaacio filius, qui patratum in patrem facinus ægre ferens, fugam meditatus, Romam appulit, & ad pedes Pontificis provolutus, exorat, ut paternas injurias ultum iret. Ea tempestate non ex Italia modo, sed ex ditione Gallica, necnon ex Veneta alii, aliique ex aliis locis complures concurrere, eo nomine, ut Jerusalem in libertatem vindicarent, ubi Dominicum erat sepulchrum: eos Papa coegerat, qui juvenis supplicationibus delinitus, immo promissorum, neque enim *Edit. Paris. Pag. 107.* C exigua pollicitus fuerat, expectatione, copiarum Ducibus juvenem commisit, ut eum, de via sibi proposita decedentes paterno solio restituerent; sumptus sive in itinere, sive apud Byzantios mora, impensos ab eodem susciperent. Triremibus itaque & navibus conscensis, secundissime rapacibus ventis Constantinopolim adnavigant, juvenem civibus manifestant, patrata scelera, indeque enata Romani Pontificis jussa. Per breve tempus colloquia inter ambas partes processerunt, & conflictus. Sed Imperator Alexius hisce animum despondens, quinimo omnibus in turbas recentibus, & sua volubilitate ægris diffidens, neglectis reliquis, fugam arripuit, D hoc enuncians, *David fuga salutem sibi peperit.*

III. Legationem cives ad Italos mittunt, ut Isaacii filius Alexius in urbem invectus Imperator acclamaretur. Quam, quibus se devinxerat restituturia Italis, conditionibus introducitur, & uno omnium ore Imperator salutatur: Italis promissa impensasque reposcentibus, cives immanem summam existimantes, contendebant sese esse tantæ solutioni impares. Tunc temporis quoque novæ turbæ Byzantii concitæ sunt. Pater enim Alexii Angelus Isaacius, antequam urbs caperetur, sententiam tulerat, ut denaria sacra prius in unum colligerentur, inde- E que Italis debitum reponeretur; quod deerat, ex Imperatoris ærario, civiumque facultatibus persolveretur. Dum inter se diffident, & hinc atque illinc Legati mittuntur, filius Isaacii Alexius, ab Alexio Duca, quem ille Protovestiarii dignitate cohonestaverat, & a civibus, nescio quid illi vitio vertentibus, Murtzuphlo nuncupato interimitur. Victus ergo Murtzuphlus a civibus Imperator eligitur. Hinc magis ac

magis Itali in furorem acti, graves ac sempiternas inimicitias in Byzantinos susceperunt. Per idem tempus non laudabili consilio a civibus deliberatum est: nam ut Latini, qui Constantinopoli veluti accolæ sedem posuerant, urbe pellerentur, ne Byzantini internis insidiis appeterentur, decrevere, qui præerant, & dignitatibus præfulgebant; licet prius illi fidem suam obligarent, numquam se in cives proditionem meditaturos, commorituros potius cum illis, si res ita tulisset, veluti domesticos & indigenas: immo, & uxores & filios tradentes, ut securioribus locis custodirentur, non suasere. Hi urbe egressi multi nimium, rerumque periti, re & opera, & consilio, quam plurimum hostes juverunt.

Edit. Paris. pag. 108.

IX. Post quadraginta itaque dies Constantinopolis ab ipsis expugnata est, duodecimo mensis Aprilis. Decimo namque anni mense Majo, ad urbem applicant, & mense undecimo diripiunt. Sic maxima urbs capta est, uno ut altero, aut rumor increbuit, e scala malo oaris maximæ adniaa in muros insilieotibus. Quæ vero mala urbs subiit, prolixiorem poscunt orationem, longeque tunc ab hoc argumento. Ad ea porro quisque animum defixerit, quæ in excidio ac direptione urbium accidunt, cædes hominum, mulierum captivitates, prædas, domorum effossiones, cætera omnia, quibus gladii, scelera, & facinora hostes desæviunt. Itali devicta urbe, propter peccata, quemadmodum cecinerunt olim tres pueri, & universa sacra Scriptura concordat, veluti a loco superiori impetu facto, Occidentis oram omnem, & Orientis partem non minimam excurrere. Primum Occidentis partes, fugientibus omnibus, tamquam ira cælitum inventum malum eos abigeret, in deditionem subigunt.

V. Imperator Alexius Angelus, quem antea Constantinopoli declinasse commemoraveram, Philippopolim veniens, nec ab incolis exceptus, Mosynupolim confugit, ubi moras trahebat. At Ducas Alexius, qui filium Isaacii peremerat, illius affinitatem ambiens, statim atque Isaacii filium jugularit, Imperatoris Alexii filiam Eudociam, filiarum illius postremam, sibi in matrimonio junxit. Tres enim susceperat; prima Irene dicta, Alexio Palæologo, qui Despotæ dignitate ab eodem donatus, ante direptionem urbis vitam finierat, collocatur; secunda Anna Theodoro Lascari desponsatur; tertiam Eudociam impuberem adhuc Crali Serviæ nuptam pater dederat, quam ille, ut ajebat, nescio in quo deprehensam patri remisit. Hanc Præfectus Alexius Ducas Murtzuphlus, exclusa propria, uxorem duxit. Sed potitis Italis Byzantio, inde secum inter alia uxorem Eudociam deferens, excessit, certiorque factus Mosynupoli Imperatorem Alexium socerum immorari, alacri ad eum animo festinat, qui multis aliis titulis, sed filiæ potissimum causa ab eodem abhorrebat: affinis nihilominus personam induens, Alexium excipit, præparatoque lavacro, ut cum filia lavaret, jussit, balneumque ingressum, Imperatoris Alexii administri impetu facto invadunt, ac luminibus spoliant. Traditum est ab ocu-

pag. 109.

A νέντες οἱ Ἰταλοὶ ἄσπονδον τὴν ἔχθραν κατὰ τῶν Κωνσταντινουπολιτῶν πεποιήκασι. Συνέβη δὲ καὶ ἕτερόν τι γενέσθαι τοῖς πολίταις βούλευμα ἐπαίνου ἄξιον. τοὺς γὰρ Λατίνους, οὓς οἰκήτορας εἶχεν ἡ Κωνσταντινούπολις, οἱ προὔχοντες, καὶ τῶν ἐν τέλει συνεβουλεύσαντο ἀποπέμψαι τῆς πόλεως, ὡς μὴ ἐπιβουλὰς αὐτοῖς ἐντὸς ἔχοιεν. καὶ τὸ πρῶτον τοὺς πολίτας πληροφοροῦντες, μὴ ἄν ποτε μελετῆσαι κατ' αὐτῶν προδοσίαν, συναποθανεῖν δὲ εἰ συμβῇ αὐτοῖς, ὡς ἰθαγενεῖς καὶ αὐτόχθονας. καίτοι καὶ γυναῖκας, καὶ παιδία ἐν ἀσφαλεστέροις τόποις ἀπαγαγεῖν οὐκ ἔπεισαν. ἐξελθόντες δὲ πολλὰ τοῖς ἐναντίοις συνήραντο, ἅτε πλῆθος πολὺ ὄντες καὶ εἰδήμονες τῶν πραγμάτων.

B δ'. Τεσσαράκοντα παρῆλθον γοῦν ἡμέραι, καὶ ἑάλω παρὰ τούτων ἡ Κωνσταντινούπολις ιβ'. ἄγοντος τοῦ Ἀπριλλίου. τῷ γὰρ δεκάτῳ ἔτει Μαΐου ὄντος τῇ πόλει προσώρμισαν. ἐν ἑνδεκάτῳ δὲ μηνὶ συνέβη γενέσθαι τὴν πόρθησιν. Ἐ ἡ μεγίστη πόλις ἑάλω, ἑνὸς ὥς φασιν, ἢ καὶ δευτέρου ἐπιπηδησάντων πρῶτον τῷ τείχει ἀπὸ κλίμακος εἰς ἱστὸν ἀνειμένης μεγίστης κοίλης νηός· ὅσα μὲν οὖν συνέβη τῇ πόλει μακροτέρων ἂν εἴη λόγων, καὶ οὐ πρὸς τὴν παροῦσαν ὑπόθεσιν. πάντως δὲ νοεῖν ἔξεστι πᾶσιν, ὁπόσα ταῖς αἰχμαλωτιζομέναις πόλεσιν ἐπιπέπτωκε πάθη, φόνοι ἀνδρῶν, γυναικῶν ἀνδραποδισμοί, σκυλεύσεις, οἰκιῶν κατασκάψεις, τἄλλα τε πάντα ὁπόσα μαχαίρας ἔργον καθέστηκε. ἐπεὶ γοῦν ἐγκρατεῖς τῆς πόλεως γεγόνασιν οἱ C Ἰταλοὶ διὰ τὰς ἁμαρτίας, ὡς ᾖσαν οἱ ἅγιοι τρεῖς παῖδες ποτέ, καὶ συνᾴδει καὶ πᾶσα ἡ θεία Γραφή, ὡς ἐξ ὑπερδεξίων ὁρμώμενοι τήν τε δυσμικὴν πᾶσαν κατέδραμον, ἀλλὰ δὴ καὶ τῆς ἑῴας μέρος οὐκ ἔλαττον. πρῶτον μὲν οὖν χειροῦνται τὰ τῆς δύσεως, πάντων ἀποφυγόντων αὐτούς, ὑπό τινος θεηλάτου ἐλαυνομένων πληγῆς.

ε'. Ὁ μὲν οὖν βασιλεὺς Ἀλέξιος ὁ Ἄγγελος, ὃν ἀποδρᾶναι λόγος εἰρήκει τῆς Κωνσταντινουπόλεως, περὶ τὴν Φιλιππούπολιν ἀφικόμενος, καὶ μὴ πρὸς τῶν οἰκητόρων δεχθεὶς περὶ τὴν Μοσυνούπολιν ἀφικνεῖται, κἀκεῖσε διατριβὰς ἐποιεῖτο. Ἀλέξιος ὁ Δούκας, ὃς τὸν υἱὸν τοῦ Ἰσαακίου ἀπέκτεινεν, βουλόμενος ἐκείνους αὐτῷ προσαρμόσασθαι, ἅμα τε τὸν Ἰσαακίου υἱὸν πεφόνευκε, καὶ ἅμα D τὴν τοῦ βασιλέως Ἀλεξίου θυγατέρα Εὐδοκίαν εἰς γυναῖκα προσηγάγετο, ὑστάτην οὖσαν τῶν θυγατέρων ἐκείνου. τρεῖς γὰρ ὑπῆρχον αὐτῷ, καὶ ἡ μὲν πρώτη Εἰρήνη κατωνομάζετο, ἣν καὶ ἀνδρὶ συνέζευξεν Ἀλεξίῳ τῷ Παλαιολόγῳ, ὃν καὶ δεσποτείᾳ τετίμηκεν, ἀλλὰ προῴχετο οὗτος τῆς Κωνσταντινουπόλεως. ἡ δὲ δευτέρα ἐκαλεῖτο Ἄννα, εἰς ἣν Θεόδωρον τὸν Λάσκαριν ἐπεὶ ἡρμόσατο· ἡ δὲ τρίτη Εὐδοκία, ἣν πρὸ καιροῦ ὁ πατὴρ αὐτῆς τῷ Κράλῃ Σερβίας συνέζευξεν, ἐπί τινι δὲ πάθει ταύτην, ὡς ἔφασκον, φωράσας, ἐπὶ τὸν πατέρα πάλιν ἐκπέμπει, καὶ ἣν οὗτος ταύτην εἰλήφει ὁ εἰρημένος Ἀλέξιος Δούκας ὁ Μούρτζουφλος, τὴν οἰκείαν καταλιπὼν γαμετήν. ὡς γοῦν παρὰ τῶν Ἰταλῶν ἑάλω ἡ Κωνσταντινούπολις, ἀπέδρα καὶ οὗτος ἐκεῖθεν, ἐπιφερόμενος καὶ τὴν σύζυγον Εὐδοκίαν. μαθὼν δὲ ὅτι, ὡς ἐν Μοσυνουπόλει τὰς διατριβὰς ποιεῖται ὁ πενθερὸς αὐτοῦ βασιλεὺς Ἀλέξιος θαρρούντως πρὸς αὐτὸν ἄπεισι. Ὁ δὲ τοῦτον πολλῶν δι' ἄλλων χάριν, καὶ οὐδὲν ἧττον τῆς θυγατρὸς ἐμυσάττετο. ἀνδρείας οὖν ὑποδὺς προσωπεῖον ὑποδέχεται τὸν Ἀλέξιον, καὶ λουτρὸν εὐτρεπίσας ἅμα τῇ θυγατρὶ λουθῆναι τοῦτον προσέταξεν. Ἐντὸς οὖν γενομένου τοῦ λουτῆρος οἱ τοῦ βασιλέως Ἀλεξίου ἐπεισπίπτουσιν αὐτῷ ὑπηρέται, κἀκεῖθι τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐξορύττουσιν. ἔφασκον δὲ

αἱ ξυντυχόντες ὡς ἡ θυγάτηρ ἑστῶσα παρὰ τὴν θύραν A τοῦ λουτροῦ τὸν πατέρα ὕβρεσιν ἔπλυνεν, κἀκεῖνος ταύτην τῆς ἀναιδείας καὶ ἀσελγοῦς ἀγαπήσεως ἐλοιδόρει. τυφλὸς οὖν γεγονὼς ὁ Δούκας Ἀλέξιος, περὶ τὰ τῆς Μοσυνουπόλεως ἐπλανᾶτο μέρη ἀλήτης διερχόμενος τὰ ἐκεῖσε. ὁ δὲ Βασιλεὺς Ἀλέξιος ἀπάρας ἐκεῖθεν περὶ τὰ μέρη τῆς Θεσσαλονίκης ἐχώρει. ἐπεὶ δ' ἐξώρμησαν τῆς Κωνσταντίνου οἱ Ἰταλοί, καὶ ἀπῆλθον τὴν Μοσυνούπολιν, εὑρόντες ἐκεῖσε τὸν Μούρτζουφλον εἰς τὴν Κωνσταντινούπολιν ἀπήγαγον, τοῦ δὲ μιάσματος ἀμυνόμενοι, ὃ εἰς τὸν Ἰσαακίου πεποίηκεν υἱόν, ἐκ Ταύρου κρημνίζουσι τοῦ κίονος.

ς'. Τῆς οὖν Μοσυνουπόλεως κυριεύσαντες οἱ Ἰταλοὶ ἄδειαν δεδώκασι τοῖς ταύτης οἰκήτορσι τοὺς θέλοντας B μένειν τε, καὶ ὑπὸ χεῖρα εἶναι αὐτῶν, τοὺς δὲ μή, ἀκωλύτως ἀπέρχεσθαι, ὅπη ἂν βούλοιντο. ἐξήρχοντο τοίνυν, οἱ μὲν φανερῶς, οἱ δὲ καὶ κρύφα, ὅσοι τῶν περιφανεστέρων ἐτύγχανον. ὁ δὲ Λάσκαρις Θεόδωρος, ἅμα τῇ γαμετῇ Ἄννῃ προεξελθεῖν πέφθακε τῆς Κωνσταντίνου, Δεσπότης ὑπ' ἐκείνου τετιμημένος. ἀπελθὼν τοίνυν μετὰ καὶ τῶν θυγατέρων Εἰρήνης, Μαρίας, καὶ Εὐδοκίας εἰς Νίκαιαν παρεκάλει τοὺς Νικαεῖς, εἴσω τῆς πόλεως δέξασθαι τοῦτον. οἱ δὲ οὐκ ἐδέχοντο. ὁ δὲ καὶ κἂν τὴν γυναῖκα δέξασθαι δυσωπῶν, μόλις ἔπεισεν. ἀφεὶς οὖν τὴν γυναῖκα, διήρχετο τὰ πέριξ Προύσης τε, καὶ τὰ περὶ αὐτήν, ὅπως ὑπὸ χεῖρα ταῦτα ποιήσαιτο, καὶ ὡς Βασιλεὺς ἀντὶ τοῦ πενθεροῦ Ἀλεξίου τούτων κατάρξειεν. οὐ δὴ καὶ τετύ- C χηκεν. καὶ γὰρ ἐν τῷ μεταξύ, καὶ πρὸς τὸν Περσάρχην ἀφίκετο, συνήθη τούτῳ τελοῦντα, καὶ συμμαχίαν προσείληφε, καὶ τὰ πρὸς σκοπὸν διεπράξατο. δύο γοῦν παραδραμόντων ἐνιαυτῶν, καὶ ὡς Δεσπότου φημιζομένου παρὰ πᾶσι τοῦ Λασκάρεως, ἐπεὶ συνδρομὴ γέγονε κατὰ Νίκαιαν, ἀπό τε περιφανῶν ἀνδρῶν, καὶ τῶν λογάδων τῆς ἐκκλησίας, σκέψις τούτοις ἐγίνετο, ὅπως Βασιλεὺς φημισθείη ὁ Δεσπότης Θεόδωρος. Πατριάρχου δὲ μὴ παρόντος ἐκεῖσε, ὁ γὰρ Καματηρὸς Ἰωάννης, ὃς τὸν Πατριαρχικὸν ἐκόσμει θρόνον, ἡνίκα τὴν Κωνσταντίνου ἐξήρπασαν Ἰταλοί, περὶ τὸ Διδυμότειχον ἀπῆρε, κἀκεῖσε τὰς διατριβὰς ἐποιεῖτο, καὶ διαμηνυθεὶς παρὰ τοῦ Λασκάρεως, καὶ τῶν λοιπῶν ἀπηνήνατο τὴν πρὸς αὐτοὺς ἄφιξιν, ἔγγραφον τὴν D παραίτησιν ποιησάμενος. ψηφίζεται γοῦν Πατριάρχης Μιχαὴλ ὁ Αὐτωρειανὸς λόγιος τυγχάνων, καὶ γραφῆς πάσης ἔμπειρος, τῆς τε ἡμετέρας καὶ τῆς θύραθεν, ὃς καὶ τὸν Δεσπότην Θεόδωρον τῷ τῆς Βασιλείας διαδήματι ταινιοῖ.

ζ'. Ἐντεῦθεν Βασιλεὺς ὁ Λάσκαρις ἀναγορευθεὶς συντονώτερον ἐφήψατο τῶν πραγμάτων. μάχαις δὲ προσέκυρσεν οὐκ ὀλίγαις, καὶ χαλεπαῖς. οἵ τε γὰρ Ἰταλοὶ κατὰ τὴν ἕω τὸν πόρον πεποιηκότες, τὰ πλείω ταύτης ὑφ' ἑαυτοὺς ἐποιήσαντο. τό, τε γὰρ ἅπαν θέμα Ὀψικίου, καὶ Αἰγαίου, καὶ αὐτὸ δὴ τὸ Ἀτραμύτιον τῶν Ἰταλῶν ἐγεγόνει, Βάρις τε, καὶ Αὐλωνία, Ποιμανηνόν τε, καὶ Λεντιανὰ μέχρι τοῦ Λοπαδίου αὐτοῦ, δεσπότας ἐγίνωσκον Ἰταλούς. ἀλλά γε δὴ καὶ τὰ τῆς Βιθυνίας πάντα, μέχρι καὶ Νικομη- E δείας αὐτῆς. ἐντεῦθεν ἐστενοῦτο πολὺ ὁ Βασιλεὺς Θεόδωρος οὐδὲν δὲ ἧττον καὶ πρὸς Ῥωμαίων αὐτῶν ἐβιάζετο. ἐν γὰρ τῇ συγχύσει τῆς Κωνσταντίνου ἁλώσεως, ἄλλοθεν ἄλλος ἡγεμόνες εἶναι τυχόντες, ἢ καὶ τῶν ἄλλων ἄρχοντες, ὡς οἰκείαν ἀρχὴν τὴν ὑφ' αὐτοὺς ἐποιοῦντο χώραν, ἢ ἐξ αὐτῶν εἰς τοῦτο ὁρμήσαντες, ἢ καὶ παρὰ τῶν οἰκητόρων μετακληθέντες εἰς τὴν τῆς χώρας δεφένδευσιν. αὐτίκα Θεόδωρος, ὃν καὶ Μωροθεό-

A latis testibus, filiam ad balnei fores stantem patrem injuriis lacessere, contra eam a patre pro impudico atque flagitioso amore proscindi. Obcæcatus itaque Ducas Alexius apud Mosynupolim, ac loca vicina palans vagusque aberrabat. At Imperator Alexius inde deflectens Thessalonicam contendit. Itali Constantinopoli excedentes, circaque Mosynupolim penetrantes compertum Alexium Murtzuphlum Constantinopolim avexere, scelusque, quod in Isaacii filium ediderat, ulciscentes, e columna, cui Tauro nomen est, egere præcipitem.

VI. Itali urbe potiti civibus potestatem fecere, ut qui vellent, manerent, ac subditi iis essent; qui nollent, libere, B quo vellent, proficiscerentur; jamque qui ante alios eminebant, hi clam, alii palam sese surripiebant. Teodorus Lascaris una cum uxore Anna ante direptionem, Despota ab Imperatore Alexio declaratus, Constantinopoli excessit. qui cum filiis Irene, Maria, & Eudocia Nicæa profectus, Nicænos exorabat, ut semet intus reciperent. cum non proficeret, acrius incumbens, ut uxorem admitterent, vix tandem obtinuit. Quare Nicææ uxore relicta circa Prusam loca omnia excurrebat, ut illa sibi subjiceret, & pro socero Alexio veluti Imperator res ageret, & ministraret. Nec spes eum fefellit. Namque interim ad Persarum C Principem sibi amicitia devinctum profectus, atque auxiliaribus copiis auctus, quæ animo conceperat, perfecit. Duobus ergo annis elapsis cum ab omnibus uti Despota Lascaris agnosceretur, & viri celeberrimi, ac Ecclesiæ primates concurrissent, illud inter eos agitatum est, qua ratione Theodorus Despota, Imperator acclamaretur. Patriarcha non aderat: Joannes quippe Camaterus, qui Patriarchale solium honestabat, Italis Byzantium expugnantibus, Didymoteichum abierat, ibique commorabatur: accersitus a Lascari, aliisque, scripto etiam Patriarchatui renuncians, noluit accedere. Ideo in ejus locum Michael Autorianus sufficitur, D vir desertus, litterarumque non nostrarum solum, sed externarum etiam peritissimus. Is Despotam Theodorum imperatorio diademate coronat.

VII. Hinc Imperator Lascaris renunciatus impensius ad res gerendas accingitur, bellisque se pluribus, iisque ingentibus exercuit. Itali namque in Orientem prætergressi, potissimam illius partem debellaverant. Thomas quidem Opsicii, & Ægæi, necnon Atramytium ipsum Italis cesserat, Baris item, & Aulonia, Poemanenum, Lentiana ad Lopadium, & Bithyniæ omnia ad Nicomediam Italorum imperium subierunt. Quare Imperator Theodorus in summas angustias addu- E ctus, non minus a Græcis ipsis urgebatur. Enimvero in perturbatione ac confusione direptionis Constantinopolitanæ hic inde alius atque alius cum exercitus ducerent, sive etiam aliis præstarent, partem quam ipsi moderabantur, sive id ex semetipsis tentantibus, sive ab accolis in locorum propugnationem accersiti, veluti dominatum proprium occupabant. Sic Theodorus cognomento Morotheodorus Philadelphiam

Edit. Paris. pag. 110.

dominatui suo subjecit. Alius item cognomento Sabbas Sampsonis urbem cum iis, quæ adjacebant, tenuit. Paphlagoniam universam David Alexii, qui Trapezunte imperaverat, frater, & magnus Comnenus vocabatur, Andronici Imperatoris nepotes, ab illius filio Manuele prognati. Sed Morotheodorum, & Sabbam facile oppressit: ideoque tuto & sine metu totius Celbiani, Mæandri, Philadelphiæ, & Neocastrorum dominationem tenebat.

VIII. Sed hic paululum coercenda oratio est. Namque mihi in animo est, quæ Imperatori Alexio contigere, recensere. Appulerat, uti supra memoravi, Thessalonicam, exceptusque est a nuru genere quidem Ungara, sed Imperatori Isaacio, post uxoris obitum, desponsata, muliere specie nimium egregia ac decora, ut qui illam viderant, fassi sunt. Ab Italis, Romana ditione in plurimas partes divisa, Balduinus Flander Imperator eligitur, Dux Venetiarum, cum ipse præsens adesset, Despotæ dignitate insignitur, & non perexiguam rerum accipit partem, rerum scilicet omnium, quæ Franci obtinuissent, quartam partem, quartamque mediam. Cum vero & Marchio non parum in suppetiis afferendis adjuvisset, a Flandru rex Thessalonicæ sit, & sibi Mariam, quam diximus, matrimonio jungit; ab hac Alexius excipitur: nec multo post novis rebus inhiare deprehensus, urbe pellitur una cum uxore, Eudociaque filia, quam Corinthum veniens, Sguro in matrimonium copulat. Paululum autem ibidem commoratus, a nonnullis insidias sibi parari audiens sese subterduxit, & parvæ Longobardorum manui impingens, dum ad consobrinum Michaelem contendit, capitur; quippe is etiam tunc temporis parti veteris Epiri dominabatur, cum Joanninis, & Artæ, usque ad Naupactum imperaret. Captus itaque a Longobardis Imperator Alexius, una cum uxore ab iisdem venditur: & paululum cum Michaele commoratus ad Sultanum Iconii Jathatinem, sibi familiaritate notum, proficisci deliberat. Nam Jathatines e fratris Azatinis tunc Musulmanarum rerum moderatoris manibus fugiens, profugus ad Alexium hunc proficiscitur, ab eodemque filius adoptatur, qui cum hoc Imperatore postea aufugit. Nec multo post, vir quidam ad ipsum clam proficiscens, fratris obitum nunciat, qui vili in veste, ac squallente, cum nuncio iter ingreditur, & a suis cognitus, Persarum principatui præest. Hic & Imperatori Theodoro apprime proficuus fuit auxiliaribus copiis, quippe qui Imperatricem Annam compellabat sororem.

Edit. Paris. pag. 111.

IX. Alexius commeatibus fultus e ditione Michaelis solvit, & ventis operam dantibus Attalum descendit, & quam cupidissime a Sultano excipitur. Interim Nicææ Theodoro Imperatori degenti, a Sultano Legatio mittitur, quæ & Imperatoris & soceri nunciaret adventum, & quam injustus esset alieni principatus occupator. Conturbatur nuncio Imperator. Sultanus enim specie propugnandi Alexii, re autem ipsa Græcorum agros omnes excurrere populabundus sibi animo fuerat, erantque ut ajant, in

A δωρον ἐπεκάλουν, ἄρχων ἦν τῆς Φιλαδέλφου πόλεως· ἕτερος δὲ Σάββας τοὐπίκλην τὸ ἄστυ ἰδιοποιεῖ τὸ Σαμψὼν, μετὰ καὶ τῶν πλησίον τυγχανόντων αὐτῷ. Παφλαγονίας δὲ πάσης ἐγκρατὴς ἦν Δαβὶδ ἀδελφὸς ὢν Ἀλεξίου τοῦ τῆς Τραπεζοῦντος κρατήσαντος, ὃς καὶ μέγας ὠνομάζετο Κομνηνὸς, οἱ τοῦ Βασιλέως Ἀνδρονίκου ὑπῆρχον ἔγγονοι, Μανουὴλ τῷ τούτου τεχθέντες υἱῷ. ἀλλὰ τὸν μὲν Μαυροθεόδωρον, καὶ τὸν Σάββαν εὐχερῶς μετῆλθεν. ἀφεντεῦθεν ἰδιοποιεῖτο ἀδεῶς καὶ Κελβιανοῦ τε παντὸς, Μαιάνδρου, Φιλαδελφείας, καὶ Νεοκάστρων.

η'. Ἀλλ' ἐνταῦθά μοι ὁ λόγος ἀναμεινάτω. ἱστορῆσαι γὰρ βούλεται τὰ τῷ Βασιλεῖ Ἀλεξίῳ συμβάντα. ἀφίκετο μὲν οὖν, ὡς εἰρήκειν, εἰς Θεσσαλονίκην, καὶ ὑ-
B πεδέχθη παρὰ τῆς αὐτοῦ νύμφης, ἣ ἐξ Οὔγγρων μὲν ὥρμητο, ἐπεγαμβρεύθη δὲ τῷ Βασιλεῖ Ἰσαακίῳ μετὰ τὴν τῆς γυναικὸς αὐτοῦ τελευτὴν, ἦν καὶ ὡραίαν πάνυ τῷ εἴδει, οἱ κατειδόντες ἔφασκον εἶναι. τῶν δ' Ἰταλῶν εἰς πολυμέρειαν τὰ τῆς Ῥωμαΐδος κληρωσαμένων, καὶ τοῦ μὲν ἐκ Φλάνδρας ὡρμημένου Βαλδουίνου Βασιλέως ἀναγορευθέντος, τοῦ δὲ Δουκὸς Βενετίας, ὃς καὶ αὐτοπρόσωπος συνῆν, μερίδα οὐ μικρὰν ἐσχηκότος, καὶ Δεσποτικῷ ἀξιώματι τιμηθέντος, ἔχειν τε ἐξ ὅλων πρὸς τὸ ὅλον, ὃ τὸ τῶν Φράγγων ἐκτήσατο μέρος τὸ τέταρτον, καὶ τοῦ τετάρτου τὸ ἥμισυ. ἐπειδὴ καὶ ὁ Μαρκέσιος ἀξιόλογον μοῖραν τῆς συμμαχίας ἦν ἐνεγκάμενος, Ῥὴξ τῆς Θεσσαλονίκης παρὰ τοῦ Φλάνδρα
C τετίμητο, προσλαβόμενος καὶ γυναῖκα τὴν δηλωθεῖσαν Μαρίαν, ὑπὸ ταύτης ὑπεδέχθη Ἀλέξιος. μετὰ μικρὸν δὲ φωραθεὶς τοῖς ἐκεῖσε νεωτερίζεσθαι, ἀποδιώχθη συνάμα τῇ γυναικὶ, καὶ τῇ θυγατρὶ Εὐδοκίᾳ, ἣν καὶ εἰς Κόρινθον ἀφικόμενος τῷ Σγουρῷ συνέζευξε. μικρὸν δὲ τοῖς ἐκεῖ συνδιατρίψας, γνοὺς παρά τινων, ὡς ἁλίσκεσθαι μέλλει, ἀπέδρα. ἐκ Λογγιβαρδίας δέ τισι ξυντυχὼν, ἁλίσκεται πρὸς τὸν πρωτεξάδελφον αὐτοῦ Μιχαὴλ τὰς κινήσεις ποιούμενος. ἦν γὰρ κἀκεῖνος τῷ τότε μέρους τινὸς παλαιᾶς κρατήσας Ἠπείρου, καὶ πολλὰ Ἰταλοῖς παρέχων πράγματα, τοῖς πρὸς τὰ ἐκεῖσε μέρη ἀφιγμένοις, καὶ ἦν οὕτως δυναστεύων τῆς τοιαύτης χώρας, Ἰωαννίνων γὰρ ἦρχε καὶ Ἄρ-
D της καὶ μέχρι Ναυπάκτου. ὡς γοῦν ἑάλω παρὰ Λογγιβάρδων ὁ Βασιλεὺς Ἀλέξιος, καὶ ἀπεμπολεῖται παρ' αὐτῶν συνάμα τῇ γυναικί. μικρὸν δὲ μετὰ τοῦ Μιχαὴλ προσκαρτερήσας βουλεύεται πρὸς τὸν Ἰκονίου Σουλτὰν ἀπελθεῖν, ὃν Ἰαθατίνην ὠνόμαζον, ἦν γὰρ τούτῳ συνήθης. ὁ γὰρ εἰρημένος Ἰαθατίνης τὰς τοῦ ἀδελφοῦ αὐτοῦ χεῖρας ἀποδρὰς Ἀζατίνου, κατάρχοντος τότε τῶν Μουσουλμάνων, ἐς Ἀλέξιον ἧκε τοῦτον, καὶ παρ' αὐτοῦ υἱοθετεῖται, ὃς καὶ τῷ Βασιλεῖ τούτῳ συναπέδρα. ἀλλ' οὐ συχναὶ παρῆλθον ἡμέραι, καὶ ἀφικνεῖται πρὸς αὐτὸν ἀνὴρ τὸν ἀδελφοῦ αὐτοῦ μόρον μηνύων αὐτῷ κρύφα, ὃς καὶ ῥάκεσι πενιχροῖς ἐσταλμένος μετ' αὐτοῦ ἀφικνεῖται, καὶ τοῖς αὐτοῦ καταστὰς γνώριμος, Περσάρχης ἐπιφη-
E μίζεται. οὗτος καὶ τῷ Βασιλεῖ Θεοδώρῳ χρήσιμος ἀνεφάνη, συμμαχίαν δοὺς, ὡς ἀδελφὴν γὰρ τὴν Βασιλίδα Ἄνναν ὠνόμαζον.

θ'. Ἐφοδίοις ἀπάρας τῆς τοῦ Μιχαὴλ γῆς, καὶ φορῷ χρησάμενος πνεύματι, τῇ τῆς Ἀττάλου προσώρμισεν. ἀσμενέστατα οὖν παρὰ τοῦ Σουλτάνου προσδέδεκται. ὁ Βασιλεὺς δὲ Θεόδωρος διῆγεν ἐν τῇ Νικαίᾳ, καὶ πρεσβεία παρ' αὐτὸν ἀφικνεῖται, τῆς τοῦ Βασιλέως, καὶ τοῦ πενθεροῦ γεν-

ἐοίζουσα ἄφιξιν, καὶ ὡς ἄδικος εἴη, ξένης ἐπειλημμένος ἀρχῆς. ἐταράχθη γοῦν ἐπὶ τοῖς λόγοις ὁ Βασιλεύς. ὁ μὲν γὰρ Σουλτὰν πρόφασιν εἶχεν Ἀλέξιον, σκοπὸς δ᾽ ἦν αὐτῷ τὴν τῶν Ῥωμαίων καταδραμεῖν. καὶ ἦν ἐπὶ ξυροῦ, φασίν, τούτῳ τὰ πράγματα. συναγαγὼν γοῦν τοὺς αὐτοῦ ἐπειρᾶτο τούτων, εἴτε αὐτῷ προσανέχοντες εἶεν, εἴτε τῷ πενθερῷ. οἱ δὲ πανσυδὶ, ἢ συζῆν αὐτῷ, ἢ συναπολέσθαι εἰρήκεισαν. θαρσαλέως οὖν τῆς Νικαίας ἐξάγει, ἔχων καὶ τοὺς τοῦ Σουλτὰν πρέσβεις. ταχυτέρῳ δὲ τῷ δρόμῳ χρησάμενος ἀφίκετο εἰς Φιλαδέλφειαν. ὁ δὲ Σουλτὰν ἐπάρας μεθ᾽ ἑαυτοῦ, καὶ ὃν ὡς δέλεαρ ἐπεφέρετο Βασιλέα Ἀλέξιον, τὴν ἔφοδον ἐν Ἀντιοχείᾳ πεποίηται. πόλις δὲ αὕτη χώρας προσκαθημένη Μαιάνδρῳ, ἁρπάσαι δ᾽ οἱ ταύτης ἦν ὁ σκοπός. διὰ ταῦτα, καὶ ἑλεπόλεις ἐστήσατο, καὶ ἐπόρθει τὴν πόλιν. καὶ ἦν γε αὕτη ἐν χρῷ τοῦ ἁλῶναι. ὁ δὲ καὶ δεδιὼς ὁ Βασιλεὺς Θεόδωρος, ἦν γὰρ καὶ ἀληθές, ὡς εἰ ταύτης ἐκράτησεν ὁ Σουλτάν, οὐδὲν ἂν ἦν αὐτῷ ἐμποδὼν, τοῦ μὴ πᾶσαν τὴν Ῥωμαίων χειρώσασθαι, καὶ οἷον ἐπὶ κύβου τὸν πόλεμον θεὶς, ἢ μᾶλλον ἀληθῶς εἰπεῖν ἐπὶ τῷ δεσπότῃ θαῤῥήσας Χριστῷ, οὗ τὴν κλῆσιν ὡς σύνθημά τι, ἢ σφραγῖδα οἱ εὐσεβεῖς ἐπιφερόμεθα, ἐπισπεύδει τὸν δρόμον, παραγγείλας μηδένα, ἢ σκηνὴν φέρειν, ἢ ἄχθος, ἢ ἕτερόν τι τῶν ἀλυσιτελούντων ἐν τῷ πολέμῳ, ἀλλὰ μέν τοι τῶν ἀναγκαίων τροφῆς μικρᾶς, καὶ ἐνδύματος. ἦν δὲ ἅπαν αὐτῷ τὸ στράτευμα εἰς δισχιλίους ἠριθμημένον, ὧν ὀκτακόσιοι μὲν Ἰταλοὶ, ἄνδρες γενναῖοι, καὶ τὴν χεῖρα δεινοὶ, ὡς ὁ καιρὸς ἔδειξεν. Ῥωμαῖοι δὲ οἱ λοιποὶ ἐτύγχανον.

ι. Ἐγγύς που γοῦν γενόμενος τῆς Ἀντιοχείας ὁ Βασιλεὺς, ἀφίησι τὸν πρέσβυν Πέρσην πρὸς τὸν σφέτερον ἀφίεσθαι δεσπότην. καὶ ὃς ἀπῆλθε. καὶ μηνύει τῷ Σουλτὰν τὴν τοῦ Βασιλέως ἔφοδον δύσπιστον ἐκείνῳ πάνυ τυγχάνουσαν. ὅρκοις γοῦν ἐβεβαίου ὁ πρέσβυς, ὡς ἐγγὺς ὁ Βασιλεὺς πάρεστιν. ταῦτ᾽ οὖν ἀκηκοὼς ὁ Σουλτὰν, ὡς εἶχε τάχους τὰς δυνάμεις συνάγει, καὶ παρατάττεται πρὸς τὸν πόλεμον. ἐμπίπτουσι γοῦν ταῖς τοῦ Σουλτὰν πρώταις δυνάμεσιν Ἰταλοὶ, ἀλλ᾽ ἦν τὸ τῶν Μουσουλμάνων πλῆθος πολὺ, ἔργα δὲ καρτερᾶς χειρὸς ἐνδειξάμενοι, καὶ γενναιοτέρας ψυχῆς, σχεδὸν πίπτουσι πάντες, ἀπειροπλασίους ξίφους ἔργον ποιήσαντες. τῶν γοῦν Ἰταλῶν οἱ Μουσουλμάνοι περιγενόμενοι, ῥᾷον καὶ τῶν Ῥωμαϊκῶν ἐκράτουν δυνάμεων. καὶ οἱ μὲν προτροπάδην ἔφυγον, ὀλίγοι δ᾽ ἐκαρτέρουν τὸ τέλος τῆς μάχης ἀποσκοπούμενοι. τῆς μάχης οὖν ἐγκρατὴς γενόμενος ὁ Σουλτὰν ἐζήτει τὸν Βασιλέα, καὶ δείκνυσί τις τοῦτον αὐτῷ ἐν ἀμηχανίᾳ γενόμενον, ὡς εἶχε γοῦν τάχους πρὸς τὸν Βασιλέα ὁρμᾷ τῇ τοῦ σώματος ἰσχύϊ θαῤῥῶν ἐπ᾽ αὐτῷ. ὁ μὲν Σουλτὰν ἀορὶ κατὰ τῆς κεφαλῆς πλήττει τὸν Βασιλέα, καὶ πίπτει τοῦ ἵππου, ἦν γὰρ τῇ βολῇ σκοτοδινιάσας. συνεμποδίσθη γὰρ, ὥς φασι, τῇ βολῇ καὶ ὁ ἵππος, οὐκ οἶδ᾽ εἰ καὶ τούτου δευτέραν παρὰ τοῦ Σουλτὰν λαβόντος πληγήν. ἔξω δ᾽ οὖν ἵππου ὁ Βασιλεὺς γενόμενος, καὶ οἷον ῥωσθεὶς ὑπὸ θειοτέρας δυνάμεως, ἐπὶ πόδας δὲ σταθεὶς τὴν σπάθην ἐξάγει τοῦ κολεοῦ, καὶ τοῦ Σουλτὰν ἐνθένδε στραφέντος, καὶ ὑβριστικῶς ἐπειπόντος, λάβετε τουτονὶ, πλήττει τοὺς ὀπισθίους πόδας τῆς Σουλτὰν ἵππου ὁ Βασιλεὺς, θηλείας γὰρ ἐπωχεῖτο, καὶ ὑπερμεγέθους. ὡς ἐκ πύργου γοῦν ὁ Σουλτὰν καταβάλλεται. καὶ οἱ αἰφνηδὸν ἡ κεφαλὴ ἀποτέμνεται, μήτε τοῦ Βασιλέως γνόντος, μήθ᾽ ἑτέρου τῶν συμπαρεστώτων τῷ Βασιλεῖ, παρά του κεκαρατόμηται. ὅμως γοῦν ἐντεῦθεν ὁ Βασιλεὺς τὸ πλεῖστον ἐξητημένος. οὐδὲ γὰρ εἶχεν ἐπὶ τὰ πρόσω χωρεῖν μετὰ μετρίων ἐλελειμμένος. τοῦτο τοῖς Ῥωμαίοις ἀναψυχῆς ἐγένετο πρόφασις. σπονδὰς γὰρ ἐντεῦθεν ἀῤῥήκτους οἱ Μουσουλμάνοι μετὰ Ῥωμαίων ἐποίησαν. ἐντεῦθεν τὴν ἐκείνοις μά-

A aeie novacula res Theodori. Quare coovocatis suis omnibus, explorabat, in sui ne, an in soceri Imperatoris Aleaii partem abituri sunt? Illi omnes acclamare, aut una eum eo se vivere, aut una mori velle. Recollecto igitur animo Nicæa exit, secum Legatos Sultani convehens, ociusque i appropeтans, Philadelphiam occupat. Sultanus cum Imperatore Alealo, quem veluti escam secum conducebat, in Antiochiam irrupit. Est ea civitas Mæandro adjacens, cujus potiundæ propositum erat. Hinc machinis adactis, urbem premebat, & tantum non eeperat: quod pertimescens Theodorus Imperator (neque enim dubium erat, quin ea subacta, nullum in posterum B impedimentum foret, quo minus Romani imperii reliquum debellatet) & veluti in cubo belli exitu posito, sive, ne verius dicam, Chtisti Domini, cujus nomen veluti tesseram & signum pil nos eircumferimus, præsidio nisus, propere celerat, prius commisso, ne quis attegias aut sarcinas, aut aliquid simile prælio inutile, pro necessariis tenui victo, vestituque deferret. Exeteitus bina hominum millia noo excedebat, quorum octingenti Itali, viri strenui, & manu fortes, ut occasio palam fecit, reliqui Græci fuere. *Edit. Paris. pag. 113.*

X. Prope itaque Antiochiam factus Imperator, Persam Legatum ad pro- C prium dominum, dimittit. Ille abiit, Sultanoque nunciat Imperatotis aceessum, creditu omnino difficilem, adeo ut Imperatorem jam adesse jurejurando cnnfirmare necessum fuerit. His auditis Sultanus quam celerrime collectis eopiis in aciem militem excit. Primum Itali Sultani ordines oimium multos adoriuntur, ac manus validæ, vitiliorisque animi facinoribus effectis, fere nmnes occumbunt, cum multo plures ae multo numerosiores obtruncassent. Exsuperatis a Musulmano Italis, nullo negotio, Græcotum exercitus fusus est, eujus potior pate sugiens terga vertere, pauci se sistere, pugnæ exitum expectantes. Ubi Sultanus pu- D gnam indipiscitur, Imperatorem vestigat; horrentem illum, atque attonitum quispiam monstrat; sic celeritate, qua poterat, corporis tobote fideos in Impetatorem rapitur, & clava eaput Imperatoris ferit; illa plaga vertigioe eorreptus, equo, quippe equus etiam plaga nescio an iterata externatur, decidit, quo deturbatus, & divino auxilio veluti fultus, etectus, strictoque gladio, Sultaoi inde reversi, injuriosque enuclamatis, *Capite hunc*, posteriores equæ, qua immanis ille vehebatur, pedes cædit; indeque tamquam e turti dejecti Sultani eaput homeris avellitur. A quonam vero abscissum sit, neque Imperatot, neque ex iis, qui aderant, quispiam perspexit. Potissima itaque sui parte devictus, cum altra progredi, paucis superstitibus, non posset, Imperator devixit. Hinc relaxatis animis Græci respirarunt. Numquam enim rescindendo amicitiæ fœdere Musulmani eum Græcis sociati sunt, quo a Per-

fecis pugnis liber Imperator Italorum A præliis animum advertebat: comprehendit & socerum in acie, quem debito honore affectum Nicæam condu-
Edit. Paris. pag. 113. xit, insignibusque imperatoriis spoliatum in Hyacinthi monasterium relegavit, ubi & diem suum obiit. Conjux enim illius Euphrosyne in Arta urbe, in qua & sepulta est, vita excessit.

XI. Profligavit deinceps Imperator Theodorus, & Davidem Paphlagoniæ dominum, & in potestatem redegit Heracleam, Amastrim, loca in eis atque oppidula omnia. Rursus cursus orationis id postulat, ut, quæ gesta sunt in Occidente, enarrem: ut vero historia omnibus perspicua sit, pauca quædam prædicenda sunt. Cum Im- B perator Isaacius rem gereret Constantinopolitanam, uxore demortua, quam supra diximus, Ungaram Ungarorum principis filiam uxorem duxit, apparans nuptias, easque regias, magnificis quoque sumptibus eas decorare decrevit. Hinc ex universa Romanorum ditione pecudes, sues, ac boves congregabantur. Sed cum harum rerum Bulgaria omnium feracissima sit, plurima quoque ab ea deposcebantur. Bulgari & antea quidem inimici Romanis, illisque multorum bellorum, captivitatum, excidiorum urbium, & aliorum sexcentorum infortuniorum per annos plures caula, tandem ab Imperatore Basilio, quem non aliam ob causam *Bulgaroctonum* dictum, fama C atque auditione accepimus, debellati, ad Imperatoris usque Isaacii tempora Romanis tributa pendebant: tum ob ea, quæ memoravimus, rebellionem moliuntur, ab Asano, nescio quo, suasore atque impulsore, qui regionem occupat, omnibus, quæ intra Hæmum ad Istrum usque excurrunt, in potestatem redactis. Eo res Romana quammaxime afflicta est. Bulgari namque, cum Scythæ mutuas operas tradidissent, multis malis Romanos vexarunt. Propterea indignatus Imperator Isaacius, in unum collectis copiis Romanorum, adversus eos aciem ducit, & maritima prætergressus, atque Mesembriam civitatem iter faciens, D Hæmum ingreditur, Asanus cum exercitu in oppidulo, cui nomen Strinabo, moras agit. & Imperator Alexius tentoriis fixis, Bulgaros obsidet, sed ab illis eluditur. Unus etiam ex illis transfugam simulans Imperatori Scytharum irruptionem denunciat. Imperator conturbatus nuncio, licet die sequenti oppidulum subacturus esset, loco cedit, nec eam, quam inierat, redit viam, sed delusus a Bulgaro breviorem nec inconsultus aggreditur. Progredientem itaque, & in angusta semita laboran-
pag. 114. tem Bulgari adoriuntur, militem fundunt, apparatum omnem bellicum deprædantur, ipsamque etiam Imperatoris supellectilem diripiunt. Ex Roma- E nis plures cæsi sunt: qui cum Imperatore evaserant, pauci admodum fuere, & plane nudi. Hac victoria spoliisque Romanorum Bulgari nimis & insolenter animos sublevarunt, quippe qui ea ipsis imperatoriis insignibus pretiosiora conquisierant, & præter ea regias Pyramidas, Phialas celebres, pecuniæ vim immensam, ipsam etiam imperatoriam crucem, quam Sacerdos ab-

A χας ἐλευθερίαν εἶχεν ὁ Βασιλεύς. τοῖς δ' Ἰταλῶν πολέμοις ἐσχόλαζεν. προσελάβετο δὲ καὶ τὸν πενθερὸν αὐτοῦ ἐν τῇ μάχῃ ἁδρῶν, καὶ τὰ εἰκότα τιμήσας, ἀπήγαγέ τε εἰς Νίκαιαν, καὶ τῶν Βασιλικῶν παρασήμων ἐκδύσας, ἐν τῇ τοῦ Ὑακίνθου μονῇ ἄγειν ἐκέλευσεν. ἔνθα καὶ θνήσκει. ἡ γὰρ σύζυγος αὐτοῦ Εὐφροσύνη ἐν τῇ τῆς Ἄρτης ἐτελεύτησε χώρᾳ, ἔνθα καὶ ὁ τάφος αὐτῆς κατετέθη.

ια΄. Περιεγένετο δὲ καὶ ὁ Βασιλεὺς Θεόδωρος τοῦ τῆς Παφλαγονίας κρατοῦντος Δαβίδ, καὶ Ἡράκλειαν παρεστήσατο, καὶ Ἄμαστριν, καὶ τὴν πᾶσαν περιξ χώραν, καὶ πολίχνια. πάλιν δέ μοι τὰ τῆς ἱστορίας βούλεται τὰ ἐν τῇ ἑσπέρᾳ συμβάντα ξυγγράψασθαι. ἵνα δέ μοι ἡ ἱστορία τοῖς πᾶσιν εὔγνωστος εἴη, δέον ὀλίγ' ἄττα προει- B πεῖν. τοῦ Βασιλέως Ἰσαακίου τῆς Κωνσταντίνου κατάρχοντος, καὶ τῆς γαμετῆς θανούσης αὐτοῦ, ἠγάγετο εἰς γυναῖκα τὴν ἐξ Οὐγγρίας ὡρμημένην προειρήκειν, οὖσαν τοῦ τῶν Οὔγγρων ἄρχοντος θυγατέρα. ἐπεὶ δὲ ἔμελλε τὸν γάμον ποιεῖν, καὶ ὑπῆρχεν οὗτος βασιλικός, ἀξιόλογα ἔδει γενέσθαι καὶ τὰ τούτου ἀναλώματα. ἐντεῦθεν ἐξ ἁπάσης τῆς Ῥωμαίων ἐπαρχίας πρόβατα, καὶ βόες, καὶ χοῖροι συνήγοντο. ἐπεὶ δὲ πλείω τῶν ἄλλων ἡ Βουλγάρων τρέφει ταῦτα, καὶ πλείω παρὰ ταύτης ἀπῃτοῦντο. τὸ γὰρ Βουλγάρων φῦλον ἐκπεσπονδον μὲν τὰ πρῶτα Ῥωμαίοις τελοῦν, καὶ πολέμων πολλῶν πρόξενον γεγονὸς αὐτοῖς, ἀνδραποδισμῶν τε, καὶ ἁλώσεων πόλεων, καὶ μυρίων ἄλλων δεινῶν, καὶ ταῦτα ἐν πολλοῖς ἔ- C τεσιν, ὕστατα παρὰ τοῦ Βασιλέως Βασιλείου χειροῦται, ὃν διὰ ταῦτα Βουλγαροκτόνον ἡ φήμη ἐκάλεσε. μέχρι δ' οὖν τοῦ Βασιλέως Ἰσαακίου ὑπόφορον τὸ γένος ἐτέλει Ῥωμαίοις. διὰ δὲ τὴν τοιαύτην πρόφασιν μεμελέτηκεν ἀποστασίαν. καὶ ἀνίσταταί τις Ἀσὰν τοὔνομα, καὶ βασιλεύει τῆς χώρας, ἅπαντα τὰ ἐντὸς τοῦ Αἵμου μέχρις τοῦ Ἴστρου ὑφ' ἑαυτὸν ποιησάμενος. ἐκ τούτου οὐκ ὀλίγα πράγματα Ῥωμαίοις συνέβη. ἔχοντες γὰρ οἱ Βούλγαροι τὸ Σκυθικὸν σύμμαχον, πολλὰ ἐποίουν τῷ Ῥωμαίων δεινά. τότε καὶ ὁ Βασιλεὺς ἀγανακτήσας Ἰσαάκιος τὸ τῶν Ῥωμαίων ἅπαν συναγαγὼν στράτευμα, κατ' αὐτῶν ἐχώρει. τὴν γοῦν παράλιον παρελθών, καὶ διὰ τῆς Μεσημβρίας πόλεως τὴν δίοδον ποιούμενος, εἴσω τοῦ Αἵμου γίνεται. D ὁ δὲ Ἀσὰν μετὰ τοῦ ὑπ' αὐτὸν στρατεύματος ἐντὸς τοῦ πολιχνίου οὗ δὴ τὸ ὄνομα Στρίναβος, εἰσέρχεται. ἔνθα καὶ τὰς σκηνὰς πηξάμενος ὁ Βασιλεὺς Ἰσαάκιος τοὺς Βουλγάρους ἐπολιόρκει. καταστρατηγεῖται δὲ παρ' αὐτῶν. τῶν γὰρ Βουλγάρων τίς, προσωπεῖον ὑποδὺς φυγάδος, ἀφικνεῖται παρὰ τὸν Βασιλέα, καὶ μηνύει αὐτῷ Σκυθῶν ἔφοδον. ὁ δὲ Βασιλεὺς τῷ λόγῳ θροηθείς, καὶ ταύτῃ τῇ ἐπιούσῃ τὸ πολίχνιον χειρώσασθαι μέλλων, ἀπανίσταται τοῦ τόπου, οὐκ ἐξελθεῖν ὢν τὴν ἣν εἰσῆλθεν ὁδόν, ἀλλ' ἀπατηθεὶς ὑπὸ τοῦ Βουλγάρου τὴν ταχυτέραν τέχνᾳ διεξιέναι βεβούλευται. ἐπιπίπτουσιν οὖν αὐτῷ διερχομένῳ οἱ Βούλγαροι, ἐπί τινι στενωπῷ γενομένῳ, καὶ κατακόπτουσι τὸ αὐτοῦ ἅπαν στράτευμα, καὶ σκυλεύουσι E πᾶσαν τὴν τῆς στρατιᾶς ἀποσκευήν, ἀλλὰ δὴ καὶ τὴν τοῦ Βασιλέως αὐτοῦ. πίπτουσι δὲ πολλοὶ τῶν Ῥωμαίων· οἱ δὲ διασωθέντες μετὰ τοῦ Βασιλέως γυμνοί τε ἦσαν, καὶ ὀλίγοι πάνυ. ἐντεῦθεν ἐφυσιώθη τὸ τῶν Βουλγάρων φῦλον, λείαν πολλὴν ἐκ τῶν Ῥωμαίων εἰληφός. ἀλλὰ δὴ καὶ ἐκ τῶν Βασιλικῶν παρασήμων τὰ καιριώτερα· τάς τε γὰρ τοῦ Βασιλέως πυραμίδας ἀνελάβοντο, καὶ φιάλας τῶν ἐπισήμων, καὶ χρῆμα εἰς πλῆθος καὶ αὐτὸν

τὸν

τὸ Βασιλικὸν σαυρόν. τοῦ τινος γὰρ αὐτὸν ἱερέων ῥίψαντος μετ' οὐ μικρὸν ἐφεῦρον αὐτὸν ἐν τῷ ποταμῷ, ἐκ χρυσοῦ μὲν κατεσκευασμένον, φέροντα δὲ μέσον ἐκ τοῦ ἁγίου ξύλου, εἰς σαυροῦ σχῆμα τετυπωμένον, θήκας δὲ μικρὰς παμπόλλας ἔχοντα, ἐν οἷς προσῆσαν λείψανα ἁγίων Μαρτύρων, τὸ γάλα τε τῆς Θεομήτορος, καὶ μέρος τί τῆς ζώνης αὐτῆς. Ο μὲν οὖν Βασιλεὺς Ισαάκιος εἰς τὴν Κωνσαντίνου ᾤχετο.

ιβ'. Ἐντεῦθεν οὐκ ὀλίγα πράγματα Ῥωμαίοις ἐκ Βουλγάρων. καὶ τοῦ Ἀλεξίου βασιλεύσαντος πόλεμοι αὐτῷ ἐκ τούτων πολλοὶ περὶ Βέρροιαν, ἔνθα καὶ ὁ Πρωτοστράτωρ Καμύτζας ὑπὸ Βουλγάρων ἑάλω μαχόμενος, τοῦ ἀδελφοῦ τοῦ Ἀσὰν Ἰωάννου τότε κατάρχοντος. ὁ γὰρ Ἀσὰν εἶχε δύο ἀδελφούς, Πέτρον, καὶ Ἰωάννην. καὶ τὸν μὲν Ἰωάννην εἶχε μεθ' ἑαυτοῦ, τὸν δὲ Πέτρον, τμῆμά τι κόψας, ἄρχειν τούτου παρῆκεν. ἐννέα γοῦν ἐνιαυτοὺς ἡγεμονεύσας ὁ Ἀσάν, φονεύεται παρὰ πρωτεξαδέλφου αὐτοῦ Ἰβάνου, καὶ βασιλεύει ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης, ἀφήλικος ὄντος τοῦ τοῦ Ἀσὰν υἱοῦ Ἰωάννου.

ιγ'. Ὃς πολλῶν ἐγεγόνει τοῖς Ῥωμαίοις αἴτιος κακῶν, καὶ τοῖς Ἰταλοῖς αὐτοῖς. οὐκ ἦν γὰρ οὔπω Βασιλεὺς Βουλγάρων, ὁπότε ἡ Κωνσταντίνου ἑάλω. ὡς γοῦν οἱ Ἰταλοὶ πᾶσαν τὴν τῆς Μακεδονίας χώραν ὑφ' ἑαυτοὺς ἐποιήσαντο, Βασιλέως τοῦ πρώτου κατάρξαντος Βαλδουίνου τὰ κατ' αὐτοὺς διευθύνοντος. καὶ πρὸς τὴν πόλιν Ἀδριανοῦ διεμηνύσαντο, ὅπως ὑπ' αὐτοὺς γένηται. ὁ γὰρ Βασιλεὺς Βουλγάρων Ἰωάννης προὔλαβε χειρώσασθαι τὴν Φιλιππούπολιν, καὶ ἀνδραποδισμὸν τῶν Ῥωμαίων ἐκεῖθεν ποιήσασθαι. μὴ βουληθέντων δὲ τῶν Ἀδριανοπολιτῶν ὑπὸ χεῖρα γενέσθαι τῶν Ἰταλῶν, ἐκστρατεύουσιν οἱ Ἰταλοὶ κατ' αὐτῶν. εἰς στενοχωρίαν οὖν οὐ μικρὰν ἐλθόντες οἱ τῆς Ἀδριανοῦ στέλλουσι πρὸς τὸν Βασιλέα Βουλγάρων Ἰωάννην, ἵνα συνάρηται τούτοις. ὁ δὲ ἀσμένως δέχεται τοῦτο, καὶ Σκύθας μεθ' ἑαυτοῦ προσλαβόμενος, μηχαναῖς Λατίνων περιγενέσθαι σπεύδει. καὶ ὁ μὲν ἵστατο μακράν που τῆς Ἀδριανοῦ πόλεως, ἐκπέμπει δὲ κατὰ τῶν Ἰταλῶν τοὺς Σκύθας. Ἰταλοῖς μὲν οὖν ἔθος ἐφ' ἵπποις ἐποχεῖσθαι ὑψαύχεσι, καταφράκτοις ὅπλοις, Σκύθαι δὲ κουφότερον ὡπλισμένοι, ἐλευθερώτερον ἐπιπηδῶσι τοῖς ἐναντίοις. οὐ μὰ συνιέντες οἱ Ἰταλοὶ παρὰ τῶν Σκυθῶν καταστρατηγοῦνται. ὡς καὶ αὐτὸν τὸν Βαλδουῖνον ὑπ' αὐτῶν ἁλῶναι, καὶ δέσμιον ἀπαχθῆναι πρὸς τὸν Βασιλέα Βουλγάρων Ἰωάννην, οὗπερ, ὥς φασι τὴν κεφαλὴν εἰς κύπελλον χρηματίσαι τῷ βαρβάρῳ, κόσμῳ περικαθεῖσαν κύκλωθεν. οἱ μὲν οὖν Ἀδριανουπολῖται ἐκ τοῦ παραυτίκα τὸ γεγονὸς οὐκ ἐγνώρισαν. εἰ γὰρ εἰδεῖσαν, λείαν ἂν ἐποίησαν τὰς Ἰταλικὰς σκηνάς. οἱ δὲ ἀπολειφθέντες Ἰταλοὶ φῶτα λαμπρὰ τῶν σκηναῖς ἅψαντες, καὶ μέσων νυκτῶν ἄραντες, περὶ τὴν Κωνσταντίνου χωροῦσιν. πρωΐας οὖν γνόντες τοῦτο οἱ τῆς Ἀδριανοῦ τὰ ἐλλελειμμένα ταῖς σκηναῖς ἅρπαγες ἦσαν. ὁ μὲν οὖν Βασιλεὺς Βουλγάρων Ἰωάννης, κατὰ τὰ ὑπεσχημένα τοῖς Ἀδριανουπολίταις ἐγκρατὴς γενέσθαι τῆς σφῶν πόλεως ὥρμησεν. οἱ δὲ ἀπηρνήσαντο τοῦτο. δυσαναχετήσας οὖν πολιορκῆσαι τούτους ἠθέλησεν, ἀλλ' ἀφυεῖς παντελῶς εἰς πολιορκίαν οἱ Βούλγαροι. οὔτε γὰρ ἑλεπόλεις οἴδασι στῆσαι οὐδ' ἕτερον μηχανήσασθαι. ἀπάρας γοῦν ἐκεῖθεν, ὡς τῶν Ἰταλῶν καταπορθηθέντων, πᾶσαν κατατρέχει Μακεδονίαν, καὶ λείαν πολλὴν ἐλᾷ, αὐτάνδρους τὰς πόλεις ἑλών, καὶ τέλος

jecerat, non multo post in flumine offendunt, ex auro compactam, in medio ex sacrosancto ligno, in modum Crucis efformato, Crucem complectentem, & plurimos loculos habentem, in quibus sanctorum Martyrum reliquiæ, Deiparæ lac, & Zonæ ejusdem pars asservabantur. Imperator ergo Isaacius Constantinopolim fugiens se recepit.

XII. Hinc noxis non paucis Romanos Bulgari affecerunt. & cum imperaret Alexius, multis præliis prope Berrœam, ubi Protostrator Camytzes depugnans a Bulgaris captus est, ab iisdem Bulgaris vexatur: Joanne Asani fratre tunc dominante. Asanus enim duos habuit fratres Petrum & Joannem. Joannes penes illum residebat; Petro partem e dominio avulsam committit, ut regeret. Per integros novem annos cum Asanus rem Bulgarorum gessisset a consobrino suo Ivano jugulatur. Hæres fit imperii Joannes ipsius frater, cum Asani filius Joannes tenera adhuc esset ætate.

XIII. Hic multa in Romanos mala ingessit, & in Italos etiam ipsos. Erat enim cum Constantinopolis direpta est Bulgarorum rex. Quando itaque Itali universam Macedoniam subegerunt, res eorum, qui Constantinopoli imperium tenuit, regia administrante Balduino, pro deditione Adrianopolitas sollicitant: nam rex Bulgarorum Joannes magna Romanorum clade, prædaque ditatus Philippopolim præripuerat. Cum Italorum jugum Adrianopolitæ detrectassent, Itali in eos copias educunt. Quare Adrianopolitæ in angustias adducti ad regem Bulgarorum Joannem, ut suppetias ferret, viros delegant. postulatis ille oblectatus, sociosque sibi Scythas adsciscens, ex insidiis Latinos opprimere statuit. Ipse quidem longe Adrianopoli aberat, Scythas vero in Italos mittit. Italis in more est, equis ferocitate exultantibus vehi, munirique armis circumquaque toto corpore. verum Scythæ cum levius armentur, liberius adversarios impetunt. Illud ignorantes Itali a Scythis dolis opprimuntur, ut & ipse Balduinus ab ipsis captus sit, vinculisque obstrictus ad Bulgarorum regem Joannem adductus, illius caput, ornamentis undique circumseptum, poculi loco Barbaro inserviisse fama est. Adrianopolitæ non statim rem perceperant; nam castris adsultassent Italorum, ac bona diripuissent. Reliquiæ utcumque Italorum, in tentoriis clarissimis luminibus accensis, media nocte, pedem Constantinopolim referunt. Eo mane cognito ab Adrianopolitanis, quæ in tentoriis remanserant, prædatum itum est. Rex Bulgarorum Joannes Adrianopolitarum promissionibus fretus, urbem sibi subjicere avens, iter arripit. illi se dedere recusarunt. Sic ille indignatus ad eos obsidendum animum advertit. Verum in apparandis obsidionibus Bulgari omnino inepti sunt: neque enim admovendarum machinarum artem callent, neque quidpiam aliud excogitare possunt. Propterea inde discedens, Italis penitus debellatis universam Macedoniam excurrit, prædaque ingenti locupletatur, urbes cum ipsis habitatoribus spolians, funditusque evertens, ut numquam Romani respirare

Edit. Paris. pag. 115.

possent. Namque a fundamentis sustulit Philippopolim, deinde Heracleam, Panicum, Rhædestum, Chariupolim, Trajanupolim, Macram, Claudiupolim, Mosynupolim, Peritheorium, aliasque, quas enumerare operæpretium non est. Multitudinem abigens circa Istri fluenta collocat, & ex jam direptis oppidis & urbibus nomina propriis coloniis imponit, damna, ut ipse dictitabat, compensans, quibus Imperator Basilius Bulgaros afflixerat, eumque fatebatur dici *Bulgaroctonum*, se vero *Romæoctonum* indigitabat. is usque Thessalonicam perveniens laterali morbo vitam finiit, vel, ut alii afferebant, ira Numinis morte mulctatus est. Somniavit enim ab armato sibi adstante, hasta latus confodi: propterea a cane illi nomen impositum est, & *Scylo-Joannes* ab omnibus compellabatur. Cum enim Scythas sibi devinxisset, affinitate cum illis contracta, & mores sibi vindicaret inmaniores, cædibus Romanorum admodum delectabatur. Hoc fatis functo, sororis illius filius Borylas, Scythide avia in matrimonium ducta, regnum Bulgarorum occupat. Filius vero Asani Joannis, clam ereptus ad Scythas asportatur.

Edit. Paris. pag. 116. XIV. Michaeli porro, quem Epiro imperasse supra fassi sumus, tres fuere fratres Constantinus, Theodorus, & Manuel. Theodorus cum Theodoro Lascari Romanorum Imperatore vivebat: & Theodorum Imperatorem Michael deprecatur, ut eum ad se mitteret, quod nullum genuinum filium adultum possideret, quem enim susceperat, Michael ex pellice erat; & mortem intempestam pertimesceret. Imperator mittit hic fratri, cum prius jusjurandum fidelitaris, in semet, & in successores suos exegisset. Sic dimissus, cum fratre Michaele in communitate vitæ atque victus erat. Nec multo post Michael a servo, Romæo nomen erat parricidæ, interimitur. & Theodorus frater in dominatu secum habens Constantinum & Manuelem fratres succedit, & imperii sui jura nimium extendit. Namque non parvam regionem, tum ex Italis, tum ex Bulgaris suæ ditioni adjecit: sibique Thessaliam, Achridam, Prilapum, Albanum, & Dyrrachium ipsum subegit; ubi Petrum cum ingenti militum vi ex Italia venientem, & Constantinopolim iter intendentem, a Papa Imperatorem declaratum, & qui Dyrrachium præoccupaverat, fortiter in fugam vertit. Petrus sororem Balduini Jolentam sibi matrimonio junxerat, ex ea filios suscepit, Philippum, Robertum, & Balduinum, quorum Robertus & Balduinus Constantinus Constantinopolis regimen tenuerunt, cum primus eorum frater Philippus Roberto imperium cessisset. Ex eorum sororibus Maria Theodoro Imperatori copulatur. Porro Epiri Theodorus exercitu coacto, Petro paululum Dyrrachium prætergresso, & inter Albani angustias adducto sese opponit. Ibi Theodori Comneni milites Latinorum copiis fundunt oppressis universis, adeo ut omnes comprehensos vincu-

A κατασκάψας, ὡς μήτε Ῥωμαίοις ἀνάκλησιν χῶν. κατέσκαψε γὰρ Φιλιππούπολιν, εἶτα Ἡράκλειαν, Πάνιον, Ῥαιδεστὸν, Χαριούπολιν, Τραϊανούπολιν, Μακρὴν, Κλαυδιούπολιν, Μοσυνόπολιν, Περιθεώριον, καὶ ἄλλας ἃς ἀριθμεῖν οὐ χρεών. τὸν δὲ λαὸν ἀπάρας ἐκεῖθεν περὶ τὰς παραῤῥοίας τοῦ Ἴστρου καθίζει ἐκ τῶν ἀνδραποδισμένων κωμῶν, καὶ πόλεων, ἐπιθεὶς τὰς κλήσεις τῶν οἰκήσεσιν. ἀντάμειψιν μὲν οὖν, ὡς ἔφασκον ἐποιεῖτο, τῶν, ὧν εἰργάσατο πρὸς Βουλγάρους κακῶν ὁ Βασιλεὺς Βασίλειος. καὶ καλεῖσθαι μὲν ἔλεγον ἐκεῖνον Βουλγαροκτόνον, Ῥωμαιοκτόνον δὲ ὠνόμαζεν ἑαυτόν. μέχρι γοῦν καὶ αὐτῆς καταντήσας Θεσσαλονίκης ἐκεῖσε θνήσκει, πλευρίτιδι νόσῳ καταχεθείς, ὡς δέ τινες ἔλεγον, ὅτι ἐκ θεομηνίας αὐτῷ ὁ θάνατος γέγονεν. ἔδοξε γὰρ αὐτῷ καθ' ὕπνους ἔνοπλον ἄνδρα ἐπιστῆναι αὐτῷ, καὶ δόρατι πλῆξαι οἱ τὴν πλευρὰν, ὡς καὶ ὄνομα τεθῆναι τούτῳ ἐκ κυνός. Σκυλοϊωάννης γὰρ ἐπεκλήθη τοῖς πᾶσι. τῶν γὰρ Σκυθῶν τὸ γένος ἰδιοποιησάμενος, καὶ κοινωνήσας αὐτοῖς κοινωνίαν, καὶ τρόπου μετασχὼν θηριωδεστέρου, φόνοις ἐνετρύφα Ῥωμαίων. ὡς γοῦν οὗτος ἐτεθνήκει, ὁ τῆς ἀδελφῆς αὐτοῦ παῖς Βορύλας τοὔνομα, τὴν Σκυθίδα θείαν γαμετὴν εἰληφὼς τῆς ἀρχῆς τῶν Βουλγάρων γέγονεν ἐγκρατὴς, τὸν δὲ τοῦ Ἀσὰν παῖδα Ἰωάννην ἀφῄρηκα ἔτι ὄντα κρύφα τὶς λαβὼν περὶ τὰς Σκύθας κεχώρηκεν.

ιδʹ. Ὁ Μιχαὴλ δὲ, ὃν τῆς Ἠπείρου κατάρξαι εἰρήκαμεν, τρεῖς κασιγνήτους ἐκέκτητο Κωνσταντῖνον, Θεόδωρον, καὶ Μανουήλ. ὧν ὁ μὲν Θεόδωρος τῷ Βασιλεῖ Ῥωμαίων συνῆν Θεοδώρῳ τῷ Λάσκαρι. καὶ παρακαλεῖ τὸν Βασιλέα Θεόδωρον ὁ Μιχαὴλ, ἵνα τοῦτον πρὸς αὐτὸν ἐκπέμψῃ, διὰ τὸ μὴ ἔχειν ἔτι παῖδα ἔνηβον, ἀλλ' οὐδὲ γνήσιον, ὁ γὰρ αὐτῷ γεννηθεὶς Μιχαὴλ ἐκ παλλακῆς ἐκείνῳ γεγένηται, καὶ τὸν θάνατον δεδιέναι τὸν ἄωρον. καὶ πέμπει τοῦτον τῷ ἀδελφῷ, ὅρκοις πρῶτον ἐμπεδωσάμενος πίστιν δουλείας εἰς τοῦτον φυλάττειν, καὶ εἰς τοὺς μετ' αὐτόν. ὃς καὶ ἀφικόμενος συνῆν τῷ ἀδελφῷ Μιχαήλ. μετ' οὐ πολὺ δὲ φονεύεται παρά τινος τῶν ὑπηρετῶν ὁ Μιχαὴλ, Ῥωμαῖος δὲ ἦν τῷ φονευτῇ τοὔνομα. ἐπιλαμβάνεται γοῦν τῆς ἐξουσίας ἐκείνου ὁ ἀδελφὸς Θεόδωρος ἔχων καὶ τοὺς ἀδελφοὺς Κωνσταντῖνον, καὶ Μανουήλ. καὶ ηὔξησε τὴν αὐτοῦ ἀρχήν. προσεκτήσατο γὰρ οὐκ ὀλίγην χώραν, ἔκ τε Ἰταλῶν, καὶ Βουλγάρων, καὶ τὴν Θεσσαλίαν ὑφ' αὐτὸν ἐποιήσατο, Ἀχρίδα τε, καὶ Πρίλαπον, Ἀλβανόν τε, καὶ αὐτὸ τὸ Δυῤῥάχιον. ἔνθα καὶ Πέτρον μετὰ μεγίστης στρατιᾶς ἐξ Ἰταλίας ὁρμώμενον, καὶ πρὸς τὴν Κωνσταντινούπολιν διοδεύοντα, ἀναγορευόμενον πρὸς τοῦ Πάπα Βασιλέα, καὶ προχειρωσάμενον τὸ Δυῤῥάχιον, ἐκ τοῦ Λατίνων μέρους Βαλδουίνου, καὶ τοῦ μετ' αὐτὸν Ἐῤῥῆ γενναίως κατετροπώσατο. γαμβρὸς δ' ἦν ὁ Πέτρος Βαλδουίνου ἐπ' ἀδελφῇ Ἰολέντα, ἐξ ἧς παῖδες αὐτῷ Φίλιππος, Ῥομπέρτος, καὶ Βαλδουῖνος. ὧν ὁ μὲν Ῥομπέρτος, καὶ Βαλδουῖνος τῆς Κωνσταντίνου βεβασιλεύκασι, τοῦ πρώτου αὐτῶν ἀδελφοῦ τοῦ Φιλίππου τῷ ἀδελφῷ Ῥομπέρτῳ τῆς Βασιλείας παραχωρήσαντος. ὑπῆρχον σφίσι καὶ ἀδελφαὶ, Μαρία, ἣ συνεζύγη ὁ Βασιλεὺς Θεόδωρος. ὁ δὲ τῆς Ἠπείρου Θεόδωρος, τὸ οἰκεῖον παραλαβὼν στράτευμα ἀντιπάττεται τῷ Πέτρῳ μικρὸν ὑπερπηδήσαντι τὸ Δυῤῥάχιον, καὶ ἐν ταῖς τοῦ Ἀλβανοῦ δυσχωρίαις γεγενημένῳ. νικῶσι γοῦν οἱ τοῦ Κομνηνοῦ Θεοδώρου τὸ τῶν Λατίνων στράτευμα, ὡς πάντας ἄρδην δεσμώτας ποιῆσαι σὺν πᾶσι σκεύεσι. καὶ αὐτὸν δὲ

δὲ τὸν Βασιλέα Πέτρον ἔργον μαχαίρας γενέσθαι. τοῦτο δὲ τότε μέγα Ῥωμαίοις ἐγεγόνει βοήθημα.

ιέ. Ὁ δὲ Βασιλεὺς Θεόδωρος Λάσκαρις ἐκ τῆς αὐτοῦ γαμετῆς Ἄννης τρεῖς ἐποιήσατο θυγατέρας, Εἰρήνην, Μαρίαν, καὶ Εὐδοκίαν. τὴν γοῦν Μαρίαν δευτέραν τῷ υἱῷ παραδίδωσι. τὴν δὲ πρώτην συζεύγνυσι τῷ Παλαιολόγῳ Ἀνδρονίκῳ, ὃν καὶ Δεσπότην τετίμηκε. μετ' οὐ πολὺ δὲ ὁ Δεσπότης Παλαιολόγος θνήσκει, ὡς μέν τινες ἔφασκον ἐξ ἐρωτικῶν διαθέσεων, καὶ προσλαμβάνεται ὁ Βασιλεὺς εἰς γαμβρὸν Ἰωάννην τὸν Δούκαν, οὗ Βατάτζης τὸ ἐπίκλην, ἐκ Διδυμοτείχου δὲ Πρωτοβεστιάριον ὄντα. ἡ μὲν οὖν Βασίλισσα Ἄννα προτετελευτήκει. ἤγετο δὲ ἐξ Ἀρμενίων γυναῖκα ὁ Βασιλεύς, δυσαρεστήσας δὲ πρὸς αὐτὴν ἐπὶ τὴν οἰκείαν πατρίδα ἐκπέμπει. ἐπιφέρει δὲ αὐτῷ γαμετὴν τὴν τοῦ Βασιλέως Ἰταλῶν Ῥομπέρτου ἀδελφήν. καὶ τὸν θεῖον γὰρ Ἐῤῥίκου ὁ Ῥομπέρτος διεδέξατο πολλὰ Ῥωμαίους ἡττήσαντα. μάλιστα δὲ ἐξ ὅτου τὸν Σουλτὰν πεφόνευκεν ὁ Βασιλεὺς Θεόδωρος. τότε γὰρ τὸ ἐκ Φράγγων παρὸν αὐτῷ ἀπολώλεκε στράτευμα. διὸ καὶ τὴν τοῦ Βασιλέως νίκην ἀκηκοὼς ὁ Ἐῤῥῆς, νενίκηται, ἔφη, ὁ Λάσκαρις, οὐ νενίκηκε. καὶ μέχρι καὶ αὐτοῦ Νυμφαίου τὰς σκηνὰς ὁ Ἐῤῥῆς ἐπήξατο. ἐκεῖθέν τε ὑποστρέψας εἰς ξυμβάσεις ἦλθε μετὰ τοῦ Βασιλέως Θεοδώρου. καὶ συνεφωνήθη τὰ μὲν τοῦ Κιμινᾶ πάντα, οὕτω γὰρ τὸ ὄρος καλεῖται, τὸ ἐγγὺς τῆς Ἀχυράους τυγχάνον, μετὰ καὶ αὐτῆς τῆς Ἀχυράους παρὰ τοῦ τῶν Φράγκων γένους διακατέχεσθαι, τὸν δὲ Κάλαμον, κώμη δέ ἐστιν ὁ Κάλαμος, ἐξ οὗ τὸ τῶν Νεοκάστρων ἄρχεται θέμα, μένειν ἀοίκητον. τὰ δ' ἐντεῦθεν τάδε Νεόκαστρα, Κελβιανόν, Χλιαρά τε, καὶ Πέργαμος, καὶ τὰ πλαγίως ἐγκείμενα Μαλδία τε, καὶ Ὀψίκια παρὰ τοῦ Βασιλέως Θεοδώρου διακατέχεσθαι. ὑπῆρχε δὲ τούτῳ καὶ ἄλλη χώρα ἡ ἀπὸ τοῦ Λοπαδίου ἀρχομένη, καὶ Προῦσαν περιλαμβάνουσα, καὶ Νίκαιαν.

ιϛ'. Ὁ δ' εἰρημένος Ἐῤῥῆς εἰ καὶ Φράγκος τὸ γένος ἦν, ἀλλ' οὖν τοῖς Ῥωμαίοις, καὶ ἰθαγενέσι τοῖς Κωνσταντίνου ἱλαρώτερον προσεφέρετο. καὶ πολλοὺς εἶχε, τοὺς μὲν τοῖς μείζοσιν αὐτοῦ συντεταγμένους, τοὺς δὲ τοῖς στρατιώταις, τὸ δὲ κοινὸν ὡς οἰκεῖον παρεῖχε λαόν. καὶ γὰρ περιγενόμενος τῶν λοιπῶν ἄστεων, Λεντιανῶν, καὶ Ποιμανηνοῦ, καὶ ἄνδρας τὸν ἄρην πνέοντας, καὶ ψυχῆς γενναίας ἔργα ἐνδειξαμένους, ὡς ἕρμαιόν τι ἐδέξατο ἐφεδρεῦον. ἐν γὰρ τῷ τῶν Λεντιανῶν ἄστει οὐ μόνον σπάνις ὕδατος τοὺς φυλάσσοντας ἐξέκαυσεν, οὐδ' ὅτι ὁ λιμὸς καὶ σκύτη αὐτοὺς φαγεῖν κατηνάγκασεν ἀπ' ἀσπίδων, καὶ ἐφεστρίδων αὐτῶν. ἀλλὰ καὶ τεῖχος οὐ μακροδιάστατον ταῖς ἑλεπόλεσι καταπεσόν, μετὰ μεγίστης πυρκαϊᾶς τεσσαράκοντα ἡμέρας ἐφύλαττον τοῦτο ἀμοιβαδὸν τῇ πυρκαϊᾷ προσεπισωρεύοντες ξύλα. κρατηθέντος γοῦν τοῦ ἄστεος, οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ μόνος ὁ τοῦ Βασιλέως αὐτάδελφος. καὶ ὁ εἰς ἡγεμόνα τοῦ στρατεύματος τεταγμένος Δερμοκαΐτης, καὶ ὁ Παλαιολόγος Ἀνδρόνικος, ὃν, ὡς ἔφην, καὶ εἰς τὴν θυγατέρα αὐτοῦ ὁ Βασιλεὺς προσελάβετο γαμβρόν. πάντας δὲ τοὺς ἄλλους ὁ Ἐῤῥῆς συλλεξάμενος, καὶ κατ' ἴλας συντάξας, καὶ ὁμογενεῖς αὐτοῖς παραδοὺς ἡγεμόνας, ὑπερέχειν δὲ πάντων τὸν Θεοφιλόπουλον Γεώργιον παρακελεύσας, τὴν τῶν ἀνατολικῶν μερῶν αὐτοῖς φυλακὴν ἐπίστευσεν.

Georg. Acrop. Hist.

lis alligarint, impedimenta abripuerint, ipsumque etiam Petrum Imperatorem gladio peremerint. Hac victoria res Romana haud minimum sublevata est.

XV. Theodoro Lascari ex Anna uxore filiæ natæ sunt tres, Irene, Maria, & Eudocia. Mariam secundam Ungariæ regis Hierosolymis per illius ditionem revertentis filio nuptum dederat, primam Andronico Palæologo, quem & Despotæ dignitate insigniverat, locarat: nec multo post Palæologus Despota mortem obit, ut quidam tradiderunt, ex amatoriis affectibus, & Imperator eam Joanni Ducæ, Batatzæ cognomine, e Didymotœcho, & tunc Protovestiarii officium administranti despondit. Imperatrix Anna extra vitam finierat, hinc ex Armeniis uxorem accipit Imperator, cui deinceps subiratus, in patriam remittit, & cum sorore Italorum principis Roberti, qui Erico patruo multas de Romanis victorias consecuto successerat, nuptias facit. Per Ericum enim, ex quo Sultanum Imperator Theodorus necaverat, maxime res Romana afflicta est. Tunc enim Italum militem, utut ille erat, perdidit. Quare Ericus de Imperatoris victoria certior factus, *Lascaris*, exclamat, *victus est, non vicit*. Hic Ericus Nymphæum usque castra posuit: indeque regressus, cum Imperatore Theodoro fœdus iniit: concordatumque est, Ciminæ, sic enim mons Achiraus adjacens appellatur, universa, & ipsam Achiraum a Latinis possideri: Calamum vero, id oppidum est, ex quo Neocastrorum thema initium sumit, inhabitatum deseri, quæ sequerentur, Neocastra, Celbianum, Chliara, Pergamus, & quæ a latere erant, Maldia, & Opsicia sub Imperatoris Theodori potestate esse. Præter hæc alias etiam regiones Theodorus dominabatur, quæ a Lopadio principium habens Prussam, Nicæamque suo ambitu continet.

Edit. Paris. pag. 117.

XVI. Sed Ericus, licet Francus genere, Romanos tamen & Byzantinos indigenas placidius sæda iusque amplectebatur, & ex illis plures inter primates collocaverat, alios inter militem adnumeraverat, plebem vero veluti proprium populum fovebat. Etenim Romanis urbibus Lentianis ac Poemaneno expugnatis, viros in illis martem spirantes, & editis facinoribus singulares præter spem incautos in lucro deputavit. Nam Lentianis non modo aquarum penuria custodes afflixit, verum & fames adeo excruciavit, ut scutorum, necnon sagulorum pelles comedere compulsi sint. Murum etiam machinis admotis solo æquatum, adeoque vaste ac profunde hiantem, unus post alium incendio ligna superaggerens per quadraginta dies defenderunt: tandem urbe perdomita nullus ex defensoribus, præter germanum Imperatoris fratrem, & qui exercitui præerat Dermocaitem, & Palæologum Andronicum, cui Irenem filiam Imperator, ut antea diximus, collocaverat, occidit. Quia omnibus Ericus in unum convocatis, & in turmas ac cohortes dispositis, Ducibus ex eodem genere assignatis, omnium principatum Theophilopulo Georgio commisit, & Orientalium partium custodiam demandavit.

pag. 118.

XVII. Sub Erico Byzantii imperante, Byzantium a Papa, ipsi Legatum indigitant, Pelagius, Papæ prærogativas omnes præferens, ablegatur; namque calceos rubros induebat, neque diversi coloris indumentis amiciebatur, quinimmo equi sagulum, & fræna eodem inficiebantur veneno; & cum moribus esset immanioribus, fastus & insolentiæ plenus, nimium in Byzantinos sæviit. Et propositum a ratione aberrare non videbatur. Omnes enim ut veteri Romæ colla subjicerent, compellebat. Hinc Monachi in carcerem impingi, Sacerdotes in vincula, & templa omnia occludi, nec præter hæc duo tertium statui: etenim vel Papam omnium primum Pontificem faterentur, illiusque inter sacrorum solemnia memoriam facerent, vel qui id abnuissent, morte penderent pœnam. Hoc Byzantii accolæ, & inter eos primas obtinentes angi, excruciarique animo, & ad Ericum Imperatorem profecti. *Nos*, inquiunt, *alio genere orti, aliumque habentes Pontificem, nosmet imperio tuo & potestati subjecimus, ita ut in corpora, non in animum & spiritum dominareris. Namque in tui defensionem, dum bellum geritur, arma capere necesse est, at nostris ritibus, & ceremoniis cedere fieri omnino nequit. Aut itaque nos ab urgente periculo libera, aut tamquam liberis ad indigenas aditionem dato.* Sic locutis, ille, cum tot probis optimisque viris privari nollet, etiam invito Legato, ac renuente, templa reseravit, custodiis circummunitos Monachos ac Sacerdotes liberavit. Multi vero ex Monachis antequam hæc gererentur, Constantinopoli excedentes ad Imperatorem Theodorum commigrarunt, quibus illius mandato, Monasteria ad habitandum assignata sunt. & Sacerdotes Nicæam petentes, partim Patriarchali Clero adnumerati, partim locis sacris oblectati libere vitam traduxere.

XVIII. Erico fato functo, frater illius Robertus mollius negotiis incumbebat. Hujus soror Imperatori nupserat. Paucis elapsis annis, cum Constantinopolitanus Imperator Robertus uxori non esset obnoxius, Imperator impium facinus sibi in animo proposuit, studens eum Eudociæ filiæ alligare, sibique generum assumere. Hinc dissidia inter Manuelem tunc temporis Patriarcham atque Imperatorem suborta sunt, cum neutiquam ille adeo infandis negotiis assensum præstaret. Verum Imperator, quod optabat exitu præstare non potuit. Nondum enim illa Constantinopolim transmissa, dum appararet nuptias, vitam finit, genero suo Joanni Ducæ imperio relicto: nullum enim habebat puberem filium: nam quem ex Imperatrice Anna susceperat ante obierat, & ex Armena filius unicus susceptus, erat octennis, cum pater illius & Imperator vita defecit. Quod itaque ille masculo filio, atque pubere destitueretur, filiæ suæ maritus hæres fit. Imperator Theodorus Lascaris, annis quinque & quadraginta, & amplius, minor quinquaginta natus excessit e vita. Decem & octo regnavit, corpore sed non nimium, pusillus, moderate nigricante, promissa barba, sed quæ in extremis scinderetur, variis sed parumper oculis,

Edit. Paris. pag. 119.

A ιζ΄. Τοῦ δὲ Ἐρρῆ τῆς Κωνσταντίνου κατάρχοντος, ἀποστέλλεται πρὸς τὴν Κωνσταντίνου Ἀρχιερεὺς, ὃν καὶ Λεγάτον αὐτοί φασι, τοὔνομα Πελάγιον, ἅπαντα τὰ προνόμια τοῦ Πάπα φέροντα. ἐρυθροβαφῆ καὶ γὰρ ὑπεδέδετο πέδιλα, ἐκ τῆς αὐτῆς δὲ χροιᾶς καὶ τὰ ἐνδύματα εἶχε, καὶ ἡ ἐφεστρὶς τοῦ ἵππου, καὶ τὰ χαλινὰ τῷ τοιούτῳ ἐβάπτοντο χρώματι. ἤθους δὲ τυχόντος ἀγριωτέρου, καὶ ἀλαζονείᾳ χρώμενος, πολλὰ δεινὰ τοῖς Κωνσταντινουπολίταις παρέχειν. ἡ ἡ σκῆψις ὡς εὔλογος. ἠνάγκαζε γὰρ τοὺς πάντας τῇ τῆς πρεσβυτέρας Ῥώμης ὑποκύψαι ὑποταγῇ. ἐντεῦθεν καθείργνυντο μοναχοὶ, ἱερεῖς ἐδεσμεῦντο, καὶ ναὸς ἅπας ἐγκέκλειστο. καὶ ἦν ἐν αὐτῷ δυοῖν θάτερον, ἢ ὁμολογῆσαι τὸν Πάπαν πρῶτον Ἀρχιερέα, B καὶ τούτου τὴν μνήμην ἐν ἱεροτελεστίαις ἐκφωνεῖν, ἢ θάνατον εἶναι τῷ μὴ ἐξαπραξαμένῳ τὸ ἐπιτίμιον. Ταῦτα εἰς βαρυθυμίαν ἦγε τοὺς οἰκήτορας τῆς Κωνσταντίνου, καὶ μάλιστα τῶν ἄλλων τοὺς προὔχοντας. οἳ καὶ πρὸς τὸν βασιλεύοντα τὸν Ἐρρῆν ἀφιγμένοι, ἡμεῖς μὲν, ἔφασαν, ἄλλου γεγονότες γένους, καὶ ἄλλον Ἀρχιερέα ἔχοντες, ἑαυτοὺς τῷ κράτει σου ὑπετάξαμεν, ὥστε σωματικῶς ἀπάρχειν ἡμῶν, οὐ μέν γε ψυχικῶς, ἢ πνευματικῶς. σοὶ μὲν γὰρ ἐν πολέμοις ὑπερμαχεῖσθαι τῶν ἀναγκαίων, τῶν δὲ ἡμετέρων ἐκστῆναι σεβασμάτων, καὶ θρησκευμάτων, τῶν ἀδυνάτων πάντῃ καθέστηκεν. ἢ γοῦν λῦσον ἡμῖν τὰ ἐπελθόντα δεινὰ, ἢ ἄφες ὡς ἐλευθέρους ἐν τοῖς ἰθαγενέσιν ἀφῖχθαι. ταῦτ' εἶπον. κἀκεῖνος μὴ C βουλόμενος ἐν στερήσει γενέσθαι τοσούτων καλῶν, κἀγαθῶν ἀνθρώπων, καὶ ἄκοντος τοῦ εἰρημένου Λεγάτου, τούς τε ναοὺς ἀνέωξε, καὶ τοὺς, ὅσοι ταῖς εἱρκταῖς ἦσαν κατεχόμενοι, μοναχοί τε, καὶ ἱερεῖς ἀπολέλυκε. πολλοὶ δὲ τῶν μοναχῶν προεξιόντες τῆς Κωνσταντινουπόλεως τῷ Βασιλεῖ Θεοδώρῳ προσέστησαν, καὶ αὐτοῖς προστάξει τούτου μοναὶ ἐπεδίδοντο. πρεσβύτεροι δὲ πρὸς τὴν Νίκαιαν ἀπιόντες, οἱ μὲν τῷ Πατριαρχικῷ κλήρῳ συγκατελέγησαν. οἱ δὲ θείοις ναοῖς ἐνασμενίσαντες, ἐλευθέρως ἐβίωσαν.

ιη΄. Τοῦ Ἐρρῆ δὲ τελευτήσαντος, ὁ ἀδελφὸς αὐτοῦ Ῥομπέρτος μαλακώτερον εἴχετο τοῖς πράγμασι. τούτου τὴν ἀδελφὴν εἰς γαμετὴν εἰλήφει ὁ Βασιλεύς. οὐ πολλοὶ D παρῆλθον ἐνιαυτοὶ, καὶ ἐπεὶ ὁ τῆς Κωνσταντινουπόλεως Βασιλεὺς Ῥομπέρτος οὐκ ἔφθασε συζυγῆναι γυναικὶ, παράνομόν τι πρᾶγμα βεβούλευται ὁ Βασιλεὺς διαπράξασθαι. Ἐπεὶ γὰρ τῇ θυγατρὶ αὐτοῦ Εὐδοκίᾳ προσλαβέσθαι τουτονὶ γαμβρὸν ᾑρετίζετο. ἐνθένδε τι καὶ ἔρις ἐκ τοῦ τότε Πατριαρχοῦντος Μανουὴλ τῷ Βασιλεῖ ξυμβεβήκει, μηδ' ὅλως τῇ τοιαύτῃ ἀθεσμογαμίᾳ συγκατανεύσαντος. ἀλλ' οὐκ ἔφθασεν ὁ Βασιλεὺς τέρματι δοῦναι τὸ βούλημα. μήπω γὰρ στείλας ταύτην εἰς Κωνσταντίνου, ὡς ηὐτρέπιστο, καταλύει τὸν βίον, τὴν Βασιλείαν καταλιπὼν Ἰωάννῃ τῷ Δούκᾳ, τῷ γαμβρῷ αὐτοῦ. οὐ γὰρ ἔφηβον εἶχεν ἄρρενα παῖδα, εἰς ἥβην ἐλθόντα, ὃν γὰρ ἐκ τῆς Βασιλίδος Ἄννης ἔσχηκεν ἄρρενα παῖδα τεθνάναι E προέφθασεν. ἐκ δὲ τῆς ἐξ Ἀρμενίων ὡρμημένης ἓν παιδίον ἄρρεν πεποίηκεν, ὅπερ ὀκταέτες ἦν, ἡνίκα ὁ Βασιλεὺς, καὶ πατὴρ αὐτοῦ ἐτεθνήκει. διὰ γοῦν ἀμοιρεῖν αὐτὸν ἄρρενος ἐνήβου γονῆς, ὁ ἐπὶ τῇ θυγατρὶ γαμβρὸς αὐτοῦ Βασιλεία κληρονομεῖ. ἦν δὲ ὁ Λάσκαρις με΄ ἐτῶν καὶ πρὸς, ἐλάττων δὲ τῶν ν΄. Βασιλεύσας ἐν τούτοις ἔτη ιη΄. τὸ μὲν σῶμα μικρὸς, οὐκ ἄγαν δὲ μελάγχρους, ἐφ' ἱκανὸν καθειμένον ἔχων τὸ γένειον, καὶ περὶ τὸ ἄκρον σχιζόμενον, ἐπ' ὀλίγον ἐπ-

A γόφθαλμος, πρὸς τὰς μάχας ὀξὺς, θυμοῦ τε, καὶ ἀφροδισίων ἡττώμενος, ἐλευθεριώτερος ἐν ταῖς δωρεαῖς. οἷς γὰρ ἂν βούλοιτο, πολὺ τὸ χρυσίον ἐδίδοτο. ἐταλαιπώρησε δὲ πάμπαν ἐν ταῖς μάχαις ταῖς πρὸς Ἰταλοὺς, καὶ τοὺς Πέρσας. Ἀρχὴ γοῦν οὗτος ἐγεγόνει τῆς Ῥωμαίων ἀρχῆς, ᾧ πολλὴν χάριν ὀφλεῖν τοῖς Ῥωμαίοις δέον καθέστηκε. κατετέθη δὲ ὁ νεκρὸς αὐτοῦ ἐν τῇ τοῦ Ὑακίνθου μονῇ, ἔνθα καὶ ὁ Βασιλεὺς Ἀλέξιος τέθαπται, καὶ ἡ Βασιλὶς Ἄννα ἡ τούτου σύζυγος.

ιθ'. Εἶτα ἐπιλαμβάνεται τῶν Ῥωμαϊκῶν σκήπτρων Ἰωάννης Δούκας Βατάτζης, γαμβρὸς αὐτοῦ στεφθεὶς παρὰ τοῦ Πατριάρχου Μανουὴλ, ὃς τὸν Μάξιμον διεδέξατο. μετὰ γὰρ τὴν τελευτὴν τοῦ Πατριάρχου Μιχαὴλ, ὁ Εἰρηνικὸς Θεόδωρος τῷ Πατριαρχικῷ ἐνίδρυται θρόνῳ, ὃς καὶ B Κωπᾶς ἐκαλεῖτο. τούτου δὲ μετ' ἐνιαυτοὺς ἓξ ἀπολιπόντος, μοναχὸς Μάξιμος εἰς τὸν Πατριαρχικὸν ἀνάγεται θρόνον, θεραπεύων τὴν γυναικωνῖτιν. ἐπιβὰς δὲ μόνον μῆνας ἓξ τελευτᾷ· καὶ ὁ Μανουὴλ εἰς τὸν Πατριαρχικὸν ἀνάγεται θρόνον, φιλόσοφος, ὡς ἐδόκει, ὢν, καὶ ὑπὸ τῶν πολλῶν κατονομαζόμενος·

κ'. Ἐπὶ δὲ τὰ τῶν Βουλγάρων αὖθις ὁ λόγος χωρεῖ. ὁ πρῶτος βασιλεὺς τῶν Βουλγάρων Ἀσὰν δύο ἔσχεν υἱοὺς τὸν Ἰωάννην, καὶ τὸν Ἀλέξανδρον. ὁ Ἰωάννης φυγαδείᾳ χρησάμενος περὶ τοὺς Ῥώσους χωρεῖ. ἐκεῖσέ τε χρόνον ἐφ' ἱκανὸν διαμείνας, καί τινας τῶν συγκλύδων Ῥώσων ἐν ἑαυτῷ περιαγαγὼν τὴν πατρικὴν ἀνακαλεῖται κληρονομίαν, καὶ πολεμεῖ τῷ Βορίλᾳ καὶ νικᾷ τοῦτον, καὶ χώ- C ρας ἐγκρατὴς οὐκ ὀλίγης γίνεται. Ὁ δὲ Βορίλας ἔνδον εἰσέρχεται τοῦ Τερνόβου, καὶ ἐπὶ ἑπταέτεσι τειχήρης ὢν πολιορκεῖται. Ἐπεὶ δ' ἀπέκαμον οἱ συνόντες αὐτῷ, τῷ Ἀσὰν Ἰωάννῃ προσέρχονται. φεύγων δ' ἁλίσκεται ὁ Βορίλας, καὶ παρὰ τῷ Ἰωάννῃ τυφλοῦται. καὶ οὕτως ἐγκρατὴς τῆς τῶν Βουλγάρων ἁπάσης ὁ Ἰωάννης ἐγένετο.

κα'. Ὁ δὲ Κομνηνὸς Θεόδωρος, ὃν πρὸ μικροῦ ὁ λόγος ἐσήμηνε, μὴ θέλων μένειν ἐν τῇ οἰκείᾳ τάξει, ἀλλὰ τὰ τῆς βασιλείας σφετερισάμενος, ἐπειδὰν τῆς Θεσσαλονίκης γέγονεν ἐγκρατὴς, πολλήν τε χώραν τῆς Ῥωμαΐδος κεκρατημένης παρὰ τῶν Ἰταλῶν ὑφ' ἑαυτὸν ἐποιήσατο. ἔτι δὲ καὶ τῶν παρὰ τῶν Βουλγάρων κεχειρωμένων, πορφυρίδα τε ὑποδύεται, καὶ ἐρυθρὰ ὑποβάλλεται πέδιλα, D ἀντιστάντος αὐτῷ ἐπὶ τούτῳ στερρότατα τοῦ μητροπολίτου Θεσσαλονίκης Κωνσταντίνου τοῦ Μεσοποταμίτου, ὃν καὶ πολλαῖς κακουχίαις, καὶ ἐξορίαις διὰ ταῦτα ὑπέβαλε, τῶν κανονικῶν ἐθῶν ἀντεχόμενον. ὁ δὲ Βουλγαρίας ἀρχιεπίσκοπος Δημήτριος τὸ βασιλικὸν περιεδίδυσεν τοῦτον διάδημα, ὡς ἔφασκεν αὐτόνομος ὤν, καὶ μηδενὶ εὐθύνας ὀφείλων δοῦναι, καὶ διὰ τοῦτο ἔχειν ἐξουσίαν βασιλέα στέφειν. Βασιλεὺς οὖν ἀναγορευθεὶς ὁ Θεόδωρος βασιλικῶς εἴχετο τοῖς πράγμασι, Δεσπότας τε προεβάλλετο, καὶ Σεβαστοκράτορας, μεγάλους Δομεστίκους, καὶ Πρωτοβεστιαρίους, καὶ τὴν λοιπὴν πᾶσαν τάξιν βασιλικήν. ἀφυῶς δὲ ἔχων περὶ τοὺς τοῦ Βασιλέως θεσμοὺς Βουλγαρικώτερον αὐ- E τοῖς προσεφέρετο. Οὗτος οὐ μετρίως τῷ Βασιλεῖ ἀντεφέρετο Ἰωάννῃ. Ὁ μὲν γὰρ ἠξίου αὐτὸν τῶν δευτερείων μετέχειν τῆς βασιλείας, καὶ τῆς χώρας αὐτοῦ ἐγκρατὴς εἶναι. ὁ δὲ ἀντέβαινε στερρότερον.

κβ'. Ὁ μὲν οὖν Βασιλεὺς Ἰωάννης ἄρτι τῶν σκήπτρων ἐπειλημμένος, καὶ κομιδῇ ἐν στενῷ ὢν τῷ

A præceps in prælia, iræ ac veneris impatiens, in muneribus munificentior, quibus enim illi collubitum erat, ingens auri vis donabatur. Pugnis adversus Italos & Persas quammaxime conflictatus: prima tamen Romani imperii ipsæ fundamenta jecit, cui a Romanis quammaximæ gratiæ habendæ sunt. Sepultus fuit in Hyacinthi monasterio, ubi & Imperator Alexius positus fuerat, & Imperatrix Anna thalami consors.

XIX. Post illius obitum Romani imperii gubernacula Joannes Ducas Batatzes gener illius suscipit, a Manuele Patriarcha, qui Maximo successerat, coronatus. Namque post Michaelis Patriarchæ excessum Irenicus Theodorus, qui & Copa dicebatur, B in Patriarcham eligitur. Post annos sex eo demortuo Maximus monachus Patriarchale solium ascendit, Gynæcejo palpans, qui post menses sex moritur, & Manuel in Patriarchali solio collocatur, vir Philosophus, ut apparebat, & a multis eo nomine honestatus.

XX. Sed ad res Bulgaricas convertamus orationem. Primus Bulgarorum rex Asanus duobus habuit filios Joannem & Alexandrum. Joannes fuga se abripiens in Rusos confugit, ibique per tempus aliquod commoratus, & convenatum Russiorum nonnullis in unum congestis, paternam hæreditatem reposcit, & in Borilam arma suscipit, & C vincit, dominusque fit non exiguæ regionis. Borilas Trinobum ingressus septem annos muris inclusus obsidionem sustinet, ac cum socii defatigati succumberent, ad Asani Joannem deficiunt. Borilas inde inter fugiendum deprehensus, ab Joanne oculis læditur; sicque universa ditione Bulgarorum Joannes potitur. *Edit. Paris. pag. 120.*

XXI. Comnenus interim Theodorus, cujus paulo ante meminimus, proprium ordinem indignatus, & quæ fuit imperii, occupans, postquam Thessalonicam in potestatem recepit, non minimam Romanæ ditionis partem, ex ea, quæ suberat Italis, & a Bulgaris intercipiebatur, sibi vindicat, D purpureaque chlamyde induitur, & rubris calceis convestitur, obluctante illi in hoc quam strenuissime Constantino Mesopotamita Metropolita Thessalonicensi, quem diris malis, & calamitosis exiliis canonica statuta propugnantem insectatus, misere afflixit. Sed Bulgariæ Archiepiscopus Demetrius, tamquam qui, ut ipse fatebatur, sui juris esset, neminique sui facti rationem reddere teneretur, ideoque in ejus potestate esse, Imperatores ungere, regio eum diademate coronat. Theodorus ergo Imperator acclamatus, uti Imperatoribus moris est, res disponebat. Despotas, Sebastocratores, magnos Domesticos, Protovestiarios creabat, & reliquum imperatorium ordinem dispen- E sabat: cum vero inepte circa imperatoria jura, stultus esset, Bulgarico more negotiis incumbebat. Hic non parum Joanni Imperatori adversabatur. Quare eum Imperator, ut secundus imperii sibi haberet, suoque uteretur dominatu, rogare ipse firmius ac validius reluctat.

XXII. Joannes ergo Imperator, tum primum sceptris obtentis, & Ro-

mandum imperium in angustum adductum conspiciens, bellum cum Italis suscipit, & exercitum ex Latinis amplissimum conflat, quem Theodori Imperatoris fratres germani Sebastocratores Alexius atque Isaacius deducebant. His enim, statim atque Imperator eorum frater mortem oppetiit, illius filia Eudocia surrepta, Constantinopolim secedere in animo fuit; sed spe frustrati fugiunt. Ergo apud Poemanenum, ubi & cælestium virtutum militiæ Ducis Michaelis templum positum est, commisso prælio, vi armisque superat Imperator. Namque Imperator hastam contorsit, hostem confodit, & magnas cogitationes in bello, quod & antiquioribus minime ignotum fuerat, commonstravit. Victoria hæc mirum est, quantum res Romanas sublevaverit, Italas imminuerit, ac depresserit. Italorum enim præstantissimos quosque vivos in eo conflictu cepit; fratres itidem Lascares, captos, & criminis convictos luminibus spoliavit; alii gladio internecati sunt; Itali etiam eo temporis Serrarum castellum obsidione prementes Theodoro Comneno obnoxium, ubi suos debellatos esse agnoverunt, fuga sibi consuluerunt. Exinde res Itala cadere cœperat, & Joannes Imperator ab illis Romanorum oppida oppressa obsidione tentare, expugnareque, qui diuturnioribus obsidionibus urgebat: neque enim vere, aut æstate, aut autumno, sed hyeme media, irruptiones faciebat, admovebat machinas, & propugnacula dejiciebat: qui in illis erant, defatigati, ea jurejurando vitam redimentes dedere, plerique etiam ex his pugna periclitantes oppressi, tamquam captivi mancipati. Sic ab Imperatore Poemanenum, Lentiana, Charioros, Berbeniacum expugnata sunt. Joannes vero Imperator triremes compegit, peregitque in Hellespontum, quibus molestus erat atque negotiosus, in occasum irrepens, fortunasque uniuscujusque & bona depopulans, inter ea & Madytarum urbem, & Callipolim, & oram maritimam universam, Italis tributariam deprædatur.

Edit. Paris. pag. 141.

XXIII. Cum hæc ageret Imperator Joannes, acribusque Italos præliis terra marique divexaret, insidiæ vitæ illius parantur. Facinoris auctor erat Nestongus Andronicus Imperatoris consobrinus, conjurationis consorte Isaacio, & non paucis ex proceribus. Cum vero per multos dies conjuratio protraheretur, Lampsaci degens Imperator conatus conspirantium rescivit, & triremibus, ne ab Italis occuparentur concrematis, bello domestico magis quam externo invigilandum ratus, inde digressus Achiraum proficiscitur; ibique quæstionem, ut consortes sceleris indicerentur, habet: & conjurati omnes convicti condemnatique sunt. Attamen Imperator humaniorem se præbens, Nestongum Isaacium lumine, & manu mutilat, Macrenum quoque: sæpius enim cum a tergo Imperatoris esset, & gladium stringere, & vulnus infligere lethale tentasse deprehensus est; alios itidem mitioribus pœnis mulctavit, plurimos ad tempus detrusit in carceres, & ipsum conspirationis auctorem, & imperium affectantem Magnesiæ in arcem relegavit, qui postmodum in fugam con-

A τὴν Ῥωμαίων τεθεαμένος ἀρχήν, μάχην ποιεῖται μετὰ τῶν Ἰταλῶν. Καὶ συνάγεται στράτευμα Λατινικὸν ἀξιόμαχον, ᾧ καὶ συνεμάχοντο οἱ τοῦ Βασιλέως Θεοδώρου αὐτάδελφοι οἱ Σεβαστοκράτορες, Ἀλέξιός τε, καὶ Ἰσαάκιος. οὗτοι γὰρ ἅμα τῷ τὸν ἀδελφὸν αὐτῶν Βασιλέα θανεῖν, τὴν θυγατέρα αὐτοῦ Εὐδοκίαν λαβόντες, ἀποδρᾶναι πρὸς τὴν Κωνσταντινούπολιν ἐβουλεύσαντο. ἀλλὰ τοῦ μὲν σκοποῦ ἥμαρτον. Ἐκεῖνοι δὲ δραπέται ᾤχοντο. τῆς μάχης οὖν συρραγείσης ἐν τοῖς μέρεσι τοῦ Ποιμανηνοῦ, ὅπου καὶ ὁ ναὸς τοῦ Ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων ἐγκαθίδρυται Μιχαήλ, νικᾷ κατὰ κράτος ὁ Βασιλεύς· ὁ γὰρ Βασιλεὺς δόρατος ἥψατο, καὶ πολέμιον ἔβαλλε, καὶ ἀνδρεῖον ἐν ἐκείνῳ τῷ πολέμῳ τὸ φρόνημα ἐνεδείB ξατο, οὐδὲ τοῖς πρὸ τοῦ ἀγνοούμενον. ἡ τοιαύτη νίκη εἰς μεγίστην αὔξησιν ἐγεγόνει τῆς τῶν Ῥωμαίων ἀρχῆς, τῶν Ἰταλῶν δὲ συστολὴν καὶ κατάπτωσιν. τοὺς μὲν γὰρ ζωγρείας τοὺς κρείττους αὐτῶν ἐν τῷ τοιούτῳ πολέμῳ ὁ Βασιλεὺς κατέσχεν. Ἀλλὰ δὴ καὶ τοὺς αὐταδέλφους Λασκαρεῖς, οὓς ἀποτυφλοῖ ἐν αἰτίαις εὑρών. ἄλλοι δὲ ξίφους ἔργον ἐγένοντο· μέρος δὲ Ἰταλῶν τὸ Σερρῶν κάστρον πολιορκοῦν ὑπὸ τοῦ Κομνηνοῦ Θεοδώρου δυναστευόμενον, ὡς ἔγνω τὴν ἧτταν ταύτην ἀπέδρα. ἐντεῦθεν τὰ τῶν Ἰταλῶν ἐσμικρύνετο. Ὁ δὲ Βασιλεὺς Ἰωάννης τὰ ὑπὸ ἐκείνων κρατούμενα τῶν Ῥωμαίων ἐπολιόρκει φρούρια, καὶ ἥλισκε ταῦτα. ὃς χρονιωτέρας ἐποίει τὰς πολιορκίας. οὐ γὰρ ἔαρι, ἢ θέρει, C ἢ μετοπώρῳ, ἀλλ' ἐν μέσῳ χειμῶνος τὰς ἐφόδους ἐποιεῖτο, ἑλεπόλεις τε συνίστα, καὶ τὰς ἐπάλξεις κατέβαλλεν. ἀπαυδήσαντες οἱ ἐντὸς τὰ μὲν προεδίδουν, ὅρκοις τὴν ζωὴν ἐξωνούμενοι. ἐκ δὲ, τῶν ἔπιπτον μάχῃ, καὶ καθείργνυντο. ἑάλω γοῦν Ποιμανηνόν, Λεντίανα, Χαρίορος, Βερβενίακον. ὁ γοῦν Βασιλεὺς Ἰωάννης τριήρεις τε καὶ κατασκευάσας καὶ περὶ τὸν Ἑλλήσποντον ταύτας ἔστησε, καὶ λίαν πολλὰ παρέχων Λατίνοις πράγματα, κατὰ D δύσιν ὁρμώμενος, καὶ λείαν τὰ ἐκείνων ποιούμενος, πορθῶν τε τὸ τῶν Μαδυτῶν ἄστυ καὶ τὴν Καλλίπολιν, καὶ τὰ παραιγιάλια πάντα, τοῖς Ἰταλοῖς ὑπόφορα ὄντα.

κγ'. Ἐν τούτοις δ' ὄντος τοῦ Βασιλέως Ἰωάννου, καὶ ἀκρατῶς μαχομένου τοῖς Ἰταλοῖς, κατά τε χέρσον, καὶ θάλασσαν, σκευωρεῖται τούτῳ ἐπιβουλή. Ὁ δὲ ταύτην συστησάμενος πρωτεξάδελφος τοῦ Βασιλέως ὁ Νεστόγγος Ἀνδρόνικος, ἔχων συνεργὸν εἰς τοῦτο τὸν ἀδελφὸν Ἰσαάκιον, καὶ ἑτέρους τῶν ἐπιφανῶν οὐκ ὀλίγους. ἐγένετο δὲ ἡ ἐπιβουλὴ πολυήμερος. ἐν τῇ Λαμψάκῳ δὲ διάγων ὁ Βασιλεὺς μανθάνει τοῦτο. πυρὶ γοῦν τὰς τριήρεις καταναλώσας, ἵνα μὴ τοῖς Ἰταλοῖς ὑπὸ χεῖρα γένοιντο, καὶ χαλεπώτερον τὸν ἔσωθεν πόλεμον κρίνας τοῦ ἔξωθεν, ἀπάρας ἐκεῖθεν περὶ τὴν Ἀχυράους ἀφίκετο, κἀκεῖθεν τὴν ἐξέτασιν τῆς ἐπιβουλῆς ἐποιήσατο. Καὶ ἦσαν οἱ συνωμόται πάντες ταῖς δίκαις ὑπεύθυνοι. Ἀλλ' ὁ Βασιλεὺς φιλανθρωπότερον τοῖς νόμοις ἐχρήσατο. καὶ τὸν μὲν Νεστόγγον Ἰσαάκιον τυφλώσει E καταδικάζει, καὶ χειροκοπήσει, ὡσαύτως καὶ τὸν Μακρηνόν, ἐξελέλεγκτο γὰρ ὡς πολλάκις ἐφώρμησε κατὰ νώτου τυγχάνων τοῦ βασιλέως, ἑλκύσαι τὴν σπάθην, καὶ καταρράξαι καιρίαν. Καὶ ἄλλους δέ τινας μικραῖς ποιναῖς καθυπέβαλεν, τοὺς δὲ πλείους ἀφῆκεν, εἱρκταῖς μέχρι τινὸς περικλείσας. Καὶ αὐτὸν δὴ τὸν πρωτουργὸν τῆς ἐπιβουλῆς καὶ τῆς βασιλείας ἐφιέμενον ἐν τῷ φρουρίῳ τῆς

Μαγνησίας συνέκλεισεν, ὃς καὶ ὕστερον ἀπέδρα περὶ Μυσυλμάνους, καὶ ἦν ἐκεῖ μέχρι τῆς αὐτοῦ τελευτῆς. ἐντεῦθεν ὁ Βασιλεὺς προσεκτικώτερον ἐχρῆτο τοῖς πράγμασι, φύλακάς τε περὶ αὐτὸν ἵστησι, καὶ φρουρούς. μάλιστα δ᾽ περὶ ταῦτα συνέτεινεν ἡ Βασιλὶς Εἰρήνη, ἀῤῥενωπότερον τὸ ἦθος ἔχουσα, καὶ τοῖς πᾶσι βασιλικώτερον ἐντυγχάνουσα. ἐς συνθήκας δ᾽ ἐθελήσαντες οἱ Ιταλοὶ συνελθεῖν, ἀπέλυσαν πρὸς τὸν Βασιλέα καὶ τὸ τῶν Πηγῶν ἄστυ. Καὶ οὕτω δὴ μετ᾽ αὐτῶν ὁ Βασιλεὺς εἰρήνευσεν πάντων τῶν πρὸς νότον ὑποχωρησάντων αὐτῷ Λατίνων, ἔτι δὲ κρατούντων τὰ πρὸς Βοῤῥᾶν, τὰ πλησίον τῆς Κωνσταντινουπόλεως, καὶ τῇ τῆς Νικομήδους πόλει ἐγγίζοντα.

κδ΄. Οἱ δὲ τῆς Ἀδριανουπόλεως οἰκήτορες πρεσβείαν πρὸς τὸν Βασιλέα ἐστείλαντο, ὅπως ἀποστείλῃ πρὸς αὐτοὺς στράτευμα, καὶ τῆς Ιταλῶν ἐλευθερώσῃ χειρός. ὁ δὲ τὸν Πρωτοβεστιάριον Ισὴν, στράτευμα δοὺς αὐτῷ, ἐξαπέστειλεν, συνῆν δὲ αὐτῷ καὶ ὁ Καμύτζης Ιωάννης, οἳ καὶ διαπεράσαντες τὸν Ελλήσποντον, καὶ διὰ τῆς Μακεδονίας διελθόντες, ἐς Ἀνδριανούπολιν ἀφίκοντο. ἐντὸς δὲ γενόμενοι τῆς πόλεως, διῆγον ἐκεῖσε. ἐλπὶς δὲ ἦν τῷ Βασιλεῖ Ιωάννῃ διὰ ταῦτα καὶ τῶν πέριξ ἐγκρατὴς γενέσθαι. ἀλλὰ ὁ Κομνηνὸς Θεόδωρος, ὡς φθάσας ὁ λόγος ἐδήλωσε, τῶν ἐγγὺς πάντων γενόμενος ἐγκρατὴς, ἄνευ μὲν τοῦ τῆς Ῥοδόπης ὄρους, ὅπερ καὶ Αχρειδὸς ὠνόμασται, καὶ τοῦ ἐν τούτῳ ἄστεως, καὶ τοῦ Μελενίκου, τούτων γὰρ ἦρχεν ὁ Σθλάβος, προσγενὴς ὢν τοῦ βασιλέως Ἀσὰν, καὶ Δεσπότης τετιμημένος ὑπὸ τοῦ Βασιλέως Κωνσταντινουπόλεως Ερρῆ, οὗ καὶ τὴν ἐκ παλλακῆς θυγατέρα ἠγάγετο εἰς γυναῖκα. οὗτος ὁ Σθλάβος φρούριον τὸ Μελένικον ἐῤῥωμένον ὀχυρὸν αὐτοκρατῶν ἦν, μηδενὶ τῶν πέριξ ἀρχόντων ὑποπεσών. ἐνίοτε γὰρ Ιταλοῖς συνεμάχει, ἐνίοτε Βουλγάροις, ἐνίοτε δὲ καὶ τῷ Κομνηνῷ Θεοδώρῳ. τούτῳ συνεζύγη μετὰ θάνατον τῆς αὐτοῦ γαμετῆς ἡ τοῦ Πετραλίφα θυγάτηρ τοῦ γυναικαδέλφου τοῦ Κομνηνοῦ Θεοδώρου. Ἐπεὶ γοῦν Μοσυνούπολις καὶ Ξάνθια, καὶ ἡ Γρατζιανὰ καὶ αὐτὰ ὑπὸ τοῦτον ἐτέλει, τὸ τῆς Σταγείρας ὑπερβὰς ὄρος, ὃ δὴ Μάκρην ὀνομάζουσιν οἱ πολλοὶ, τὰ ἐκεῖθεν τοῦ Εὔρου κατέδραμε, ἀνετα εὑρὼν πάντα, καὶ περὶ τὸ Διδυμότειχον γεγονὼς, ἐν οὐ πολλῷ χρόνῳ Βασιλεὺς ἐπεφημίζετο τούτων. ἀφικόμενος δὲ καὶ περὶ τὴν Ἀδριανοῦ, καὶ εὑρὼν τὸ στράτευμα τοῦ Βασιλέως Ιωάννου, καὶ ἀπατηλοῖς λόγοις τοὺς οἰκήτορας ὑπελθὼν, ὡς πλουτήσειν τούτους ἄκρως καὶ τῶν ἄλλων Ῥωμαίων ὑπεραφθώσειν, πείθει τὸ μὲν τοῦ Βασιλέως ἐξαγαγεῖν στράτευμα, αὐτὸν δ᾽ εἰσαγαγεῖν. Εἰσάγεται οὖν ἐπὶ ὅρκοις, τοῦ μή τινα τούτων παθεῖν τι δεινόν. ἐξελθόντος οὖν ὁ μὲν Πρωτοστράτωρ οὐδ᾽ ὅλως τεθέαται τὸν Κομνηνὸν Θεόδωρον. τοῦτο γὰρ δὴ αὐτοῖς συμπεφώνηται. Ὁ δὲ Καμύτζης συντυχὼν αὐτῷ, οὐκ ἀπέβη τοῦ ἵππου, οὐδὲ ὡς Βασιλέα προσεκύνησεν, ἐφ᾽ ᾧ βαρυθυμήσας ὁ Κομνηνὸς μικροῦ ἂν καὶ πληγὰς ἐπέθετο τούτῳ, διὸ ἐτιμήθη παρὰ τοῦ Βασιλέως μέγας Ἑταιρειάρχης ὁ Καμύτζης. Ὁ οὖν Κομνηνὸς γεγονὼς καὶ τῆς Ἀδριανοῦ ἐγκρατὴς, πολλὰ παρέσχε τοῖς Ιταλοῖς πράγματα. κατέδραμε γὰρ πάντα τὰ ὑπ᾽ ἐκείνων κρατούμενα, καὶ μέχρι καὶ αὐτῆς τῆς Βιζύας γενόμενος, τὰ ἔξω κατέσχε τοῦ ἄστεος, καὶ μέχρι τῶν πυλῶν τῆς Κωνσταντίνου κατέλυσε. Τότε καὶ ὁ Ἀσὲλ-δεκαὶ τῆς θυγατρὸς τοῦ Λασκάρεως Θεοδώρου σύζυγος ὑπό τινος τῶν τοῦ Κομνηνοῦ

A jectus, Musulmanos convenit, inter quos ad extremum vitæ exitum ætatem duxit. Hinc Imperator attentius rebus advertere, custodes ac vigiles addere. Sed omnium maxime Imperatrix Irene, moribus & ingenio mascula, & cum omnibus magis regie quam par erat, conversans, ad conservandum eum incumbere. Itali interim cum Imperatore concordiam confirmare volentes, castro Pegarum cessere. Sicque cum eis Imperator pacem composuit, cum ad Austrum omnibus renunciassent, sed adhuc, quæ circa Boream affinia Constantinopoli erant, urbique Nicomediensi proxima retinerent. *Edit. Paris. pag. 122.*

XXIV. Interea Adrianopolitani cives legationem ad Imperatorem obeunt, B ut exercitu ad eos converso, servitute Italica liberet: Ille Isem Protovestiarium cum copiis misit: militiæ consors erat Joannes Camytzes. Hi Hellesponto adnavigato, per Macedoniam iter facientes, Adrianopolim veniunt, urbemque ingressi stativa habuere. Certa vero spes Imperatori Joanni inhæserat, reliquorum etiam adjacentium locorum dominatum habiturum. Verum Theodorus Comnenus, de quo supra diximus, vicinis omnibus potitus, præter Rhodopes montem, cui & Achride nomen est, & in eo oppida, & Melenicum, quibus Sthlavus Asani regis affinis, & ab Imperatore Constantinopolitano Erico, cujus filiam e pellice susceptam sibi matrimonio junxerat, C Despotæ munere decoratus dominabatur. Sthlavus hic castro Melenico potitus, valido illo quidem, & hostibus inexpugnabili, suo ipse jure utebatur, nemini Principum obnoxius: quandoque enim Italis, quandoque Bulgaris, quandoque Theodoro Comneno auxilio erat. Illi post elatam uxorem, Petraliphæ, Theodori Comneni uxoris fratris filia nupserat. Et cum Mosynupolis, Xanthia, Gratiana quoque sub eo essent, Stagiræ monte, quem Macren vulgus nominat, decurso, Hebri ex ea parte omnia aperta, atque incustodita excurrens, & Didymotœchum appellens, non multos post dies rex eorum acclamatur, & Adrianopolim urgere perveniens, D & Imperatoris Joannis copias reperiens, & fallacibus sermonibus cives decipiens, opibus nempe se eos maximum in modum ditaturum, & dignitatibus supra Romanos cæteros decoraturum, persuadet Imperatoris militem ejicere, suum admittere. Jurejurando itaque alligatus, nemini se damnum illaturum, introducitur. Illis ejectis, Protostrator Comnenum Theodorum nec vidit quidem, namque ita convenerunt: Camytzes, cum illi occurrisset, neque equo descendit, neque, uti decet Imperatorem, adoravit. Quare ira incitatus Comnenus parum abfuit quin viro plagas infligeret. Propterea Camytzes magnus Hetæriarcha ab Imperatore efficitur. Comnenus itaque Adria- *pag. 123.* E nopoli occupata non minimum res Italas conturbavit: quæ enim illi tenebant omnia adortus, & Byziam usque profectus, quidquid extra urbem erat, pro arbitrio duxit, & ad fores Byzantii pervenit. Tum temporis & Afeldecae filiæ Imperatoris Theodori Lascaris maritus, ab iis, qui

cum Comneno Theodoro erant, hasta jugulum feritur, sed sanatur. Exhinc postea erat illi vox asperior.

XXV. Comnenus vero Theodorus cum Bulgarorum rege Joanne Asano fœdus init, illiusque filiam Mariam fratri suo Manueli desponsat. Postea pactionibus perturbatis in Bulgaros pedem movet: & Adrianopolim prætergressus, per superiorem partem Hebri agmine ducto, cum Bulgaris poscebat acie confligere. Videbatur enim sibi Bulgaros timore percitos, nequaquam vel solum sui exercitus impetum sustinere. Sed Asanus perfidia illius fretus, parva sibi auxiliari manu a Scythis conducta, signo etiam militari jurejurando Theodori appenso, circa locum Hebro proximum, quam Cloconitzam appellant, cum milite adversis signis irruit, & debellatur novus Theodorus Angelus, & ab hostibus ipse, unaque cum eo non pauci illius affines, & dignitate conspicui, & illustres viri, eorum supellectile a Bulgaris depopulata, capiuntur. Asanus cum multitudine capta humanius se gerens, fortiorem copiarum partem liberat, seu ex humanitate id gereret, seu ut hac ratione utilia sibi ac commoda disponeret: eorum namque dominium sibi moliebatur, votique compos effectus est. quippe quos ipse persequebatur, marte incruento colla omnes subdebant; illi etiam se submisit Adrianopolis, non multo post Didymotœchum, Bolerum totum, Serræ, Pelagonia, Prilapus, & loca contermina: magnam item Blachiam excurrit, Elbanumque occupat, & usque Illyricum rapinis omnia vastat. Cum vero, quæ sibi animo proposuerat, majori ea parte complesset, disposuissetque pro arbitrio, patrias repetiit sedes, & castellis nonnullis in dominium Romanorum relictis, plerisque sibi reservatis, milites in illis ac Duces constituit. judicatusque est ab omnibus eo tempore admirabilis, & tuto fortunatus: neque enim gladio sævit, neque se polluit cædibus; hinc a Romanis etiam ipsis diligebatur.

XXVI. Theodorus Angelus ab Asano custodiebatur prolixe ac benigne; sed rebus novis inhiare deprehensus, lumine privatur. Frater Theodori Manuel Angelus, Despotæ dignitate a fratre cohonestatus, fugam meditatus, & Thessalonicam reversus, Despota vocabatur, Epistolas suas purpureis characteribus consignabat, in quem & Joannis Imperatoris Legatus non inurbana dicacitate jactavit: in eum scilicet magis aptari posse, quod de Christo in Psalmis legitur, *Te Regem, & Despotam*. Et ex eo tempore Angelus Manuel reliquorum in Occidentali plaga oppidorum ac urbium dominus habebatur, a Bulgaris nulla molestia lacessitus, cum cubaret cum filia Asani, ex pellice nata.

Edit. Paris pag. 124

XXVII. Robertus porro Constantinopolitanus Imperator Euripum profectus, expirat. Frater ejus Balduinus puer adhuc ac impubes remansit, quare Legati destinantur ad Joannem Hierosolymorum regem, ut ad urbem concederet, & Constantinopolis Imperator acclamaretur, & filiam Balduino desponsaret, cum filias ille haberet, & post illius mortem ipse rursus imperio restitueretur. Ætas regis nimium processerat, circa annos octoginta vel ultra nati. Venit ergo

A Θεοδώρου δόρατι ἐπλάγη τὸν τράχηλον, τεθεράπευτο. καὶ ἦν τὸ ἀπὸ τοῦδε τραχυτέρα αὐτοῦ ἡ φωνή.

κέ. Ο δὲ Κομνηνὸς Θεόδωρος εἰς σπονδὰς συνῆλθε τῷ τῶν Βυλγάρων βασιλεῖ Ιωάννῃ τῷ Ασάν, τὴν θυγατέρα αὐτοῦ Μαρίαν προσλαβόμενος ἐπὶ τῷ ἀδελφῷ τούτου Μανουήλ. εἶτα διαλύσας ταῦτα κατὰ Βυλγάρων χωρεῖ. παραμείψας οὖν τὴν Αδριανοῦ περὶ τὰ ἄνω τοῦ Εὔρου τὴν πορείαν ἐποιεῖτο, ζητῶν μετὰ Βυλγάρων συῤῥῆξαι πόλεμον. καὶ ἐδόκει ὡς οἱ Βύλγαροι ὑποπτήξαντες, οὐδὲ τὴν ὁρμὴν τῆς στρατιᾶς αὐτοῦ ὑποσταῖεν. Αλλ' ὁ Ασὰν ταῖς ἐπιορκίαις τούτου τεθαῤῥηκώς, ὀλίγον συμμαχικὸν ἀπὸ τῶν Σκυθῶν εἰληφώς, ἐν τῇ σημαίᾳ τὸν ἔγγραφον ὅρκον τούτου ἀπαιωρήσας, καὶ περί
B που τὸν παρεύριον τόπον, ὃν Κλοκονίτζαν ὀνομάζουσι, ξυμβάλλουσι τὰ στρατεύματα, καὶ νικᾶται ὁ Αγγελος νέος Θεόδωρος, ὃς συλλαμβάνεται, καὶ οὐκ ὀλίγοι τῶν συγγενῶν αὐτοῦ, καὶ τῶν ἐν τέλει τε, καὶ λογάδων, καὶ τὰ ἐκείνων πάντα λεία τοῖς Βυλγάροις ἐγένοντο. φιλανθρωποτέρως δὲ ὁ Ασὰν διατεθεὶς, τοὺς πλείους τῶν στρατευμένων ἐλευθεροῖ, τάχα μὲν καὶ τὸ φιλάνθρωπον ἐνδεικνύμενος, τάχα δὲ καὶ τὸ συμφέρον τούτῳ πραγματευόμενος. ἐβούλετο γὰρ δεσπόσαι τούτων, ὃ καὶ τετύχηκε. ἐπεὶ γὰρ κατ' αὐτῶν ἐχώρει πάντα ἀναιμωτὶ τούτῳ ὑπέπιπτον, καὶ γίνεται μὲν ὑπ' αὐτὸν ἡ Αδριανοῦ· ἐκ τοῦ σχεδὸν δὲ καὶ τὸ Διδυμότειχον, εἶτα Βολερὸν ἅπαν, Σέῤῥαι, Πελαγωνία, καὶ
C Πρίλαπος, καὶ τὰ πέριξ τούτων κατέδραμε, καὶ τῆς μεγάλης Βλαχίας ἀλλὰ καὶ Ελβάνου κατακυριεύει, καὶ μέχρι τοῦ Ιλλυρικοῦ τὰς λείας ποιεῖ. ἐπεὶ δὲ πολὺ τοῦ βουλεύματος κατειργάσατο, καὶ ὡς ἠγάπα τὰ κατ' αὐτὸν διέθετο, εἰς τοὺς οἰκείους ἐπανέζευξε τόπους, τινὰ μὲν τῶν φρουρίων καταλελειπὼς ὑπὸ Ρωμαίων διοικεῖσθαι, τὰ πλείω δ' ὑφ' αὐτὸν ποιησάμενος, καὶ στρατιώτας ἐν τούτοις τάξας, καὶ στρατηγούς. ἔδοξεν οὖν τοῖς πᾶσι τότε θαυμαστός, καὶ μακαριστός. Οὐ γὰρ ἐχρᾶτο μαχαίραις, οὐδὲ χραίνεται φόνοις, ἐνθένδε τοι καὶ παρὰ Ρωμαίων ἐφιλεῖτο.

κς'. Εφρουρεῖτο οὖν ὁ Αγγελος Θεόδωρος παρὰ τοῦ Ασὰν φιλοφρόνως. καὶ ἐπεὶ νεωτερίζων πεφώραται ἐκ-
D τυφλοῖ αὐτὸν ὁ Ασάν. Ο δὲ ἀδελφὸς τούτου Μανουὴλ ὁ Αγγελος, ὃν καὶ Δεσποτείᾳ τετίμηκε, φυγῇ χρησάμενος περὶ τὴν Θεσσαλονίκην ἀπῄει, καὶ Δεσπότης ὀνομαζόμενος ἐρυθροῖς γράμμασι τὰς αὐτοῦ γραφὰς ἐπεκύρου. πρὸς ὃν καί ἀπέσκωψέ τις τῶν πρέσβεων παρὰ τοῦ Βασιλέως Ιωάννου ἀποσταλεὶς, ὡς εἰς σὲ καὶ μᾶλλον τὸ εἰς Χριστὸν ψαλτῳδούμενον, σὲ τὸν Βασιλέα, καὶ Δεσπότην. Καὶ ἦν μὲν τὸ ἀπὸ τοῦδε ὁ Αγγελος Μανουὴλ τῶν ἐναπολειφθεισῶν πρὸς τὰ δυτικὰ μέρη χωρῶν, καὶ πόλεων ἐγκρατὴς, μὴ παρὰ τῶν Βυλγάρων τὸ σύνολον ἐνοχλούμενος. ἐπεὶ τῇ ἐκ παλλακίδος τοῦ Ασὰν συνεκοιτάζετο θυγατρί.

κζ'. Ο δὲ Ρομπέρτος ὁ τῆς Κωνσταντίνου Βασι-
E λεὺς τὸν Εὔριπον καταλαβὼν τετελεύτηκεν. ἐναπελείφθη δὲ ἀδελφὸς τούτου Βαλδουῖνος, ἔτι ἀφῆλιξ ὤν. στέλλει οὖν πρεσβείαν πρὸς Ιωάννην τὸν ὀνομαζόμενον Ρῆγα τῶν Ιεροσολύμων, ὡς ἂν ἀφίκοιτο, καὶ Βασιλεὺς Κωνσταντινουπόλεως φημισθείη. ἐπιγαμβρεύσας δὲ τοῦτον αὐτῷ, εἶχε γὰρ θυγατέρα, καὶ ἵνα μετὰ τὴν τούτου ἀποβίωσιν Βασιλεύσῃ πάλιν αὐτός. ἦν γὰρ ὁ Ρὴξ οὗτος περί που τὰ ὀγδοήκοντα,

καὶ πρὸς ἔτι, καὶ ὑπηρόριος. καταλαμβάνει οὖν τὴν Κωνσταντινούπολιν ὁ Ῥὴξ, καὶ μὴ ἔχων λαὸν ἀξιόμαχον, οὐκ εὐχερῶς εἶχεν ἐξιέναι, ἐπιγνοὺς τὸν Βασιλέα Ἰωάννην στρατηγικώτατον ὄντα, ἐμέμφετο δὲ τῆς ἐγχειρήσεως ἑαυτὸν, καὶ κακῶς ἔφασκε ποιεῖν τοὺς λέγοντας αὐτὸν τῷ Βασιλεῖ ἀντιφέρεσθαι. Δύο οὖν ἐνιαυτοὺς ἐντὸς αὐτῆς διήνυσε, καὶ τριήρεις οἰκονομήσας, καὶ στράτευμα κατὰ τὴν ἕω ἐχώρησε, καὶ περὶ τὸ τοῦ Λαμψάκου ἐλλιμενίζει νεώριον, προσεχῶς τῷ τότε τοῦ Βασιλέως Ἰωάννου ἐκ τῆς κατὰ τοῦ Καίσαρος Γαβαλᾶ ὑποστρέψαντος, ὃν διὰ νεωτερισμὸν ἐμαχέσατο.

κη΄. Ὁ μὲν οὖν Βασιλεὺς περὶ τὰ τῆς Σταδίας μέρη τὰς σκηνώσεις ποιούμενος τῷ Παλαιολόγῳ Ἀνδρονίκῳ, ὃν μέγαν Δομέστικον εἶχε, τὰ στρατεύματα παραδοὺς, καὶ περὶ τὴν νῆσον Ῥόδον τριήρεσι, καὶ ναυσὶ στείλας, ὅπως βεβαιότερον τὸν ἀποστάτην καταβλάψειε. καὶ ἐπεὶ ταῦτα κατὰ σκοπὸν συνέβη τῷ Βασιλεῖ, χωρεῖ αὐτὸς πρὸς τὴν Λάμψακον, καὶ παρὰ τὴν Σιγρηνὴν τὰς σκηνὰς πήγνυσι.

κθ΄. λ΄. Καταλαβὼν οὖν ὁ Ῥὴξ τὴν Λάμψακον, περὶ τὸν Ὁλκὸν τὰς νῆας τότε καθώρμισεν. ὁ δὲ Βασιλεὺς Ἰωάννης ἐπεὶ μὴ εἶχε μεθ' ἑαυτοῦ λαὸν ἀξιόμαχον μεθόδοις στρατηγικαῖς μεθ' ὧν εἶχεν ὀλίγων τὰς ἐκ πολεμίων κινήσεις ἐκώλυσεν. ἐξῆλθον οὖν οἱ Λατῖνοι, καὶ ὁ Ῥὴξ αὐτῶν Ἰωάννης, καὶ ἐβάδιζον μὲν τόπους τινὰς παραιγιαλίους· οὐδὲ γὰρ ἐδύναντο μακρότερον τῶν νηῶν αὐτῶν ἀποστῆναι. ὁ γὰρ ἀντιστρατηγῶν αὐτοῖς Βασιλεὺς, ἐπηκολούθει· ὁ μὲν οὖν Βασιλεὺς περὶ τὰς τῶν βουνῶν ὑπωρείας ἐποιεῖτο τὰς πορείας, περὶ δὲ τὰς ἠϊόνας οἱ Ἰταλοί. ὀλίγον οὖν χρόνον διαβιβάσαντες ἐν τῇ τοῦ Βασιλέως παραιγιαλίῳ χώρᾳ, οὔπω γὰρ παρέδραμον τέσσαρες μῆνες, καὶ ὀλίγον τόπον πατήσαντες. Ἀπὸ γὰρ τῆς Λαμψάκου ἄχρι καὶ τῶν Κεγχρέων ἀφίκοντο, μικρὸν, ἢ μηδὲν λυμηνάντες, προέφθασε γὰρ ὁ Βασιλεὺς τὰ χρειώδη πάντα τοῖς ὑψηλοτέροις τόποις διασώσασθαι, περὶ τὸ τῶν Πηγῶν ἐχώρησεν ἄστυ, ἓν μόνον φρούριον χειρωσάμενος, ὃ Κεραμίδας ὀνομάζεται, περί που τοὺς βουνοὺς διακείμενον τῆς Κυζίκου. εἶχον δὲ καὶ τὰς ναῦς αὐτῶν ἑτοίμως εἰς τὴν Κωνσταντίνου παλινοστῆσαι. καὶ ᾤχοντο ἂν αἰσχύνης, καὶ ζημίας πεπληρωμένοι, εἰ μὴ τὸ τῶν Πηγῶν ἄστυ περιεγένοντο τῇ κλοπῇ. ἀνὴρ γάρ τις δεινὸς ἀναρριχᾶσθαι πρὸς ἀποτομίαν πετρῶν, ὁδὸν ἐφεῦρε, δι' ἧς ὡπλισμένους ἀνθρώπους Λατίνους εἰς τὴν ἀκρόπολιν νυκτὸς ἀνεβίβασεν. οἳ καὶ τοῖς φύλαξιν ἀθρόως ἐπεισπεσόντες, αὐτούς τε ἐφόνευσαν, καὶ εἷλον τὸ ἄστυ. τοῦτο πρὸς βραχὺ μὲν εἰς δειλίαν Ῥωμαίους ἐνέβαλεν. πλήρης γὰρ ἦν ἡ πόλις ἀνδρῶν καλῶν τε, καὶ ἀγαθῶν. Ἀλλ' ἡ τοῦ Βασιλέως στρατηγία τὴν δειλίαν ἀπετινάξατο.

λα΄. Οὗτος γὰρ οἷα δεινὸς ἐφευρεῖν μεθόδους ἐν περιστάσεσι, σῶσαι τε τὸ οἰκεῖον, καὶ ἀναχαιτίσαι τὸ ὑπεναντίον, ὡς ἂν δι' ἀμφοῖν τὰ οἰκεῖα κρατύνοιτο, εὑρίσκει τρόπον ἀποπληρωτικὸν τοῖν δυοῖν. ἐγεννήθη γὰρ αὐτῷ υἱὸς ἐκ τῆς Βασιλίδος Εἰρήνης, ᾧ καὶ κλῆσιν τοῦ πάππου Θεοδώρου ἐπέθετο. ἑνδέκατον δὲ οἱ τότε ἔτος διήνυετο, καὶ ὁ Ἀσὰν παρὰ τῆς ἐξ Οὔγγρων γαμηθείσης αὐτῷ θυγάτριον εἶχεν, Ἑλένη αὐτῇ τοὔνομα. στέλλει οὖν πρὸς τοῦτον ὁ Βασιλεὺς ὑπὲρ μνηστείας τῶν παίδων. καὶ δέχεται ὁ Ἀσὰν τὴν πρεσβείαν.

λβ΄. λγ΄. Ἐπεὶ δ' αἱ σπονδαὶ ἐγένοντο διαπεραιοῦται ἐκ Λαμψάκου μετὰ τῶν οἰκείων ὁ

rex Constantinopolim, & cum non suppeteret multitudo, ex eo facile egredi non audebat: sat enim illi comperta erat Joannis Imperatoris rei militaris summa prudentia. Quare semetipsum aggressionis illius incusabat, & male eos asserere contendebat, qui eum ad sese Imperatori opponendum proritabant. Duos in ea annos exegit, tum triremibus apparatis, & collectis copiis in Orientem progreditur, & apud Lampsacum portum capit, Joanne Imperatore a bello cum Cæsare Gabala, quem propter motam seditionem debellaverat, gesto continenter regresso.

XXVIII. Imperator in Stadiæ partibus tabernaculis positis, Andronicum Palæologum, magnum Domesticum, copiis traditis, in insulam Rhodum cum triremibus, & navibus mittit, ut validius rebellem invaderet. Hæc cum pro sententia Imperatoris successissent, Lampsacum petit, & apud Sigrenem castra metatur.

XXIX. XXX. Rex Lampsacum appulsus in locum Holcum dictum naves suas subduxit. Joannes vero Imperator, cum ad resistendum copias non haberet, militaribus artibus cum exigua milite hostium motus repressit. Descenderunt ergo Latini, & rex eorum Joannes, perque loca quædam marina iter intendebant, cum a navigiis discedere procul non auderent. Nam eos adversariis copiis Imperator sequebatur. Sic Imperator per radices montium, Itali per littora iter habebant. Parum itaque in ora maritima Imperatori subjecta commorati, neque enim quatuor menses exegerant, nec multo calcato solo, cum a Lampsaco Cenchreas usque processissent, ne minimo quidem damno illato. Namque Imperator eminentioribus locis necessaria quæque antea conducta in custodiam tradiderat, ad Pegarum oppidum deflexere, unico tantum castello, cui Ceramidæ nomen est, circa Cyzici colles sito devicto. Naves vero promptas, quibus se Constantinopolim reducerent, habebant. & remeassent utique probris ac damnis pleni, ni furto Pegarum oppidum expugnassent. Vir enim quidam saxorum prærupta scandere dexter ac solers viam invenit, per quam nocte in arcem armatos Italos introduxit, qui improvisa irruptione custodibus contrucidatis oppidum occuparunt. Hoc parum ad tempus Romanis timorem incussit. Urbs enim ea viris probis ac bonis abundabat. Verum Imperatoris circa hæc prudentia metum excussit.

Edit. Paris. pag. 125.

XXXI. Hic enim impendentibus periculis succurrere perspicax & acutus, ut suos servare posset, & hostem infirmare, & per hæc duo propria constabiliret, modum invenit. Ex Imperatrice Irene filium suscepit, cui a Theodoro patruo nomen dederat, undecim jam annos eo temporis natum; Asanus item filiolam habuit, Helenam nomine ab Ungara ortam. Imperator ad hunc Oratores mittit pro sponsalibus, & Asanus legationem approbat.

XXXII. XXXIII. Fœdere icto Lampsaci Imperator, copiis Callipo-

lim trajicit, adductisque machinis castellam invadit, & non multo post e Venetorum manibus recuperat. Asanus item cum uxore, & filia Calliupolim venit, ubi cum Imperatore sermonem conserit, & amicitiam uterque confirmant. Et Asanus cum uxore & filia Lampsacum remeat, ubi erat Imperatrix Irene, & puerorum nuptias apparant, Germano Patriarcha nuptiarum ceremonias absolvente. Tunc & Trinobi Præsul Constantinopolitano obnoxius, suo jure vivere obtinuit, imperatorio, ac synodico decreto: His expletis Irene cum filio, & sponsa in Orientalibus locis versabatur, Asani uxor in suas sedes reversa est. Joannes deinceps Imperator, & Asanus conductis copiis, occiduam plagam, quæ Latinis serviebat, excurrerunt, & Scythicam solitudinem, ut proverbio utar; universam effecerunt, urbibus ac regione sibi divisis. Et Calliupolis, cum ante adventum Asani expugnata fuisset sub Imperatoris potestate venit; simili ratione & Madyta & omnis, cui Cherroneso nomen est. Cepit præterea Imperator & Cissi castrum, & ad fluvium Maritzam fines extendit. Potitus est ad hæc & monte Gano, in quo oppidulum extruxit; cujus in custodiam misit Nicolaum Coterzem, ut inde Latinis, qui Tzuruli erant, negotia facesseret. Tzurulus non multum post tempus a Romanis copiis capta est. Asanas dictorum locorum partes superiores, & ad Aquilonem tenuit, & ad ipsos usque Constantinopolis muros, Joanne rege in illis adsidente & intuente, uterque perveniens ingentem timorem Latinis injecere, resque eorum in extremum discrimen deduxere. Porro cum hyems instaret, de rebus gerendis consilio inito, Asanus domum revertitur, Imperator in Orientem transfertur.

Edit. Paris. pag. 126.

XXXIV. Rex interim Joannes, cum non diu vixisset, ex hominibus sublatus, genero suo Balduino Constantinopolitanum imperium hæreditarium reliquit. Asanus pactorum, quæ cum Joanne Imperatore sanxerat, pertæsus, quanam ratione filiam a marito avelleret, quærebat. Romanorum namque in meliora progressum formidabat. Meditatur itaque causam, mittitque ad Imperatricem, qui referrent, se, cum Adrianopolim venisset, filiolam cum uxore intueri velle, & paterna necessitudine amplecti. Imperatores, etsi fabulam ad amussim callerent, mittunt nihilominus ad Asanum filiam, hoc enunciato. *Si ille filiam retinuisset, esse Deum ultorem ac vindicem.* Sed Bulgarus filia recepta abiit, omnibus eam sequentibus recessim cedere coactis, ac Hæmum prætergressus, Trinobum contendebat; cum illacrymaretur filia, ejularetque, fama est, Asanum eam in faciem percussisse, & minatum acriter.

XXXV. Per idem tempus Scytharum gens, a Tartarorum cædibus reliqua, cum filiis & uxoribus, Bulgaris licet reclamantibus, utribus Istro adnavigato, & Hæmo superato, cum innumera esset multitudo, Macedoniæ loca occupavit;

A Βασιλεὺς εἰς Καλλιούπολιν, καὶ πολεμεῖ τὸ ἄστυ ὀλιγοπόλεως οὔσας, καὶ ἐν οὐ πολλῷ χρόνῳ χειροῦται τοῦτο, τῆς τῶν Βενετίκων ἀνασώσας χειρός. καταλαμβάνει τὴν Καλλιούπολιν καὶ ὁ Ἀσὰν σὺν τῇ οἰκείᾳ γαμετῇ, καὶ τῇ θυγατρί, καὶ συνέρχεται τῷ Βασιλεῖ, καὶ τὰ ἐς φιλίαν ἀμφότεροι διαπράττονται. Ὁ οὖν Ἀσὰν τὴν αὐτοῦ γαμετὴν καὶ τὸ θυγάτριον λαβὼν διαπεραιοῦται εἰς Λάμψακον, ἔνθα ἦν ἡ Βασιλὶς Εἰρήνη, καὶ πληροῦται τὰ τῆς αἰδοῦς τῶν παίδων τοῦ Πατριάρχου Γερμανοῦ τὰ τῆς ἱεροτελεστίας τελέσαντος. τότε καὶ ὁ Τερνόβου ἀρχιερεὺς ὑπὸ τὸν τῆς Κωνσταντινουπόλεως τελῶν, αὐτονομίᾳ τετίμητο, βασιλικῷ καὶ συνοδικῷ ψηφίσματι. ἐπανῄει ἡ μὲν Βασι-
B λὶς Εἰρήνη τὸν υἱὸν μετὰ τῆς νύμφης λαβοῦσα, τοῖς ἑῴοις διετρίβετο χωρίοις. ἡ δὲ τοῦ Ἀσὰν σύζυγος ἐν τοῖς οἰκείοις ὑπέστρεψεν. Ὁ δὲ Βασιλεὺς Ἰωάννης, καὶ ὁ Ἀσὰν τὰς οἰκείας δυνάμεις διειληφότες, τὴν δυτικὴν κατέδραμον χώραν, ὁπόση ὑπὸ Λατίνοις ἐδούλευε, καὶ Σκυθῶν ἐρημίαν, ὡς ἔπος εἰπεῖν, τὴν πᾶσαν εἰργάσαντο. σφίσι δὲ αὐτοῖς, καὶ τὴν χώραν καὶ τὰ ἄστη διεμερίσαντο. καὶ Καλλιούπολις μέν, ἐπεὶ καὶ πρὸ τῆς συνελεύσεως τοῦ Ἀσὰν ἑάλω, ὑπὸ τὴν Βασιλεία ἐγένετο· ὁμοίως καὶ Μάδυτος, καὶ πᾶσα ἡ ὀνομαζομένη Χερρόνησος. εἷλε δὲ ὁ Βασιλεὺς καὶ τὸ τοῦ Κισσοῦ φρούριον, καὶ μέχρι τοῦ ποταμοῦ Μαρίτζας τὰ σύνορα ἔθετο. Ἐκράτησε δὲ καὶ τοῦ ὄρους Γάνου,
C καὶ ἐν αὐτῷ ἐδείματο πολίχνιον, ἔνθα καὶ τὸν Κοτέρτζην Νικόλαον φυλάττειν ἐξέπεμψε, καὶ πράγματα παρέχων Λατίνοις τοῖς ἐν τῷ Τζουρουλῷ. Τοῦτο δὲ τὸ τῆς Τζουρουλοῦ οὐ μετὰ πολὺν χρόνον ὑπὸ τῶν Ῥωμαϊκῶν ἑάλω δυνάμεων. Ὁ δὲ Ἀσὰν τὰ ὑπεράνω τῶν εἰρημένων χωρίων, καὶ τὰ πρὸς Βορρᾶν νεύοντα, ὑφ' αὑτὸν εἶχε. μέχρι μὲν οὖν καὶ αὐτῶν τῶν τειχῶν τῆς Κωνσταντίνου καὶ ἀμφότεροι κατεληλύθεισαν, τοῦ Ῥηγὸς Ἰωάννου ἐπ' αὐτῶν καθεζομένου, καὶ καθορῶντος, καὶ πτοίαν πολλὴν τοῖς Λατίνοις ἐνέβαλον, καὶ ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτοὺς ἔθεντο. Ἐπεὶ δ' ὁ χειμὼν ἤγγιζεν, ἀλλήλοις συνταξάμενοι, ὁ μὲν Ἀσὰν εἰς τὰ οἴκοι, ὁ δὲ Βασιλεὺς εἰς ἕω διεπεραιοῦτο.

D λδ'. Ὁ δὲ Ῥὴξ Ἰωάννης μικρὸν ἐπιβιώσας ἐξ ἀνθρώπων ἐγένετο, τῷ γαμβρῷ Βαλδουίνῳ τὴν Κωνσταντίνου ὡς κλῆρον καταλιπών. ὁ δὲ Ἀσὰν μεταμελὲς ἐπὶ ταῖς συνθήκαις τοῦ Βασιλέως φανείς, τρόπον ἐζήτει, δι' οὗ τὸ θυγάτριον τοῦ συζύγου ἀποσπάσῃ· τὴν γὰρ Ῥωμαίων ἐδεδίει πάνυ τὴν προκοπήν. Σκέπτεται γοῦν αἰτίαν, καὶ στέλλει πρὸς τὴν βασιλίδα, ὡς ἐπεὶ πλησιάσοι τῇ Ἀδριανουπόλει, βούλεται αὐτός, καὶ ἡ σύζυγος τὸ θυγάτριον ἰδεῖν, καὶ πατρικῶς περιπτύξασθαι. οἱ δ' οὖν βασιλεῖς καίτοι ἐπιγνόντες τὸ σκαιώρημα, ὅμως πέμπουσι πρὸς τὸν Ἀσὰν τὴν θυγατέρα, τοῦτ' εἰρηκότες, ὡς εἰ τὴν θυγατέρα κατάσχοι, ἔσται Θεὸς τιμωρός. καὶ ὁ Βούλγαρος λαβὼν τὴν θυγατέρα ᾤχετο, τοὺς ἑπομένους αὐτῇ πάντας ὀπισθορμήτους ποιήσας. καὶ τὸν Αἷμον διαβὰς ἐχώρει περὶ τὸ Τρίνοβον, ἀλαλαζούσας μὲν τῆς αὐτοῦ θυγατρός, καὶ ὀλοφυρομένης, ὥς φασι τὸν Ἀσὰν προσλαβόμενον αὐτὴν τύψαι κατὰ κόρρης, καὶ ἐπαπειλῆσαι δεινῶς.

λε'. Κατ' ἐκεῖνο καιροῦ, καὶ τὸ τῶν Σκυθῶν γένος τῶν Ταρτάρων καταδραμόντων αὐτό, ὁπόσοι τὸ ξίφος ἐκείνων ἐξέφυγον, ἀσκοῖς τὸν Ἴστρον διαπεράσαντες, καὶ τὸν Αἷμον ὑπερπηδήσαντες, τέκνοις ἅμα, καὶ γυναιξί, καὶ ἀκόντων Βουλγάρων, πολλαὶ γὰρ ὑπῆρχον χιλιοστύες τῆς τῆς Μακεδονίας χώρας

νγ'. Ὃς τὴν νενομισμένην ὁσίαν ἀποδοὺς τῷ πατρὶ, καὶ ἐπ' ἀσπίδος φημισθεὶς, τοῦ Νυμφαίου ἀπάρας πρὸς τὴν Φιλαδέλφου ἀφίκετο. καὶ ἐκεῖσε διακαρτερήσας μικρὸν, καὶ περὶ τὴν Βιθυνῶν χωρεῖ. Ἐπεὶ ἐχήρευεν ἡ ἐκκλησία, προτέθνηκε γὰρ τοῦ Βασιλέως ὁ Πατριάρχης Μανουὴλ, Ἀρσένιόν τινα μοναχὸν ἐξ Ἀπολλωνιάδος λίμνης μεταπεμψάμενος χειροτονεῖ Πατριάρχην, ὃς καὶ μονημέρως διάκονος, καὶ Ἱερεύς, καὶ Πατριάρχης τετέλεστο. Καὶ παρ' αὐτοῦ στεφθεὶς ἔξεισιν.

νδ'. Ὁ γὰρ Βουλγαράρχης Μιχαὴλ, ὁ τούτου γυναικάδελφος, τὸν τοῦ Βασιλέως Ἰωάννου πυθόμενος θάνατον, ἐπεὶ τὰ δυτικὰ μέρη γυμνὰ στρατευμάτων ἑώρα, βουληθεὶς τὰ ἀφῃρημένα ἐκ τούτων ἄστη ἀνακαλέσασθαι τὸν Εὖρον διαπεράσας, πολλὰ ὑφ' ἑαυτὸν ἐποιήσατο. μετετέθη μὲν οὖν ὁ Στενίμαχος, Περιστίτζα, Κριτζιμὸς, Τζέπαινα, καὶ τὰ ἐν τῇ

Georg. Acrop. Hist.

motus expers jacuit. Morbus erat nervorum resolutio; tandem aliquando respiravit, colore tamen deperdito. Et Nymphæum quam celerrime ante Dominicam Palmarum, qua triumphare ille sueverat, advehi curat, & Resurrectionis diem celebrat: indeque assidue loca illa frequentabat, morbo per intervalla dierum ingruente jactatus: quandoque enim in lectum amissa voce procumbebat; quandoque equitans inter ambulandum a morbo corripiebatur, & qui aderant sustinebant, & custodiebant: dein sui compos per otium in aulam revertebatur, quandoque etiam clanculum deducebatur. Sed cum morbus invalesceret, & corpus Imperatoris in deterius rueret, cum solito longe frequentius malo divexaretur, nec alí posset, Smyrnam proficiscitur, ut Christum, qui in ea colitur, adoraret, precibusque effusis sibi propitium redderet: neque præterea tamen ex morbo sese melius habuit. Porro in Periclystris commorans, locus is est prope Smyrnam, cum gravius corpore urgeretur, Nymphæum reducitur, & prope urbem imperatoria finxit tentoria, ubi & diem suum obiit extremum, sexaginta & duos annos natus. ex his triginta tres probe integreque regnaverat. Leni animo fuit, semperque se humaniorem præbebat, ad omnes munificus, sed ad exteros præcipue: amoribus muliebribus postquam ejus uxor Irene ex hac vita excesserat, & potissimum Marcesinæ, quæ ex Italis venerat, deditus; ut illi coccineos calceos gestare, & sagum, & frænum permiserit, sequique plures eam famulos, quam veram Dominam; aliaque quamplurima libidinibus illius deserviens, præstiterit. Fuit illi animus belli ingens ac tolerans, consertis bellis, variam martis sortem extimescens, minime delectabatur, sed fortitudine ac patientia, & verno tempore in hostium locis degens, & æstate trajiciens, necnon & autumno, sæpe etiam hybernans victoriam reportabat. Vir piissimus, pauperum, justi & ipsius Christi amans, imperium filio suo Theodoro tres & triginta annos agenti reliquit: tot enim illius anni, quot & paterni imperii erant. namque cum paterna acclamatione, natales illius concurrerant.

LIII. Qui justis patri factis, & super scutum acclamatus, Nymphæo discedens, Philadelphiam commeat, ibique paucis diebus commoratus ad Bithynorum oras secessit. Sed cum Patriarcha orba Ecclesia esset, nam paulo antequam Imperator moreretur, Patriarcha Manuel vitam finierat, Arsenium quemdam monachum ex Apolloniadis lacu accersitum Patriarcham creat, qui uno eodemque die & Diaconus, & Sacerdos & Patriarcha consecratur, ab eoque coronatus exit.

Edit. Paris. pag. 138.

LIV. Etenim Bulgarorum princeps Michael, uxoris Theodori Imperatoris frater, Joannis Imperatoris obitu nunciato, cum occiduas partes imperatoriis copiis nudas orbasque conspiceret, animo agitat, surrepta oppida a Bulgaris ad Bulgarorum dominatum revocare: sic transnatato Hebro, multorum potitus est. Expugnatæ itaque sunt Stenimachus, Peristitza, Critzimus, Tzepæna, & A-

chridis omnia præter Mniacum, quod vel solum Romaois devotum perseveraverat. Præterea Ustra, Perperacium, Crebus, &, uod Adrianopoli adjacet, Ephrem, Bulgaris ceessere. Propterea festinabat.

L V. Consilioque inito, potior pars in eam ivit sententiam, ut Hellespontum superaret. Sed Imperatoris Theodori patrui Manuel, Michaelque Lascaris, quibus ob affinitatem atque senectam magis attendebat, non esse operæ pretium Imperatorem in occasum progredi dictitabant. Sed prælatum est plurimorum consilium.

L VI. Hinc maaime festinans Adrianopolim venit, inde postea egreditur: & ea Bulgarorum speculatoribus unus, Imperatorem intuitus Adrianopoli excedentem, citato cursu ad Bulgarorum principem fertur, qui circa Hebrum castra posuerae, & rem aperit, & jurejurando confirmat, semet oculis propriis Imperatorem pontem fluminis Hebri, ut urbi proximum, pertranseuntem conspexisse. Ubi comperisset Imperator Bulgarorum tentoria, celerius iter ingreditur. Sed qui Romaois copiis præibant, in Bulgarici exercitus custodes incidunt, quorum plerosque eose trucidant, alios vivos capiunt. Id audientes ex quodam transfuga Bulgari, omnes in interiora Bulgaricæ regioois loca sese recipiunt, arboribusque consertis facies dilacerantur. Mane cum locum occupasset Imperator vacuum, indoluit saoe, sed præstare aliquid haud potuit. tamen Berrœam profectus, primo appulsu cepit; fortasse etiam Imperator in Hæmo sita oppida occupasset, nisi tempestas asperrima impetum restrinaisset: ingens etenim nix infusa terræ faciem obtexit. Sea itaque dies commoratus Imperator, Berroes omnia depopulatus, Adrianopolim repetit.

I dit. Pariss. pag. 139.

L VII. Ibique recollectum exercitum, ad Achridis oppida, quæ antea Bulgari subegerant, si forte rursum ditioni Romanæ redderentur, transmittit. Duces Romani facili negotio loca pleraque expugnarunt. Ubi ver appsrebat, ad Strategopulum Alexium & alios Serris mandata venere, ut Tzepænam progredereotur, quod & executi sunt. & cum neque in hostiles eopias eonsideratione dignas incidissent, tantum sonis, corneisque fragoribus perterriti, turpiter sese eonjecerunt in fugam, apparatum omne bellicum, & ea equis plurimos Bulgaris relinqueotes.

L VIII. Melenieiotiel item eaercitus Præfectus, Dragotæ nomen erat, palam defectionem meditatur, & plurimis coactis Melenici mœnia eircumvenit: areis custodia demaodata erat Theodoro Nestongo, & Angelo Joanol, qui fortiter adversariis resistebant. Imperator ioterim Serras pervenit, & cum accepisset Rupelii angustiam, per quam flumen Strymo præterfluit, a Bulgaro milite eustodiri, foribus etiam de novo ibidem extructis, iter ad locum acceleravit, & peditum eohortem separatam super Bulgarorum capita in montem obambulare præcepit, equitibus adversus portas pugnam conferere. Verum ubi Bulgari ea collium eminentiori facie spicula mitti, atque stataria pugna ex adverso urgeri deprehenderunt, in fugam se dedunt; imperato-

A Ἀχριδῶ ξύμπαντα, πλὴν Μνιάκου. τοῦτο γὰρ καὶ μόνον ὑπὸ Ῥωμαίων πεφύλακτο. Οὔστρα δὲ, καὶ Περπεράκιον, καὶ Κρυβοὺς, καὶ τὸ παρακείμενον τῇ τοῦ Ἀδριανοῦ, καὶ καλλαμένον Ἐφραὶμ, τοῖς Βουλγάροις αἰχείρωτο. τούτου χάριν ἔσπευδε.

νε'. Βουλὴν οὖν ποιησάμενος, οἱ μὲν πλείους διαπεράσαι αὐτὸν τὸν Ἑλλήσποντον δεῖν ἔλεγον. Οἱ δὲ πρὸς πάππου αὐτοῦ τοῦ Βασιλέως Θεοδώρου, Μανουὴλ, καὶ Μιχαὴλ ὁ Λάσκαρις, οἷς προσεῖχε μᾶλλον τῇ τε γνησιότητι, καὶ τῷ γήρει, οὐ χρεὼν διαπεράσαι τὸν Βασιλέα ἐβούλοντο. ἡ τῶν πλειόνων γοῦν ἴσχυσε βουλή.

νϛ'. Ὡς εἶχεν οὖν τάχους τῆς Ἀδριανοῦ πέφθακε· B ἀπ' αὐτόθεν ἔξεισι, καί τις τῶν Βουλγάρων κατοπτὴρ τὸν βασιλέα τῆς Ἀδριανοῦ ἐξιόντα τεθεαμένος, δρομαῖος πρὸς τὸν Βουλγαράρχην ἀφίκετο, περὶ τὸν Εὖρον στρατοπεδεύοντα, καὶ τὸ δρᾶμα διασαφεῖ ὅρκοις ἰδεῖν τὸν Βασιλέα τὴν πρὸς τῇ πόλει τυγχάνουσαν τοῦ ποταμοῦ Εὔρου γέφυραν διαβαίνοντα. γνοὺς δὲ ὁ Βασιλεὺς τὴν τῶν Βουλγάρων κατασκήνωσιν, ἐπέτεινε τὴν ὁδόν. καὶ οἱ προάγοντες τοὺς φύλακας Βουλγάρων ξίφει, καὶ ζωγρείᾳ ἑλόντες, ἔκ τινος φυγάδος διαμαθόντες, πάντες ἔφυγον τούτων πρὸς τὰ ἐνδότερα, κατεδρύπτοντο δὲ τοῖς συνηρεφέσι τῶν δένδρων. ἕωθεν δὲ τὸν τόπον ἔρημον φθάσας ὁ Βασιλεὺς, λελύπηται μὲν, οὐκ εἶχε δ' ὅ, τι καὶ C δράσειε. περὶ δὲ τῆς Βερρόης χωρεῖ, καὶ αὐτοβοεὶ τὸ φρούριον εἷλε. καὶ τάχ' ἂν περὶ τὸν Αἷμον αὐτὸν, καὶ τὰ ἐν αὐτῷ φρούρια ἐκεχειρώκει, εἰ μὴ χειμὼν ἐκώλυσεν αὐτὸν μέγας. Πολλὴ γὰρ χιὼν τῆς γῆς τὸ πρόσωπον ἐπηλύγασεν. ἡμέρας γοῦν ἓξ διακαρτερήσας ὁ Βασιλεὺς, λείαν τὰ Βερρόης ποιησάμενος, εἰς τὴν Ἀδριανοῦ ὑπέστρεψεν.

νζ'. Κἀκεῖθεν ἐπιλεξάμενος στράτευμα περὶ τὰ ἐν Ἀχριδῷ φρούρια ἐπιπόμπει τὰ ἁρπαχθέντα ὑπὸ Βουλγάρων, εἴπως καὶ αὖθις τῇ τῶν Ῥωμαίων ὑπαχθεῖεν ἀρχῇ. Ἐκεῖσε οὖν ἀφιγμένοι οἱ τῶν Ῥωμαίων ἡγάτορες ῥᾷον τῶν φρουρίων περιεγίνοντο τῶν πλείστων. ἐπεὶ δὲ τὸ ἔαρ ἐπέλαμψε προστάγματα ἦκον πρὸς τὸν Στρατηγόπουλον Ἀλέξιον ἐν Σέῤῥαις ἵνα κατὰ Τζεπαίνης ἀφίκοιντο. ὃ καὶ ἐποίησαν. Ἀλλὰ D μήτε πολεμίοις ἀξίοις ἐγκυρήσαντες, ἀτύποις ἤχων στρατίων διαθροηθέντες ἀκόσμως ἐχρήσαντο τῇ φυγῇ, πᾶσαν ἀποσκευὴν, καὶ τοὺς πλείους τῶν ἵππων τοῖς Βουλγάροις ἀπολιπόντες.

νη'. Καὶ ὁ τοῦ Μελενικιωτικοῦ δὲ προεξάρχων στρατεύματος Δραγωτᾶς τοὔνομα ἀποστασίαν φανερὰν μεμελέτηκεν, καὶ συναγαγὼν στρατιὰν πλείστην περιεκάθισε Μελένικον. ἐφύλαττον δὲ τοῦτον ὁ Νεστόγγος Θεόδωρος, καὶ ὁ Ἄγγελος Ἰωάννης. Οἳ καὶ γενναίως ἀντεῖχον. Ὁ δὲ βασιλεὺς εἰς Σέῤῥας ἀφίκετο. Καὶ ἐπεὶ ἐκπέπυστο τὴν τοῦ Ῥουπελίου δυσχωρίαν, καθ' ἣν ὁ E ποταμὸς Στρύμων ῥεῖ, Βουλγαρικῷ φυλάττεσθαι στρατῷ, οἳ καὶ πύλας ἐν αὐταῖς κατεσκευάσαν, σπουδῇ περὶ τὸν ἐκεῖσε χῶρον ἀφίκετο. Ἀποκόψας οὖν στρατιὰν πεζοτέρων ὑπὲρ κεφαλῆς τῶν Βουλγάρων βαδίζειν εἰς τὸ ὄρος προσέταξεν. ἱππεῦσι δὲ κατ' εὐθὺ τῶν πυλῶν τὴν μάχην ποιεῖν ἐκέλευσε. καὶ ἐπεὶ κατεῖδον οἱ Βούλγαροι, ἐκ μὲν ἄνωθεν ὄντας βάλλοντας, κατεναντίον δὲ σταδαίαν οὖσαν τὴν μάχην,

εἰς φυγὴν ἐτράποντο. καὶ τὸ Βασιλικὸν ἐφείπετο στράτευμα, καὶ πολλοὺς σπάθης ἔργον ἐποίησαν. οἱ δὲ λοιποὶ τὰ τῆς τοῦ Βασιλέως ἐφόδου τοῖς Βουλγάροις ἀπήγγειλαν. οἱ καὶ διαταραχθέντες, ὡς εἶχον ἕκαστος ἔφευγον. ἐπειδὴ νὺξ ἦν ἀσέληνος τῇ φυγῇ, καὶ δυσχερὴς ὁ τόπος, ἔνιοι μὲν ἔπιπτον τῶν ἵππων, ἕτεροι δ' αὐτοὺς κατεπάτουν, ἄλλοι τῶν ἐφεστρίδων ἀπεσφενδονοῦντο κατὰ κρημνῶν, ὡς ὀλίγους διασωθῆναι εἰς τὴν Βουλγάρων. καὶ ὁ Δραγωτᾶς δὲ ἵππων ποσὶν ἅπαν τὸ σῶμα συντέθλαστο, καὶ τριταῖος τὴν αὐτοῦ ψυχὴν ἐξεφύσησεν. ὁ γοῦν Βασιλεὺς τὸ ἄστυ καταλαβὼν ἀσμένιος ὤφθη.

νθ'. Καὶ ἀπάρας ἐκεῖθεν εἰς Θεσσαλονίκην ἀφίκετο. κἀκεῖθεν τὸν Βαρδάριον διαπεράσας καὶ τὰ Βόδηνα παραμείψας, ἐνόσησε νόσημα ἰδερικόν. διακαρτερήσας δ' ἐκεῖθεν μικρὸν περὶ τὸν Πρίλαπον ὥρμησε, ἐκεῖθεν εἰς Βελεσὸν ἐχώρει. καὶ ἅμα τῇ φθάσει ἐκεῖσε αἱ φύλακες τούτου ὅρκους λαβόντες ἐξίεσαν. ἀκεῖθεν διὰ τῆς Νεαπόλεως τὴν πορείαν ἐποιεῖτο. τὸ γοῦν τῆς Στρουμίτζης παραμείψαντες ἄστυ ἐς Σέῤῥας ἀπῇσαν. οὗ καὶ γραφὰς ἐδέξατο ὁ Βασιλεὺς πρὸς τοῦ Μουζάλωνος, ὡς τὰ τῶν Ταχαρείων αὖθις κυμαίνεται. ἀπάρας ἐκεῖθεν εἰς Ἀδριανοῦ μολεῖ. καὶ ἐπεὶ μηδὲν τῶν περὶ Βουλγάρων κρατηθέντων ἐναπολέλειπτο, πάρεξ φρουρίων σμικροτάτων Ἀχριδοῦ, καὶ Πάτμου καλουμένων, ἃ καὶ εὐχερῶς, πάνυ ὁ Φιλανθρωπηνὸς εἷλεν Ἀλέξιος, καὶ ἄστεος ἄλλου Τζεπαίνης, μᾶλλον ἐδυσφόρει ὁ Βασιλεύς. διὸ καὶ τῆς Ἀδριανοῦ ἀπάρας κατὰ Τζεπαίνης χωρεῖ. καὶ χειμὼν μέγας γέγονε, χιόνι τε πολλῇ τῆς γῆς ἐπιλευκάνας τὸ πρόσωπον, κατὰ τόπον, ὃν Μακρολιβάδα φασὶ σκηνοῦντι τῷ Βασιλεῖ. ἐκεῖθεν δ' ἄρας ἐς Στενίμαχον ᾔει. καὶ κατευθὺ Τζεπαίνης ἐχώρει, καὶ περὶ Βατκουνίου. καὶ ἀπεστάλκει κατοπτεῦσαι τὸν τόπον, εἰ εὐχερεστέραν τὴν εἰς αὐτὸν πορείαν ἔχοι, τέως ἧκεν ἐκεῖσε, καὶ ἰδὼν τὸ φρούριον δυσάλωτον, καὶ τὸν χειμῶνα βαρύν, τὴν μὲν στρατιὰν ἐς τὸ πεδίον ἀνῆκεν. μόνος δὲ μετὰ τριῶν οὐραγεῖ.

ξ'. Ἐκεῖ δὲ δύο ἀνύσας ἡμέρας, καὶ λείαν τὴν πόλιν πεποιηκὼς τὸ Βατκούνιον, ἐς Ἀδριανοῦ ἧκεν, ἀκεῖθεν ἐς Διδυμότειχον. καὶ διαπεραιωθεὶς τὸν Ἑλλήσποντον περὶ τὴν Λάμψακον σκηνοῖ, καὶ Γεώργιον τὸν Μουζάλωνα Πρωτοσέβαστον, καὶ Πρωτοβεστιάριον, μέγαν Στρατοπεδάρχην ποιεῖ, τὸν δὲ αὐτοῦ ἀδελφὸν Ἀνδρόνικον μέγαν Δομέστικον, τὸν δὲ Ἄγγελον Ἰωάννην Πρωτοστράτορα, Πρωτοβεστιαρίτην δὲ τὸν Καρυανίτην πεποίηκεν. αὐτοῦ δὲ τὰς τῶν Χριστουγέννων, καὶ Φώτων διαβιβάσας εἰσῄει τὸ Νύμφαιον.

ξα'. Ἔαρος δ' ἐπιόντος κατευθὺ τῆς δύσεως ἐχώρει, ἐλπίζων τοὺς περὶ τὸ Διδυμότειχον καταλελειμμένους σώους εὑρεῖν. ἀλλὰ τούτους κακοβουλία ἔσφαλεν. ἐπεὶ γὰρ ὁ τῶν Βουλγάρων ἄρχων μακρότερον διάγειν τὸν Βασιλέα ἐγίνωσκεν, Σκυθικὸν στράτευμα εἰς σφετέραν συμμαχίαν προσκαλεσάμενος κατὰ Μακεδονίαν ἐξαπέπομφεν. ἠρίθμητο δὲ περίπου τὰς τέσσαρας χιλιάδας, οἳ τὴν Ἀδριανοῦ παραμείψαντες, τὰ περὶ τὸν ποταμὸν Ῥηγίνα ἐληΐζοντο, καὶ τὰ περὶ τὸ Διδυμότειχον. οἱ δὲ ἐκεῖσε στρατάρχαι τῶν Βασιλικῶν ἐπιλελησμένοι προστάξεων κατὰ τούτων ἐξώρμησαν. καὶ ἦσαν ὅπλοις κατάφρακτοι. οἱ δὲ Σκύθαι κοῦφοι ὁπλῖται, καὶ τόξοις χρώμενοι. μακρόθεν οὖν οὗτοι βέλεσι Ῥωμαίους ἔβαλλον, καὶ πεζοὺς τοὺς ἱππότας ῥᾳδίως ἐποίουν, καὶ τέλος τρέπουσιν.

riæ cohortes insecutæ quamplurimos contrucidarunt. Reliqui Imperatoris res gestas Bulgaris nunciarunt, qui conturbati, uti poterat quilibet, fugit: & cum fugæ tempore luna sileret, & locus difficilis esset, alii equis decidere, alii eos pedibus conculcatos interimere, alii e sagis per præcipitia deturbari, adeout ex illis pauci incolumes regressi sint. Dragotas ipse equorum pedibus corpus totum dilaceratus, tertio die letho malo emoritur. Imperator in oppidum appellens libentissime excipitur.

LIX. Indeque secedens Thessalonicam advehitur, & Bardarium transiens, necnon & Bodena trajiciens, morbo Hedrico laboravit: ibi paululum cunctatus, Prilapum petiit, & Belesum adproperat. eo statim atque pervenit, custodes, pactis sacramento ab Imperatore confirmatis, egrediuntur. inde per Neustapolim iter arripit. Strumitzæ oppidum prætergressus, Serras devenit, ubi litteras accipit a Muzalona, res Tachariorum fluctuare. Inde discedens Adrianopolim venit. Et cum ex iis, quæ Bulgari occupaverant, præter oppidula munita duo, eaque prope exigua in Achridæ Patmon, quod non multo negotio Philanthropenus Alexius expugnavit, & Tzepænam, omnia essent recuperata, ægre angebatur Imperator, sed Tzepæna potissimum: ideo Adrianopoli egressus Tzepænam ferebatur, interim fœda tempestas cælo dejicitur, multaque nive terræ facies inasperatur, in loco, quem Macrolibadam dicunt, ex quo copiarum cohortes desumens, Stenimachum contendit, rectaque Tzepænam iter dirigit, & Batcunium, locumque invisi mandavit; si quis ad eum aditus facilis pateret: tandem eo appulit, vidensque oppidum expugnatu difficile, & hyemem asperam, militem in planitiem descendere jussit, solus ipse cum tribus extremi agminis ductor:

Edit. Paris. pag. 140.

LX. Ibique per duos dies cunctatus, & Batcunium depopulatus, rursus Adrianopolim, indeque Didymotechum repetit, & Hellespontum transfretans, apud *Lampsacum* tentorium figit: & Georgium Muzalonem Protosebastum Protovestiarium, & magni Stratopedarchæ munere decorat, fratrem Muzalonis Andronicum magni Domestici, Angelum Joannem Protostratoris, Caryanitem Protovestiarii; ibidem & Christi diebus solemnibus Natalitiis, ac Luminibus celebratis, Nymphæum ingreditur.

LXI. Sed vere jam appetente recta in Occidentem graditur. Sperans eos, quos Didymotechi reliquerat, incolumes offendere; at illos perversa consilia attriverant. Quandoquidem *Bulgarorum* princeps longius abesse Imperatorem cognoscens, auxiliariam Scytharum sibi manum adscitam in Macedoniæ loca amandat, eorum numerus circa quatuor millia fuit, qui Adrianopolim prætercurrentes, quæ circum flumen, cui nomen Reginæ est, & circa Didymotechum oppida omnia prædis & rapinis vastabant. Exercitibus Præfecti, neglectis imperatoris mandatis in Scythas irruunt, armatura gravi præcincti, Scythæ leviarmati, & sagittarii, quare de longinquo isti jaculis Romanos incessere, & ex equitibus pedi-

tes facere, tandem fugare. Itaque Lascaris equo velocissimo fuga sese Adrianopolim intrusit, Margarites, & plures alii Bulgaris venundati capti sunt. De his certior factus Imperator, maturius in Bulgarophygi locum festinavit. Bulgari adventu Imperatoris cognito citato cursu fugam arripuerunt, & plerique eorum circum Bizyæ loca trucidati sunt: & Imperator in fluvio Regina castrametatus est.

Edit. Paris. pag. 141.

LXII. Bulgarorum vero princeps timore percitus, fœdus petiit: & Rosum Urum socrum, Ungariæ regis generum, ad pacem impetrandam destinat, qui ad Imperatorem se contulit, &, ut par erat, excipitur, & pacem firmavit, & jurejurando promisit, Tzepænam oppidum, & utrisque fines antiquos inviolabiles esse: & sic muneribus acceptis ad viginti millia aureorum Urus secessit. Imperator Tzepænæ restitutionem expectans cunctabatur.

LXIII. Porro Despotæ Michaelis conjux Theodora cum filio suo Nicephoro ad absolvendas nuptias proficiscitur, Imperator ad urbem Thessalonicam properavit, sequebatur eum Despotæ uxor cum filio, & inter eundum pactiones factæ sunt & licet invita cum Imperatore tamen concordavit, Serbia castrum, & cum eo Dyrrachium Imperatori cedere. & hæc jurejurando stabilita fuere, & ad Michaelem transmissa, qui lubenti, illubentique animo consensum præstitit.

LXIV. Ubi Thessalonicæ ventum est, nuptias adornat, & Nicephorum Despotæ munere insignit. Interea literis illi significatur, Michaelem Palæologum magnum stabuli Comitem, qui Bithyniam gubernabat, ad Musulmanos confugisse. His Imperator interturbatus est.

LXV. Quando Palæologus ad Turcomanorum sedes pervenit, in illum veluti in thesaurum quemdam Turcomani incidentes universa illius prædam agunt, qui cum vix manus eorum aufugisset, nudus ad Persarum principem confertur, excipiturque humanissime, & pro rapta supellectile recuperanda litteræ mittuntur. Cum vero Tacharii pleraque Musulmanæ ditionis occupata expilarent, & apud Exara castra locarent, Comnenus Michael, Romanis copiis Præfectus, divinoque præsidio fretus, pugnam committit, & Tacharios devicit, exercitusque Ductorem hostilis primus vulneravit. At quidam Amirachuras cum universo milite suo Tachariis adhæsit. Hinc victores sese in pedes conjiciunt, & Persæ frequentes ceciderunt, quos per longa spatia victores subsecuti sunt. Michael Comnenus, cum ita sors tulisset, maximo Persicorum exercituum Stratopedarchæ, quem Peclarpacim Persæ nuncupant, socius in itinere conjungitur, sicque per plurimos dies procedebant, adversariis continuo subsequentibus, & ad Peclarpacis habitationem, quæ Castamonæ erat gressum accelerarunt. Tunc Tacharii universam Musulmanorum regionem hostiliter percurrerunt.

pag. 142.

LXVI. Theodorus Imperator, de his certior factus in Orientem quam celerrime pedem retulit, Thessalonicæ vero, &

A ὁ μὲν οὖν Λάσκαρις ταχυτάτου ἔχων τὸν ἵππον φυγὰς εἰς Ἀδριανοῦ ᾤχετο. ὁ δὲ Μαργαρίτης ἑάλω, καὶ ἄλλοι πλεῖστοι, οὓς καὶ ἀπεμπόλησαν Βουλγάροις. ὁ δὲ μαθὼν ὁ Βασιλεὺς ἔσπευσε διὰ τάχους περὶ τὴν τοῦ Βουλγαροφύγου χώραν ἐλθεῖν. ὡς δ' οἱ Βούλγαροι τὴν Βασιλικὴν ἔγνωσαν ἔφοδον, ἔφυγον, ὡς εἶχον ποδῶν. οἱ πλείους δὲ τούτων περὶ τὰ μέρη Βιζύης ξίφους ἔργον ἐγένοντο. περὶ τὸν ποταμὸν οὖν Ῥηγίνα τὴν σκηνὴν ἔπηξεν.

ξβ'. Ὁ γοῦν τῶν Βουλγάρων ἄρχων πτοίᾳ ληφθεὶς εἰς σπονδὰς ἐτράπετο. καὶ τὸν πενθερὸν αὐτοῦ τὸν Ῥῶσον Οὖρον τοῦ Ῥηγὸς Οὐγγρίας, ἐπὶ τῇ θυγατρὶ τελοῦντα γαμβρὸν μεσιτεῦσαι τὰς εἰς εἰρήνην βεβούλευται. καὶ ὁ Οὖρος εἰς τὸν Βασιλέα ἀφίκετο, καὶ ἐδέχθη προσηκόν- B τως, καὶ τὴν εἰρήνην πεποίηκε, καὶ ὤμοσεν ἀπολυθῆναι Τζέπαιναν, καὶ ἑκάτερα τὰ μέρη τοῖς παλαιτέροις ὁρίοις ἀρκεῖσθαι. καὶ εἰς εἴκοσι χιλιάδας Βασιλικῶν χαρισμάτων ὁ Οὖρος τυχὼν ἐξῄει. ὁ δὲ Βασιλεὺς διεκαρτέρει τὴν τῆς Τζεπαίνης περιμένων ἀπόλυσιν.

ξγ'. Ἀφίκετο δὲ καὶ ἡ τοῦ Δεσπότου Μιχαὴλ γυνὴ Θεοδώρα μετὰ τοῦ υἱοῦ αὐτῆς Νικηφόρου τὸ πρὸς τὸν Βασιλέα κῆδος ἀποπληρώσοντες. ὁ μὲν οὖν Βασιλεὺς ἔσπευδε τὴν Θεσσαλονίκην καταλαβεῖν, συνείποντο δὲ τούτῳ καὶ ἡ τοῦ Δεσπότου γυνὴ μετὰ τοῦ υἱοῦ, καὶ καθ' ὁδὸν τὰς συμβάσεις ἐποίουν, καὶ συμπεφώνηκε καὶ ἄκουσα δοῦναι πρὸς τὸν Βασιλέα τὰ Σέρβια, καὶ τὸ Δυρράχιον. ἐπὶ τούτοις καὶ ὅρκοι προὔβησαν, καὶ ἀπεστάλησαν πρὸς τὸν Μιχαήλ, καὶ C ὃς ἑκὼν ἀέκοντί γε θυμῷ ξυνῆλθεν.

ξδ'. Ἐπεὶ δὲ ὁ Βασιλεὺς τὴν Θεσσαλονίκην κατέλαβε, τοὺς γάμους πληροῖ, καὶ Δεσπότην τὸν Νικηφόρον τετίμηκεν. ἧκε δ' αὐτῷ γραφὰ, ὡς ὁ Παλαιολόγος Μιχαὴλ ὁ μέγας Κονοσταῦλος τὴν Βιθυνίαν διέπων, φυγὰς ᾤχετο περὶ τὴν τῶν Μουσουλμάνων. καὶ ἐταράχθη ἐπὶ τούτοις ὁ Βασιλεύς.

ξε'. Ἐπεὶ δὲ ὁ Παλαιολόγος ἐν τοῖς οἴκοις τῶν Τουρκομάνων ἀφίκετο, τούτῳ ὡς ἑρμαίῳ ἐντυχόντες, τὰ αὐτοῦ διαρπάκασιν. οὗτος δὲ μόγις διεκφυγὼν γυμνὸς περὶ τὸν Περσάρχην ἀφίκετο. ὁ δὲ ἀσμένως τοῦτον προσήκατο. καὶ γραφαὶ στέλλονται, ἵνα τὰ ἐσκυλευμένα ἐξ αὐτοῦ ἐπικομισθῶσιν αὐτῷ. ἐπεὶ δ' οἱ Ταχάριοι τὰ D πλείω τῶν Μουσουλμάνων ἐληΐζοντο, καὶ περὶ τὰ Ἄξαρα ἐστρατοπεδεύσαντο, ὁ Κομνηνὸς Μιχαὴλ τὴν ἡγεμονίαν τῶν Ῥωμαϊκῶν εἰληφὼς στρατιῶν, καὶ χάριτι θείᾳ ἀναρρωσθεὶς, πρὸς μάχην ἐξώρμησε, καὶ τοὺς Ταχαρίους νενίκηκε, πρῶτος τὸν πρῶτον τούτων βαλών. καί τις Ἀμυραχούρης τὸ ὑπ' αὐτὸν συλλαβὼν στράτευμα τοῖς Ταχαρίοις προσώρμησε, κἀντεῦθεν οἱ διώκοντες ἔφευγον. ἔπιπτον γοῦν Πέρσαι συχνοί. μέχρι μὲν οὖν μακρῶν διαστημάτων τὴν δίωξιν οἱ νενικηκότες πεποίηνται. ὁ γοῦν Κομνηνὸς Μιχαὴλ συμβὰν οὕτω τῷ μεγίστῳ Στρατοπεδάρχῃ τῶν Περσικῶν στρατευμάτων, ὃν Πεκλάρπακιν οἴδασι Πέρσαι καλεῖν, ξυνῄει καθ' ὁδὸν, καὶ ἐπορεύοντο πλείους ἡ- E μέρας ἐφεπομένων τῶν πολεμίων. ἐπεὶ δὲ ἡ τοῦ λεγομένου Πεκλάρπακι οἰκία περὶ τὴν Κασταμόναν ἦν, ἐκεῖσε ἐγεγόνεισαν. τὸ δὲ τῶν Ταχαρίων γένος, πᾶσαν τὴν ὑπὸ τοὺς Μουσουλμάνους κατέδραμε χώραν.

ξς'. Ὁ δὲ Βασιλεὺς Θεόδωρος, ἐπεὶ περὶ τῶν γεγονημένων ἐπύθετο, ἔσπευσε πρὸς τὴν ἕω παλινοστῆσαι, καὶ ἀφεὶς ἐν Θεσσαλονίκῃ, καὶ τοῖς κατὰ

δυσμικῶν μέρεσιν, εἰς φύλαξιν τὸν πρὸς πάππου θεῖον αὐτοῦ τὸν Λάσκαριν Μιχαὴλ μετὰ μικροῦ στρατεύματος, ὅσον εἰς τριακοσίους ἀριθμουμένου, τοῦ δὲ Πριλάπου, καὶ τῶν περὶ αὐτὸν στρατευμάτων τὸν, ὃν εἶχε, Σκυτέριον Ξυλέαν ὠνομασμένον. εἰς δὲ τὸν Βελεσὸν, καὶ τὰ περὶ αὐτὸν τὸν Καλαμπάκη Θεόδωρον, ὃν καὶ Τατᾶν τῆς αὐλῆς κατωνόμαζον, τὸν δὲ Χαβάρωνα Κωνσταντῖνον εἰς ἡγεμονίαν τοῦ Ἀλβάνου. ἐμὲ δὲ πάντων προΐστασθαι. A

ξζ'. Καὶ διελθὼν τὰ τῆς Χουναβίας, καὶ τὸ ὄρος τὴν κακὴν Πέτραν, τὴν Μάτην, τὴν Δίβρην, τὴν Κύτζαβιν, εἰς Πρίλαπον ἤχθην, εἶτα τὴν Ἀλβανίαν κατέλαβον. ἦλθον εἰς Ἀχρίδα, τὴν Πρέσπαν, τὸ Σιδηρόκαστρον, καὶ τῷ Πριλάπῳ προσέσχον.

ξη' ξθ'. Ὁ δὲ Βασιλεὺς διαπεραιωθεὶς τὸν Ἑλλήσποντον, ὡς εἶχε τάχους, ἐπὶ τοὺς τῆς Λυδίας τόπους κεχώρηκε, καὶ περὶ τὰς Σάρδεις τὰς σκηνὰς ἔπηξεν. ὁ δὲ Σουλτάνος τὴν αὐτοῦ χώραν καταλιπὼν φυγὰς πρὸς τὸν Βασιλέα ἀφίκετο. ὁ δὲ δώροις τοῦτον ἐδεξιώσατο, καὶ πρὸς τὴν αὐτοῦ ἐπαναζεῦξαι πεποίηκε, δοὺς αὐτῷ καὶ στρατὸν τετρακοσίων ἐπιλέκτων, ἐπιστήσας αὐτοῖς ἡγεμόνα Ἰσαάκιον Δούκαν τὸν Μούρτζουφλον. ὁ δὲ Περσάρχης τὸ ἄστυ τῆς Λαοδικείας τῷ Βασιλεῖ ἐχαρίσατο. ἀλλ' ἐπ' ὀλίγον ὑπὸ Ῥωμαίων. ὁ μὲν οὖν Σουλτάνος ἐπεὶ μὴ ἐξίσχυε τοῖς Ταχαρίοις ἀνθίστασθαι εἰς ξυμβάσεις αὐτοῖς συνῆλθε ὑπὸ τέλει φόρου. ἐξ οὗ ἕως νῦν φορολογοῦνται. ὁ δὲ Μιχαὴλ ὁ Παλαιολόγος ὅρκον παρὰ τοῦ Βασιλέως λαβὼν πρὸς αὐτὸν ἐπανέζευξε. B C

ο'. Καὶ στέλλεται τοῦτον κατὰ τοῦ ἀποστάτου Μιχαὴλ μετὰ στρατεύματος, ὁ δὲ διαβὰς τὸν Βαρδάριον, ὃν οἱ παλαιοὶ Ναξειὸν ὀνομάζουσι, καὶ τῷ Λασκάρει Μιχαὴλ ἑνωθεὶς τὴν Βέρροιαν ἐληΐσατο. οἱ δὲ Σέρβοι τὴν Κύτζαβιν παραμείψαντες τὰ πέριξ Πριλάπου ἐσύλων. ὁ δὲ Σκυτέριος ἐμπλακεὶς τούτοις ἀσυντάκτως ἡττᾶται.

οα'. Καὶ ὁ ἀποστάτης Μιχαὴλ στρατιὰν ἐκπέμψας, στρατηγὸν ἐπιστήσας αὐτοῖς τὸν νόθον υἱὸν αὐτοῦ Θεόδωρον, τοὺς ὄντας ἐκεῖσε ἐν ἀκαρεῖ ἐτρέψατο. ὃ γνοὺς ὁ Παλαιολόγος Μιχαὴλ κατ' αὐτῶν ὁρμᾷ, καὶ τῷ στρατηγῷ τοῦ ἀποστάτου Θεοδώρῳ συρρήξας, βάλλει τοῦτον τοῦ ἵππου, καὶ ἱκέτην ὑπὲρ τοῦ μὴ θανεῖν δέχεται. παραδίδωσιν οὖν τοῦτον Τούρκῳ τινὶ, καὶ ὃς πεφόνευκε τοῦτον. D καὶ ἐτρέψατο τοὺς τοῦ ἀποστάτου. εἶτα ἀφίκοντο πρὸς τὸν Πρίλαπον, καὶ ὀλίγας ἡμέρας προσμείναντες ὑπέστρεψαν.

οβ'. Καὶ ἐπεὶ ἐκεχειρίαν εἶχε περιεστοίχισε τὸ ἄστυ, καὶ ἑλεπόλεις ἔστησε, καὶ κλίμακας ἔφερον, ὡς ἂν διὰ τούτων περὶ τὸ ἄστυ ἀναρριχήσαιντο. ἀλλὰ τότε μὲν ἐξαπέντες πλεῖστοι ἔργον φόνου γεγένηνται. αὖθις δὲ προσβολὴ περισσοτέρα περὶ τὸ ἄστυ, καὶ ἡ ἀπόκρουσις ὁμοία, ὡσαύτως καὶ ἡ τρίτη. εἶτα ἠρέμα παρεκάθηντο. καὶ οὕτως εἷλον τὸν Πρίλαπον.

ογ'. Ὁ δὲ τῶν Βουλγάρων ἄρχων γυναικάδελφος τοῦ αὐτοῦ Μιχαὴλ, ἔχθραν μὲν εἶχε κατὰ Ῥωμαίων, ἀλλὰ πρὸς τοῦ πρωτεξαδέλφου αὐτοῦ Καλλιμάνου καιρίαν πληγεὶς ἐτεθνήκει. ὁ δὲ Καλλιμάνος τὴν ἐκείνου λαβὼν γαμετὴν τὴν Βουλγάρων ἀρχὴν ἐσφετερίζετο. ἀλλ' ὁ Ῥῶσος Οὖρος μετὰ στρατευμάτων ἐπελθὼν τῷ Τερνόβῳ, τὴν θυγατέρα τούτου, τὴν καὶ Μιχαὴλ σύζυγον, εἴληφε. ὁ γὰρ Καλλιμάνος προαπεφόνευτο. ἐπεὶ δ' ἐρήμος ἐναπελείφθη κληρονόμου ἡ τῶν Βουλγάρων ἀρχὴ, οἱ προύχοντες τὸν Τοίχου υἱὸν Κωνσταντῖνον εἰς τὸ ἄρχειν E

A in aliis Occidentis partibus in custodiam reliquit avunculum Michaelem Lascarim, consignato illi exiguo exercitu, non ultra trecentos. Prilapi & vicinorum exercituum Scuterium Xyleam, Belesi, tractusque circa ipsum Calampacem Theodorum, quem Tatam aulæ nuncupabant, Constantinum Chabaronem Albano præfecit, me vero omnibus præesse jussit.

LXVII. Et Chunavia emensa, & monte, quem Malam petram cognominant, Mate, Debre, & Cytzabi, Prilapum contendi: postmodum in Albaniam me contuli. Achridem quoque, Prespam, Siderocastrum invisi, & Prilapi remansi.

B LXVIII. LXIX. Imperator Hellespontum transmittens, quam celerrime ad Lydiæ loca devenit, & apud Sardes castra posuit. Sultanus propria deserens fugitivus Imperatorem convenit: ille virum muneribus ditatum in regionem propriam remisit, milibus selectis quadringentis concessis, quibus Ductorem instituit Isaacium Ducam Murtzuphlum. Persarum princeps Imperatori Laodiceam donavit, sed paululum sub Romanis perduravit. Sultanus ad resistendum Tacharíis impar, fœdus a Tachariis accipit, seseque illis subdit, & ex eo tributa Musulmani Tachariis persolvunt. Michael Palæologus, jurejurando ab Imperatore suscepto, redit.

C LXX. Mittiturque adversus Michaelem Defectorem cum exercitu, qui per Bardarium, quem antiqui Naxium appellabant, transvectus, & cum Michaele Lascari copulatus, Berrœam prædam militibus donat. Servi Cytzabim prætergressi Prilapi adjacentem regionem prædarum ibant. Sculterius perturbato ordine cum illis confligens superatur.

LXXI. Necnon Defector Michael electum militem, spurio filio suo Theodoro Ductore constituto, in Romanos immittit, quos terga vertere coegit. Id cum rescisset Michael Palæologus, in eos irrumpit, & cum Defectoris Prætore Theodoro bello commisso e- *Edit.Paris. pag 143.*
D quo eum pellit, & supplicantem ne neci traderetur, suscepit. Qui Turcæ traditus, occiditur. tandemque Defectoris milites fugantur. postmodum Prilapum conveniunt, & non multos post dies revertuntur.

LXXII. Sed Michael, cum in tuto sua esse vidisset, oppidum obsidione cinxit, aptavit arietes, scalas admovit, ut illis muros ascenderet. Verum tunc rejecti sunt, plurimorum cæde, qui rursus in oppidum vehementius irrumpunt, & pari ratione rejiciuntur; & tertium quoque: sic quieta mente constitit. Et sic Prilapum expugnarunt.

LXXIII. Bulgarorum autem princeps ejusdem Michaelis uxoris frater, qui E simultates & inimicitias in rem Romanam gerebat, a consobrino suo Callimano, lethali vulnere accepto exspirat. Callimanus illius uxore ducta Bulgarorum principatum sibi vindicabat, sed Rosus Urus cum exercitu Trinobum aggressus, filiam hujus & Michaelis consortem recuperat. Callimanus enim antea trucidatus fuerat. Cum vero hærede legitimo Bulgarorum principatus destitueretur, Proceres Tœchi filium Constantinum ut sibi ipsis im-

peret, eligunt, & ut speciosas regnandi causas haberet, ac hæreditario jure regnum possidere videretur, Legatos ad Imperatorem Theodorum misere, ut filiam suam majorem Irenem in matrimonium Tœchi filio concederet, Asani neptem: & uxorem a Constantino separatam ad Imperatorem miserunt. Sic etiam & tranquillitatem Bulgari dederunt.

LXXIV. Post hæc Theodorum Imperatorem morbus gravis invasit: morbo medicinam facere Medici non poterant. Longo itaque tempore noxa conflictatus, & corpus omne exsiccatus, monasticum habitum induit, confessionemque peccatorum animo generoso ac magnifico dignam emisit, Evangelicam meretricem æmulatus, Mitylenensem Archiepiscopum pro delictorum confessione accersena, ante cujus pedes in solum obvolvitur, & lacrymarum rivis terram in qua jacebat conspergit, adeo ut ex illis lutum concinnatum sit. & illud; *Deserui te Christe*, sæpe inter confessionis verba immiscens. Ita ille vita peracta, nondum quatuor integros annos imperio potitus mortem obit: principium enim regnandi Novembrem, Augustum finem vitæ fecit. Cadaver illius in Sosandrorum monasterium delatum, ubi Imperator & pater illius antea, humatum est. Fato functus tres reliquit filios, masculum Joannem, fœminas Theodoram & Eudociam: namque alias duas viris nuptum derat, Irenem Tœchi filio, Mariam Defectoris Michaelis filio Nicephoro, qui tempore defectionis soceri de medio excessit.

Edit. Paris. pag. 144.

LXXV. Filius illius erat octo annos, neque eos integros natus. Pater illius testamentum fecerat, at quidem videbatur pro filio, re autem vera pro Protovestiario suo Musalone Georgio. Hunc enim testamento Romanarum rerum omnium moderatorem, ac dominum instituerat, quoadusque suus filius ad perfectam ætatem pervenisset. Mandata Imperatoris, eorum, qui tunc aderant, jurejurando confirmata sunt. Sed nondum tertius dies, postquam Imperatoris cadaver tumulo conditum est, decurrerat, & tamquam ex composito, quicumque ibi comperiebantur, cum ibidem non exigua militum manus commeasset, & qui ab Imperatore noxa atque incommodis atteriti fuerant, Strategopulus Alexius, cujus filium oculis spoliaverat, Constantinus Tornices, quem in vinculis detinebat, Theodorus Philes obcæcatus etiam ipse, Zagaromita Georgius, quem detinebat, quatuor Protovestiarii Rauli filii, & ipsi carcere conjecti, Nicephorus Alyattes lingua imminutus, festinanter ad Sosandrorum monasterium properant, adversusque Vestiarium tutorem, illiusque fratres irrumpunt, & in sacrario obtruncant, & Imperatorem irrideates, quod nullius pretii homuncioni Romanorum imperium concredidisset.

LXXVI. Ideoque convenientes cum sacro Senatu & Patriarcha consultarunt, quisnam rerum publicarum administrationem in se suscipere dignus haberetur. & primum quidem Romani interrogantur, postmodum Latini, dein Scythæ, & omnes Michaelem Comnenum Palæologum Principem postularunt, & pueri curatorem esse, & rerum publicarum administratorem. Sic primum qui-

A αὐτὸν ἀπεδέξαντο. ἵνα δὲ καὶ εὐπρόσωπος αὐτῷ ἡ ἀρχὴ γένοιτο, καὶ δόξειεν ἀπὸ κληρονομίας κρατεῖν, πρὸς τὸν Βασιλέα Θεόδωρον πρεσβείαν πεπόμφασιν, ἵνα τὴν πρώτην αὐτοῦ θυγατέρα Εἰρήνην συζεύξῃ τῷ τοῦ Τοίχου, ἐγγόνην οὖσαν τοῦ Ἀσάν. ἐχώρισαν οὖν, ἣν εἶχε γυναῖκα, καὶ πρὸς τὸν Βασιλέα ἀπέστειλαν. οὕτω γοῦν ἠρέμησαν τὰ τῶν Βουλγάρων.

οδʹ. Μετὰ δὲ ταῦτα νόσῳ δεινῇ ὁ Βασιλεὺς περιπέπτωκεν. ἀπέκαμον οὖν ἐν ταύτῃ καὶ ἰατρῶν χεῖρες. ἐν οὐκ ὀλίγῳ γοῦν χρόνῳ τῇ νόσῳ καταξανθεὶς, καὶ τὸ σῶμα ὅλον κατασκελετευθεὶς, τὸ μοναδικὸν ὑπεισῆλθε σχῆμα, καὶ ἐξομολόγησιν ἐπεποιήκει ψυχῆς γενναίας, καὶ μεγαλόφρονος, τὴν εὐαγγελικὴν μιμησάμε-
B νος πόρνην, τὸν τῆς Μιτυλήνης ἀρχιερατικῶς προϊστάμενον εἰς τὴν τῶν αὐτοῦ σφαλμάτων ἐξαγορείαν μετακαλεσάμενος, καὶ ἔμπροσθεν τῶν αὐτοῦ ποδῶν πίπτει πρὸς τοὔδαφος, καὶ δακρύων ῥεύμασι τὴν γῆν ἔπλυνεν, ἐν ᾗ κατέκειτο, ὡς καὶ πηλὸν γενέσθαι ἐκ τούτων, καὶ τὸ, ἐγκατέλιπόν σε Χριστὲ, συχνῶς ἐπεφώνει, τοὺς τῆς ἐξαγορείας λόγους τοῦτο συμπεριπλέκων. Ἐκεῖνος μὲν οὖν οὕτω βιώσας, καὶ μήπω ὅλους τέσσαρας ἐνιαυτοὺς αὐτοκρατορήσας. κατὰ τὸν Νοέμβριον γὰρ ἄρξας, ἐν Αὐγούστῳ μηνὶ τὸ τέλος ἔσχατο τῆς ζωῆς. ὁ μὲν οὖν νεκρὸς αὐτοῦ ἐν τῇ τῶν Σωσάνδρων ἀπεκομίσθη μονῇ, καὶ ἐτάφη ἐκεῖσε, ὅπου καὶ ὁ Βασιλεὺς, καὶ πατὴρ αὐτοῦ. τελευτήσας δὲ τρία καταλέλοιπε παιδία, ἓν μὲν ἄρρεν
C τοὔνομα Ἰωάννην, θήλεα δὲ δύο τὴν Θεοδώραν, καὶ Εὐδοκίαν. τὰς ἑτέρας γὰρ δύο αὐτοῦ θυγατέρας ἀνδράσι συνέζευξεν, τὴν Εἰρήνην τῷ τοῦ Τοίχου υἱῷ, τὴν δὲ Μαρίαν τῷ τοῦ ἀποστάτου Μιχαὴλ υἱῷ Νικηφόρῳ, ὅστις καὶ ἐν τῷ καιρῷ τῆς τοῦ πενθεροῦ ἀποστάσεως τὸ κοινὸν ἀπέδοτο χρέος.

οεʹ. Ἦν δὲ ὁ υἱὸς αὐτοῦ οὔπω τελείων ἐτῶν ὀκτώ. ὁ δὲ πατὴρ αὐτοῦ διαθήκην πεποίηκεν τάχα μὲν ὡς ἐπὶ τῷ παιδὶ, τῇ δ᾽ ἀληθείᾳ ἐπὶ τῷ Πρωτοβεστιαρίῳ αὐτοῦ τῷ Μουζάλωνι Γεωργίῳ. τοῦτον γὰρ διετέθετο τὸ κράτος ἔχειν, μέχρις ἂν ὁ τοῦ Βασιλέως υἱὸς εἰς ἥβην τελείαν ἀφίκοιτο. καὶ ἐπρύβησαν ἐπὶ τούτοις προστάξει τοῦ Βασιλέως ὅρκοι παρὰ τῶν ἐντυγχανόντων τῷ τότε. Ἀλλ᾽
D οὔπω τριταῖος ἦν ἐν τάφῳ ὁ τοῦ Βασιλέως νεκρὸς, καὶ ὡς ἀπὸ κοινοῦ συνθήματος συνδραμόντες πάντες οἱ ἐκεῖσε, στράτευμα δὲ ἦν ἱκανὸν, καὶ οἱ πρὸς Βασιλέως κεκακωμένοι ἄνδρες, ὁ Στρατηγόπουλος Ἀλέξιος, οὗ τὸν υἱὸν τετύφλωκεν, ὁ Τορνίκης Κωνσταντῖνος, ὃν εἶχε δέσμιον, ὁ Φιλῆς Θεόδωρος, ὃν τετύφλωκεν, ὁ Ζαγαρομίτης Γεώργιος, ὃν ἐκράτει, οἱ τέσσαρες υἱοὶ τοῦ Πρωτοβεστιαρίου τοῦ Ῥαοὺλ, καὶ αὐτοὶ καθειργμένοι, Νικηφόρος ὁ Ἀλυάτης, οὗ τὴν γλῶσσαν ἐξέτεμεν, αὐτοβοεὶ πρὸς τὴν Σωσάνδρων μονὴν κατὰ τοῦ ἐπιτρόπου Πρωτοβεστιαρίου, καὶ τῶν αὐταδέλφων αὐτοῦ ἐντὸς τοῦ ἱεροῦ βήματος ξίφους ἔργον τούτους ἐποίησαν, καὶ τὸν Βασιλέα ἔσκωπτον, ὅτι ἀνδραρίῳ οὐτιδανῷ τὴν Ῥωμαίων ἀρχὴν ἐνεπίστευσε.
E
οϛʹ. Καὶ οὕτω συνελθόντες, ἅμα τῷ ἱερῷ καταλόγῳ, καὶ τῷ Πατριάρχῃ σκέψιν ἔθεντο, τὸ, τίς ἂν εἴη ἄξιος περὶ τὴν κοινῶν πραγμάτων διοίκησιν. ἠρωτῶντο γοῦν οἱ Ῥωμαῖοι, εἶτα Λατῖνοι, εἶτα Σκύθαι, καὶ πάντες τὸν Κομνηνὸν Μιχαὴλ τὸν Παλαιολόγον ἐπέλεγον, καὶ τοῦ παιδὸς ἐπίτροπον εἶναι, καὶ τῶν κοινῶν διοικητήν. καὶ ὡς ἐν ὀλίγῳ

ταῦτα

ταινίᾳ Δεσποτικῇ αὐτὸν ἀναδῦσι, καὶ μετὰ μικρὸν εἰς Βασίλειον ἀνήχθη περιωπήν.

οζ'. Ἐπεὶ δ' ἀπὸ τῶν μεγιστάνων, ὁ Καρυανίτης ἦν, ὃς καὶ φόνον κατεψηφίσατο τῶν Μουζαλώνων, τοῦτον ὁ Βασιλεὺς Μιχαὴλ, ἵνα μή τι νεωτερίσῃ ἐν εἱρκτῇ ἔθετο. ὁ δὲ ἀποδρὰς πρὸς τὰ τῶν Περσῶν ᾤχετο. καταληφθεὶς δὲ ὑπὸ τῶν Τουρκομάνων, πεφόνευται. ἀπολέλειπτο δὲ ἀπὸ τῶν περιωνύμων ὁ Ἄγγελος Ἰωάννης ὁ Πρωτοστράτωρ, ὃς κατὰ τὴν δύσιν ἦν. τοῦτον πέμψας ὁ Βασιλεὺς ἤθελεν ἀγαγεῖν, καθ' ὁδὸν δὲ δείλῳ σχεθεὶς τεθνήκει. ὁ γὰρ Βασιλεὺς τὸν αὐτάδελφον αὐτοῦ, μέγαν χειροτονήσας Δομέστικον, καὶ τὰ στρατεύματα παραδοὺς αὐτῷ εἰς δύσιν ἐξέπεμψε κατὰ τοῦ ἀποστάτου Μιχαήλ. ὡς δ' ἀνηγορεύθη, Σεβαστοκράτορα εἶναι τοῦτον πέπομφεν. συνῆν δὲ αὐτῷ καὶ Στρατηγόπουλος Ἀλέξιος, καὶ ὁ Πρωτοβεστιάριος Ῥαοὺλ Ἰωάννης. τετίμηκε δὲ καὶ τὸν Στρατηγόπουλον μέγαν Δομέστικον, καὶ ἐξ ἑτέρας μητρὸς αὐτάδελφον αὐτοῦ Κωνσταντῖνον Καίσαρα τετίμηκε, καὶ εἰς τὰ τῆς Παφλαγονίας ἔστειλε μέρη.

οη'. Καὶ ἦν χαρὰ ὡς ἐκ σκοτομήνης εἰς φέγγος, ἢ ἐκ κλύδωνος εἰς γαλήνην, ἢ ἐκ χειμῶνος εἰς ἔαρ, ἢ ἐκ λαίλαπος εἰς νηνεμίαν, ἢ ἐξ ἀθυμίας εἰς ἡδονήν. οἱ δ' ἐν πόλει Λατῖνοι, καὶ ὁ ἐν αὐτῇ Βασιλεύων πρεσβείαν ἔστειλαν πρὸς τὸν Βασιλέα ἀπὸ Θεσσαλονίκης ποιούμενοι ζήτησιν, ἵνα δοίῃ ταῦτ' αὐτοῖς, καὶ πᾶσαν τὴν ἄλλην χώραν ἕως τῆς Κωνσταντίνου. ὁ δὲ Βασιλεὺς ἀστειότερον πρὸς σφᾶς ἀπελογήσατο, ὡς ἐν Θεσσαλονίκῃ ὁ ἐμὸς πατὴρ ἡγεμονεύων ἐτεθνήκει, ὡς ἂν πατρίδος θέλω ἄρχειν αὐτῆς. ταῦτ' ἀκηκοότες οἱ πρέσβεις ὑποκνησιῶσαν εἶχον τὴν ἀκοήν. καὶ παραχώρησον ἡμῖν ἐκ τῶν Σερρῶν αὐτῶν ἔφησαν. καὶ ὅς, ἐκεῖ πρῶτον ἡγεμονεύειν ἠρξάμην, καὶ οὐ χρεὼν ταύτην καταλιπεῖν με. οἱ δέ. καὶ δὸς ἡμῖν ἐκ τοῦ Βολεροῦ τὰ μέχρις ἡμῶν. καὶ ὅς, πολλάκις, φησὶν, ἐκεῖσε ἐθήρευσα, καὶ οὐ μοι κέκριται ἄξιον ἀφεῖναι τοῦτον τὸν χῶρον. τί οὖν ἡμῖν δίδως; οἱ πρέσβεις ἀντήρωτων. ἐγὼ μὲν ἔφη, οὐδέν. ἀλλ' εἴπερ τὴν ἐξ ἐμοῦ λαβεῖν θέλετε εἰρήνην, ἐθέλω τοὺς ἐν Κωνσταντίνῳ Λατίνους πρὸς τὴν Ῥωμαίων τελεῖν ἀρχὴν μερίδα μὲν ἐκ τοῦ κομμερκίου ἡμίσειαν, καὶ ἐκ τοῦ χρυσοψητείου ὡσαύτως. εἰ δ' οὖν ἀλλ' ἴσω μάχη.

οθ'. Καὶ πρὸς τὸν ἀποστάτην δὲ Μιχαὴλ ἐστείλατο πρεσβείαν διὰ τοῦ Φιλῆ Θεοδώρου, πολλὰ ὑποδιδοὺς τῶν προσηκόντων ἀστείων καὶ χωρῶν. ἀλλ' ἦν πρὸς τὰς ὑποσχέσεις σκληρός. ἐφύσα γὰρ αὐτὸν οὐ μόνον τὸ τῷ Ῥηγὶ Σικελίας Μαμφρὲ κῆδος, ἀλλὰ καὶ τὸ ἐπὶ τῷ Πρίγκιπι Ἀχαΐας τῷ Γουλιέλμῳ. ὁ δὲ Βασιλεὺς πρὸς τὸν Ῥῆγα Σικελίας τὸν Μαμφρὲ τὸν τοῦ ἀποστάτου γαμβρὸν, πρέσβεις ἔστειλε διὰ τοῦ ἐπὶ τοῦ Κανικλείου Νικηφόρου τοῦ Ἀλυάτου, ὃν καὶ κατεῖχε μεθ' ἑαυτοῦ ἐγγύς που δύο ἐτῶν. καὶ πρὸς τὸν Πρίγκιπα Ἀχαΐας διεπρεσβεύσατο. ἀλλ' οὐδὲ οὗτος εἶξε.

π'. Τὸν δὲ ἀδελφὸν αὐτοῦ τὸν Σεβαστοκράτορα κατὰ τοῦ ἀποστάτου ἐκπέμψας προσέταξε κατευθὺ τὴν πορείαν ποιήσασθαι, μέχρις ἂν τῷ τοῦ ἀποστάτου ἐντύχοι στρατεύματι. ὁ δὲ ἀποστάτης περὶ τὰ τῆς Καστορίας μέρη ἐστρατοπέδευεν. ἄφνω δ' ἐπελθεῖ τούτῳ βοὴ, ὡς τὰ Ῥωμαϊκὰ στρατεύματα τὰ τῶν Βοδηνῶν Τέμπη διαβάντα κατ' αὐτῶν χωροῦσι. καὶ πτοίᾳ ληφθεὶς ᾤχετο. πολ-

Georg. Acrop. Hist.

dem eum Despotica fascia exornant, qui non multum post ad tempus imperatorium culmen ascendit.

LXXVII. Quando vero ex præstantioribus Caryanites supererat, qui dictorum Muzalonum necem patraverant, ne quid novi attentaret in carcerem intruditur, qui fuga sese surripiens ad Persas commeat, & a Turcomanis interceptus, de medio tollitur. E principibus etiam, & magni nominis viris Joannes Angelus Protostrator, in Occidente ætatem agebat, quem Imperator ad se venire decreverat, sed inter eundum metu obrutus expiravit. Imperator fratrem germanum suum magnum Domesticum constitutum, Romanis illi concreditis agminibus in occiduas partes adversus Defectorem Michaelem dimittit, quem postea Imperator acclamatus Sebastocratorem fecit. Socii illi aderant Strategopulus Alexius, & Protovestiarius Joannes Raulus: Strategopulum quoque magnum Domesticum creavit, & alterum fratrem Constantinum ex alia ortum matre Cæsaris munere decoratum, in Paphlagoniam amandavit. *Edit. Paris. pag. 145.*

LXXVIII. Omnes porro voluptate quadam perfundebantur, ac si e tenebris in lumen, e tempestate in tranquilla, ex hyeme in verna, ex procella in quieta, aut ex mœrore in gaudium accessissent. Latini, qui Constantinopoli erant, eorumque moderator ad Imperatorem, Legatos mittunt, ab ipsa Thessalonica postulantes reliquam regionem Constantinopolim usque. Imperator responsum lepidum sane, neque invenustam dedit, Thessalonicæ patrem suum finem vitæ fecisse, cum illi præesset, se illius tamquam patriæ principatum ambire. Audierunt Legati, adhuc tamen prurita aurium aliqua concessurum Imperatorem sperabant. *Et concede nobis*, inquiunt, *ab Serris ipsis*. Respondit; *Primum in ea dominatum habui: non est itaque operæpretium illam amittere*. Legati; *Saltem nobis a Bolero ad nostra permitte*. Et Imperator; *Illis in locis venationi operam dedi: indignum itaque videtur locis illis renuntiare. Quid igitur nobis donas?* Legati responderunt: *Ego quidem*, infit Imperator, *nihil. Sed si pacem ex me habere concupiscitis, volo Latinos, qui Constantinopoli sunt, Romano imperio ex tributo partem persolvant mediam, & ex Chrysopseta similiter. Sin minus, pugnam edico*.

LXXIX. Ad Michaelem etiam Defectorem Legatum Imperator Theodorum Philem mittit, ea pertinentibus ad se urbibus ac oppidis pleraque cedens: sed inexorabilis oblatis induruit: inflaverat namque animos, non solum cum Siciliæ rege Manfredo, sed etiam cum Achajæ principe Gulielmo contracta affinitas. Præterea ad Manfredum Siciliæ regem Defectoris generum Nicephorum Alyatem Caniclejo Præfectum Legatum misit Imperator, a quo per duos fere annos detentus est. Ad Achajæ quoque principem legat, sed neque hic cessit.

LXXX. Quare fratrem suum Sebastocratorem adversus Defectorem misit, recta iter ingredi jubens, quoadusque Defectoris exercitui occurreret. Defector in Castoriæ partibus castra locaverat. Hinc subito rumor occupat, Romanas copias Bodenorum Tempe prætergressus *pag. 146.* adversus eum iter dirigere, qui metu in animo concepto in fugam se ipse conji-

cit, quare plurimi in itinere vitam disperdunt. Petraliphas etiam Theodorus, uxoris Defectoris frater cum equo præcipitatus vitam posuit: fugatique sunt cæteri ad montes Pyrenæos, qui veterem & novam Epirum a nostra Græcaque ditione disterminant. Cum hæc ita evenissent, occasione sumpta Sebastocrator, in oppida impetum facit, & primum quidem Achride potiti sunt, tum Deaboli: & universa circa ea oppida regio, necnon Prespa, Pelagonia, Soscus, Molyscus sub potestatem Romanarum virium redactæ sunt.

LXXXI. Defector, fune omni moto, proprium militem plane universum in unum collegit. Addidit auxiliares copias generi sui regis, quæ ad quadringentos equites numerabantur. Alius etiam illius gener Achajæ princeps, universo exercitu collecto, per semetipsum socero auxilium tulit, agens armatum agmen peditum & equitum copiosum. Amplissimo itaque exercitu comparato adversus Sebastocratorem Joannem bellum apparatur, qui militari calliditate adversarios eludebat: cum milite quippe undequaque armato, & thorace communito loca magis ardua detinebat; & leviore armatura indutum in planitie cum hostibus confligare jusserat. Pars eorum Scythæ, Turcæ, plerique etiam a Romana gente, quibus sagittandi peritia inerat, & eminus hostem feriebant. & e loco, cui Borilæ Longo nomen est, adversarios urgere cœperunt, quibus neque per diem iter sine molestia conficere, neque per noctem quiescere concedebant. Namque interdiu, dum equi aquatum ducerentur, confligere; illis etiam inter eundum congredi, & plaustris, jumentisque oneratis propinquantes, res, quas illi conducerent, custodibus secedentibus, rapere. Atque id ubi sæpius perpetrarunt, animis adversus hostes ingentibus resumptis manus ad pugnam adducere, & obvia quæque ex illis prædari. Sic Michaelis Defectoris exercitus attritus est; vi tandem & maximo suorum incommodo Stanum, Soscum, & Molyscum penetrarunt. Nam illis in animo erat ad Prilapi oppidum, ut illi suppetias ferrent, proficisci. ubi ad ea loca pervenere, propriæ quilibet opinioni servientes, pro anima, ut dicitur, currere instituerunt. Et Defector, & filius illius Nicephorus cum nonnullis aliis noctu equis invecti sese abripiunt. id ubi persensissent reliqui una & ipsi in fugam impelluntur. Romanum agmen, & Defectoris spurius filius Joannes Sebastocratori Joanni se dedunt, & Imperatori fidem sacramento obligant. Princeps Achajæ, sociique alius alio dispersi sunt. Princeps apud Castoriam capitur sub palearum acervo absconditus, sed ex dentibus cognitus: namque dentes anteriores prominebant, & colligatus ad Imperatorem advehitur. Agminum nobiliores, affinesque, necnon Afeldetusi, & Carytaniæ Jofredus, aliique illustrium plures Platamone, & alibi capti: auxiliaris item manus a rege Siciliæ transmissa a quatuor hominibus, magno nempe Domestico Strategopulo, & Nicephoro Rimpsa, & aliis duobus, quorum nomina nesciuntur debellata est, & hi quoque constricti vinculis ad Imperatorem transportantur.

Edit. Paris. pag. 147.

LXXXII. Postmodum Joannes Se-

A λοὶ δὲ καθ' ὁδὸν ἐσίνοντο. καὶ ὁ Πετραλίφας δὲ Θεόδωρος, ὁ αὐτοκασίγνητος τῆς τοῦ δεσπότου συζύγου, τόπῳ ἐντυχὼν κρημνώδει σὺν τῷ ἵππῳ ἀπώλετο. συνεστάλησαν οὖν μέχρι τῶν Πυρηναίων ὀρῶν, ἃ δὴ διορίζει τὴν παλαιάν τε, καὶ νέαν Ἤπειρον, τῆς Ἑλληνίδος, καὶ ἡμετέρας γῆς. Ἐπεὶ δ' οὕτω συνέβη ἄδειαν ὁ Σεβαστοκράτωρ δραξάμενος κατὰ τῶν ἄστεων ὥρμησεν. εἷλεν οὖν Ἀχρίδα, Δεάβολιν. καὶ πᾶσα δὲ ἡ περὶ τούτων χώρα, ἔτι οὖν Πρέσπα, Πελαγονία, Σωσκός, Μωλισκὸς ὑπὸ τὴν Ῥωμαϊκὴν ἐγεγόνεισαν ἐπικράτειαν.

πα'. Ὁ δ' δεσπότης πάντα κάλων κινήσας τοὺς οἰκείους συνέλεξε, καὶ συμμαχίαν παρὰ τοῦ Ῥηγὸς τοῦ γαμβροῦ προσελάβετο εἰς ἱππέας τετρακοσίους. ἕτερος δὲ
B τούτου γαμβρὸς ὁ Ἀχαΐας Πρίγκιψ τὴν πᾶσαν αὐτοῦ στρατιὰν συλλεξάμενος δι' ἑαυτοῦ, τὴν πρὸς τὸν αὐτοῦ πενθερὸν συμμαχίαν πεποίητο, ἄγων πλῆθος ἱππέων τε, καὶ πεζῶν. συνήθροιστο γοῦν παμπληθὴς στρατιά, καὶ κατὰ τοῦ Σεβαστοκράτορος Ἰωάννου τὴν ὁρμὴν ἐποιοῦντο, ὁ δὲ στρατηγικῶς τοὺς ἀντιπάλους μετήρχετο. ἐκεῖνος μὲν γὰρ κατὰ τῶν καταφράκτων, καὶ θώραξι κεχρημένων δυνάμεων, τὰ ἐχυρώτατα τῶν τόπων ἐκράτει, τοὺς δ' ἐλαφροτέρους κατὰ τῆς πεδιάδος πρὸς τοὺς ἀντιπάλους ἀνθίστασθαι προσετάχει. καὶ οὗτοι οἱ μὲν ἐκ Σκυθῶν, οἱ δὲ ἐκ Τούρκων, ἕτεροι δὲ ἐκ Ῥωμαίων, οἷς μᾶλλον ἡ τοξεία τὸ ἐπιτήδευμα, οἳ καὶ μακρόθεν τούτους τοῖς βέλεσιν ἔπληττον. ἤρξαντο μὲν οὖν ἐκ τόπου, ᾧ Βορίλα Λόγγος τὸ
C ὄνομα. καὶ οὔθ' ἡμέρας ἀνέτως βαδίζειν αὐτοὺς παρεχώρουν, οὔτε νυκτός. συνερρήγνυντο γὰρ αὐτοῖς, ἡμέρας μὲν ἐν τοῖς τῶν ἵππων ποτοῖς. συνέπιπτον δὲ τούτοις καὶ καθ' ὁδόν, καὶ ταῖς ἁμάξαις καὶ τοῖς φορταγωγοῖς ὑποζυγίοις προσπελάζοντες, ἐκ τῶν παρ' αὐτοῖς φορτίων ἐσκύλευον ὑποχωρούντων τῶν φυλασσόντων. τοῦτο δὲ πολλάκις πεποιηκότες εἰς θάρσος κατὰ τῶν ἐναντίων οὐ μέτριον ἐληλάκασιν, ὥστε καὶ χερσὶ χεῖρας ἐμβαλεῖν, καὶ ἐξ αὐτῶν σκυλεύειν τὰ προστυχόντα. οὕτω τὸ τοῦ ἀποστάτου Μιχαὴλ συνέσταλτο στράτευμα, βίᾳ καὶ μόγις Σταυρὸν, καὶ Σωσκὸν, καὶ Μωλισκὸν παραμείψαντες. ἐσπούδαζε γὰρ ἐς τὸ τοῦ Πριλάπου ἄστυ γενέσθαι, ὅπως αὐτῷ ἐπικουρήσωσιν. ἐκεῖ δὲ γεγονότες εἰς οἰκείαν ἕκαστος ἐκπερισπασθέν-
D τες βουλὴν βεβούλευνται τὸν περὶ ψυχῆς τρέχειν. καὶ ὁ μὲν δεσπότης μετὰ τοῦ υἱοῦ Νικηφόρου, καὶ τινων νυκτὸς ἐποχηθέντες ἀπέδρασαν. ὡς δ' ἔγνωστο τοῖς λοιποῖς, καὶ αὐτοὶ πρὸς φυγὴν ἐτράποντο. τὸ μὲν οὖν Ῥωμαϊκὸν στράτευμα, καὶ ὁ νόθος υἱὸς Ἰωάννης τοῦ δεσπότου τῷ Σεβαστοκράτορι Ἰωάννῃ προσῆλθον, καὶ τῷ βασιλεῖ τοὺς ὅρκους ἀπέδοντο. ὁ δὲ Πρίγκιψ Ἀχαΐας, καὶ οἱ μετ' αὐτοῦ ἄλλος ἀλλαχοῦ διεσπάρησαν. καὶ ὁ μὲν Πρίγκιψ κατὰ τὴν Καστορίαν ἑάλω ἔν τινι ἀχυρμιᾷ τινι κρυβείς, κἀκ τῶν ὀδόντων γνωρισθείς. εἶχε γὰρ τοὺς ἐμπροσθίους ἐν μεγέθει, καὶ δέσμιος ἀπήχθη τῷ βασιλεῖ. οἱ δὲ κρείττους τῶν πραγμάτων αὐτοῦ, καὶ προσγενεῖς, ὅ, τε Ἀσελδετοῦσε, ὁ τῆς Καρυταίνης Ἰο-
E φρὲ καὶ ἄλλοι τῶν ὀνομαστῶν, οἱ μὲν κατὰ τὴν Πλαταμῶνα, οἱ δὲ κατ' ἄλλο μέρος ἑάλωσαν. καὶ τὸ συμμαχικὸν στράτευμα τὸ ἐκ τοῦ Ῥηγὸς Σικελίας σταλὲν ὑπὸ τεσσάρων κατηγωνίσθησαν. ὧν μὲν εἷς ἦν ὁ μέγας Δομέστικος ὁ Στρατηγόπουλος, ὁ Ῥίμψας Νικηφόρος, οἱ δὲ δύο τῶν ἀνωνύμων, καὶ τούτους ὡς δεσμώτας πρὸς τὸν Βασιλέα ἔπεμψαν.

πβ'. Ὁ μὲν οὖν Σεβαστοκράτωρ Ἰωάννης τὴν

Θετταλίαν παραμείψας, περὶ τὴν νέαν Πάτραν ἐστρατοπεδεύσατο. ὁ δὲ Στρατηγόπουλος σὺν ἑτέροις τὰ Πυρηναῖα ὑπερβάντες ὄρη, καὶ καταλιπόντες ἐν τοῖς Ἰωαννίνοις στράτευμα εἰς τοῦτον εἰς πολιορκίαν περὶ τὴν Ἄρταν ᾖκον. ἀπέλιπον δὲ τὸν ἐκεῖσε λαὸν οὐκέτι εὐνοϊκῶς περὶ αὐτοὺς ἔχοντα. οὐ γὰρ καλῶς ἐχρήσαντο τούτοις· διὰ ταῦτα καὶ ἡ περιφανεστάτη ἐκείνη νίκη πρὸς τοὐναντίον κεχώρηκεν. ὁ δὲ νόθος υἱὸς τοῦ Μιχαὴλ Ἰωάννης κατὰ τῶν Λατίνων κεχώρηκε, καὶ τὴν Λεβαδίαν παραμείψας τὰς Θήβας ἐσκύλευσε, τὴν δ' ἣν ὤδινεν ἀποστασίαν εἰς προῦπτον ἐξέφηνε, καὶ μετ' ἄλλων ἀποδρὰς πρὸς τὸν ἀποστάτην πατέρα ᾔει. μεθ' οὗ πλοιαρίοις ἐμβάντες τὰς διατριβὰς ἐν τῇ θαλάσσῃ ἐποίουν. ὅμως ἀνερρώσθη, καὶ περὶ Ἄρταν ἀφιγμένος, ἐπεὶ τοὺς πάντας οἰκήτορας προσκειμένους εὗρεν αὐτῷ. εἶδε δὲ καὶ τὸ τῆς Βονδίτζης ἄστυ παρὰ τοῦ μέρους τούτου κρατούμενον, συναγαγὼν πάντας, τοὺς ἡμετέρους τῆς Ἄρτης ἐξήλασεν. ἀλλὰ καὶ τοὺς πολιορκοῦντας τὰ Ἰωάννινα. ὁ μὲν οὖν Σεβαστοκράτωρ Ἰωάννης, καὶ Τορνίκιος ὁ πενθερὸς αὐτοῦ πρὸς τὸν Αὐτοκράτορα ἐπανήκεσαν. ὃν καὶ τῷ τῶν Δεσποτῶν τετίμηκεν ἀξιώματι. τὸν δὲ Τορνίκιον τῷ τῶν Σεβαστοκρατόρων, καὶ τὸν αὐτάδελφον αὐτοῦ Κωνσταντῖνον Σεβαστοκράτορα κατωνόμασεν. ἀλλὰ καὶ τὸν Στρατηγόπουλον Ἀλέξιον δι' ἐπιστολῆς τετίμηκε Καίσαρα.

πγ'. Ὁ δὲ Βασιλεὺς ἔαρος ἐπιλάμψαντος κατὰ τῆς Κωνσταντίνου κεχώρηκεν. ἐπῆλθε γοῦν κατ' αὐτῆς τῷ ἐξαδέλφῳ αὐτοῦ Ἀσὲλ ἐξηπατημένος· ἐν τῷ Γαλατᾷ ἐστρατοπεδεύσατο, καὶ τὸ τοῦ Γαλατᾶ ἐμάχετο φρούριον. ἀπιόντι οὖν ἐκεῖθεν πρέσβεις ἐκ Λατίνων ἧκον περὶ ἀγάπας. καὶ γέγονε χρόνον ἕνα.

πδ'. Ἧκεν οὖν εἰς Πηγάς, εἶτα πρὸς Νύμφαιον ᾤκει, καὶ περὶ Κλαζομένην, οὗ ἧξε καὶ ὁ Σεβαστοκράτωρ Τορνίκιος, καὶ δι' ὄχλου γέγονε τῷ Βασιλεῖ διὰ τὸν πατριαρχεύσαντα Ἀρσένιον, ὁ γὰρ Πατριαρχικὸς ἐχήρευε θρόνος τοῦ πατριαρχεύσαντος Νικηφόρου, ὃς ἀπὸ τῆς Ἐφέσου εἰς τὸν Πατριαρχικὸν μετετέθη θρόνον, ἀπάραντος τῶν ἐνθένδε, μηδ' ὅλον ἐνιαυτὸν διαρκέσαντος. ὁ δὲ Ἀρσένιος προεκλήθη ἀπὸ τοῦ Βασιλέως Θεοδώρου, ὃς ἔχθραν εἶχε κατὰ τῆς Βασιλείας, καὶ ἀνήχθη αὖθις Ἀρσένιος.

πε'. Ὁ δὲ Βασιλεὺς τὸν Στρατηγόπουλον Καίσαρα πέμπει τοῖς δυτικοῖς μέρεσι, παρήγγειλε δὲ τῆς Κωνσταντίνου ἀποπειράσασθαι. ναῦς οὖν τότε μεγίστη ἐκ Βενετίας εἰς τὴν Κωνσταντίνου ἀφίκετο, καὶ Ποτεστάτος, ὃς παροξύνας τοὺς ἐν Κωνσταντινουπόλει Λατίνους, ἐν τριήρεσι καὶ πλοίοις, καὶ λεμβαδίοις, καὶ δρόμωσι κατὰ Δαφνουσίας χωρῆσαι. καὶ γέγονεν οὕτω. καὶ ἐκεκένωτο ἡ πόλις ἀνδρῶν, τῷ Βασιλεῖ ταύτης Βαλδουίνῳ μετά τινων μετρίων φυλαττομένη. ἄφνω οὖν ὁ Καῖσαρ τῇ Κωνσταντινουπόλει ἐπῄει, ἔχων δὲ ἄνδρας τινὰς ἐκεῖθεν ὄντας, καὶ ἀκριβῶς εἰδότας τὰ κατ' αὐτήν. καὶ μαθὼν ὀπήν τινα περὶ τὰ τείχη χωροῦσαν εἰσιέναι ὁπλίτην, ἐκεῖ ᾔει. εἰσῆλθεν οὖν διὰ ταύτης ἀνήρ, καὶ ἕτερος, καὶ ἄλλος, καὶ καθεξῆς μέχρι τῶν ιε'. ἔτι δὲ καὶ πλείους ἄλλοι εἰσιόντες εὗρον ἕνα περὶ τὰ τείχη φύλακα, ὃν ἀναβάντες ἔξω τῶν τειχῶν ἔρριψαν, καὶ πελέκεσι τὰς πύλας ἐξαμοχλεύσαντες, ἐλευθέραν τὴν εἰς αὐτὴν εἴσοδον ἐποίησαν τῷ στρατεύματι. οἱ δ' ἐντὸς τῷ αἰφνιδίῳ κατασεισθέντες, ὡς εἶχον ἕκαστος, τὴν ἑαυτοῦ σωτηρίαν ἐπραγματεύοντο. καὶ ὁ Βαλδουῖνος

Georg. Acrop. Hist.

A bastocrator Thessaliam prætergressus ad Novam Patram locat tentoria: Strategopulus cum aliis Pyrenæos montes transeuntes, Artam properant, Joanninis militum manu ad obsidendum oppidum relicta. cum multitudo illa non bene erga nostros afficeretur: neque enim æquos se illis præbuerant. ideoque victoria illa non diu post in contrarium dilapsa est. Filius vero spurius Michaelis Joannes adversus Latinos progressus, præteritaque Lebadia, Thebas prædatur, & quam secum conceperat, palam defectionem parturit, & cum quibusdam aliis fuga arrepta, ad Defectorem patrem proficiscitur, cum quo naviculas conscendentes in mare moras trahebant, tandem animos assu-

B mentes, Artam contendunt, & cives universos in se propensos comperientes, Bonditzæque oppidum sub ditione sua remanere, quos ibi offenderunt, simul collectis, nostros Arta expellunt, & Joanninæ obsidentes ab obsidione removent. Interim Sebastocrator Joannes, & socer illius Tornicius ad Imperatorem remeant; quem Despotarum dignitate adornavit, Sebastocratorem Tornicium, sed & fratrem illius Constantinum Sebastocratorem indigitavit; quinimo & Strategopulum Alexium per epistolam Cæsarem instituit.

LXXXIII. Imperator appetente vere Constantinopolim commeat. hic adversus eam profectus est, consobrini sui Aseli sermonibus deceptus, qui promise-

C rat se illam traditurum, & Galatæ castrametatur, Galatæque oppidum oppugnabat. Et cum inde secederet Imperator, Legati a Latinis missi, pacem petunt. quæ non uno amplius anno concessa est. *Edit. Par. pag. 148.*

LXXXIV. Venit itaque Pegas, dein Nymphæum, & Clazomenem, ad quam & Sebastocrator Tornicius accessit, proque Expatriarcha Arsenio moleste Imperatorem rogat: Patriarchale siquidem solium, Nicephoro qui in Patriarchale culmen ex Ephesino ascenderat, e terrenis sublato, sessore destituebatur, cum nec integro anno Patriarchatui præfuisset. Arsenius autem sub Imperatore Theodoro in Patriarcham fuerat electus, qui iniquior cum Imperatore inimicitias

D exercuit; rursusque Arsenius in Patriarchalem dignitatem evehitur.

LXXXV. Imperator porro Strategopulum Cæsarem in occiduas partes mittit, monens, ut aliquid de Constantinopoli tentaret. Navis tum maxima Venetiis Constantinopolim appulit, & Potestatus: is Latinos, qui Constantinopoli erant, concitat, ut triremibus, & navibus, necnon lembadiis ac dromonibus in Daphnusiam pergerent, & factum est, ut urbs hominum vacua remansit, a Balduino tunc imperante cum exigua aliorum manu custodita. Improviso itaque Cæsar Constantinopolim abit, secum habens nonnullos ea urbe viros, rerum illius optime gnaros, & cum ex iis cognovisset,

E foramen urbis muris inesse, per quod armatus miles introire posset, operi incumbit, & per illud quidem ingreditur miles, & alius, & tertius, & deinceps quindecim, adhuc etiam & plures alii introeuntes in ipso muro custodem compertum, extra muros projiciunt, & securibus portarum vectibus disjectis, in urbem introitum liberum exercitui aperiunt. Cives re improvisa perculsi, ut quisque poterat, saluti suæ consulere. Balduinus in

magnum Palatium advolavit. Latioi qui Daphnusiam abierant, & Potestatus, cum oihil adversus Romanos perpetrare potuissent, opem enim illis tulerat Deus, ad urbem redibant. Et cum urbi appropinquassent, in urbem ingredi festinant: sed Romanæ copiæ audientes, igne in Latinorum domos prope littus adjacentes immisso, omnes incenderunt, primum Venetorum, aliarumque deinceps nationum, eas Campos nominabant. Id Latini conspicientes, quotquot habere potuerunt ex suis in triremes assumptis, retro cessere, ex triremibus una in magnum Palatium progressa Balduinum recepit. Hac ratione Constantinopolis, ita Deo providente, sub potestate Romanorum venit, 25. mensis Julii, indictione IV. ab orbe condito anno 6769. postquam Latini ea potiti fuissent annos quinquaginta octo.

A περὶ τὸ μέγα παλάτιον ἐχώρησεν. οἱ δὲ περὶ Δαφνουσίαν ἀπιόντες Λατῖνοι, καὶ ὁ Ποτεστάτος, ἐπεὶ μὴ κατὰ αὐτῶν τί δρᾶσαι ἴσχυσαν πρὸς τὴν πόλιν ἐπανεζεύγνυον, ἀντελάβετο γὰρ ἐκείνων Θεός. καὶ πλησιάσαντες εἰς τὴν πόλιν ὥρμησαν εἰσελθεῖν, ἀλλὰ τὰ Ῥωμαϊκὰ στρατεύματα τοῦτο γνόντες, πῦρ ταῖς οἰκίαις τῶν Λατίνων ἐνέβαλον περὶ τὸν αἰγιαλὸν κειμέναις, καὶ ἐνέπρησαν ταύτας, πρῶτα Βενετίκων, εἶτα τῶν ἄλλων γενῶν, ἃς Κάμπους ὠνόμαζον. ὡς δ' εἶδον τοῦτο Λατῖνοι λαβόντες ἐντὸς τῶν τριήρεων ὅσους ἠδυνάντο, καὶ μιᾶς εἰς τὸ μέγα παλάτιον χωρησάσης, καὶ δεξαμένης τὸν Βαλδουῖνον, ὑπεχώρησαν. Οὕτω μὲν ἡ Κωνσταντινούπολις προνοίᾳ Θεοῦ ὑπὸ Ῥωμαίων ἐγένετο, Ἰουλίου ἄγοντος κε΄. οὔσης Ἐπινεμήσεως δ΄. καὶ ἀπὸ γενέσεως κόσμου ἔτους ὄντος ,ϛψξθ΄. ὑπὸ Λατίνων κρατηθεῖσα χρόνους πεντήκοντα ὀκτώ.

F I N I S.

ΙΩΗΛΟΥ
ΧΡΟΝΟΓΡΑΦΙΑ
ΕΝ ΣΥΝΟΨΕΙ.

JOELIS
CHRONOGRAPHIA
COMPENDIARIA.

A ΙΣΤΕΟΝ, ὅτι ὁ μὲν Αδὰμ ἐπέθηκεν ὀνόματα τοῖς παισὶν αὐτοῦ, καὶ πᾶσι τοῖς ζώοις χερσαίοις τε, καὶ θαλαττίοις. Τὸ δὲ αὐτοῦ ὄνομα, καὶ τῆς γυναικὸς αὐτοῦ ἄγγελος Κυρίου εἶπεν αὐτοῖς. καὶ ὁ μὲν Κάϊν ἔλαβε γυναῖκα τὴν πρώτην αὐτοῦ ἀδελφὴν Αζούραν, ὁ δὲ Σὴθ τὴν δευτέραν Ασουάμ, ὁ δὲ Αβὲλ παρθένος καὶ δίκαιος ὑπῆρχεν. Ο δὲ Κάϊν τῆς οἰκίας αὐτοῦ πεσούσης ἀπέθανεν. Ο δὲ Σὴθ πρῶτος ἐξεῦρε γράμματα Εβραϊκὰ, καὶ σοφίαν, καὶ τὰ σημεῖα τοῦ οὐρανοῦ, καὶ τὰς τροπὰς τῶν ἐνιαυτῶν, καὶ τοὺς μῆνας, καὶ τὰς ἑβδομάδας, καὶ τοῖς ἄστροις ἐπέθηκεν ὀνόματα, καὶ τοῖς πέντε πλανήταις εἰς τὸ γνωρίζεσθαι ὑπὸ τῶν ἀνθρώπων καὶ μόνων. καὶ τὸν μὲν πρῶτον πλανήτην ἐκάλεσε Κρόνον, τὸν δὲ δεύτερον Δία, τὸν τρίτον Αρεα, τὸν τέταρτον Αφροδίτην, καὶ τὸν πέμπτον Ερμῆν.

B Μετὰ δὲ τὸν κατακλυσμὸν Καϊνᾶν ὁ υἱὸς Αρφαξὰδ συνεγράψατο τὴν ἀστρονομίαν, εὑρηκὼς τὴν τοῦ Σὴθ καὶ τῶν αὐτοῦ τέκνων ὀνομασίαν, καὶ τῶν ἀστέρων ἐν πλακὶ λιθίνῃ γεγλυμμένην. οἱ γὰρ τοῦ Σὴθ ἔγγονοι προμυηθέντες ἄνωθεν τὴν μέλλουσαν γενέσθαι φθορὰν τῶν ἀνθρώπων, ἐποίησαν δύο στήλας, μίαν μὲν λιθίνην, ἑτέραν δὲ πλινθίνην, λογισάμενοι, ὅτι, εἰ μὲν δι' ὕδατος ὁ κατακλυσμὸς, ἡ λιθίνη στήλη μένει, καὶ τὰ ἐν αὐτῇ γεγλυμμένα, εἰ δὲ διὰ πυρὸς, ἡ πλινθίνη σωθήσεται.

Απὸ Μαγουσαίων δὲ, ἤτοι Περσῶν ἤρξατο ἀστρολογία καὶ μαγεία, λαβόντων ἀρχὰς ἀπὸ Νεβρὼδ τοῦ τῆς Βαβυλῶνος κτίσαντος.

C Μετὰ Νίνον ἐβασίλευσεν Ασσυρίων Θούρρας τις τοὔνομα, ἔτη λ΄. ὃν καὶ μετωνόμασαν Αρεα εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος, ᾧτινι Αρει πρώτην στήλην ἀνέστησαν οἱ Ασσύριοι, καὶ ὡς Θεὸν μέχρι τῆς νῦν προσκυνοῦσι, καλοῦσι Περσιστὶ Βάαλ Θεὸς, ὅ ἐστιν, Αρης πολέμου Θεὸς, οὗ καὶ Δανιὴλ μέμνηται.

Εν τοῖς χρόνοις τῆς βασιλείας τοῦ Φοίνικος ἦν Ηρακλῆς φιλόσοφος, ὁ Τύριος, καὶ τῆς κογχύλης ἐφευρετής. περιπατούμενος γὰρ ἐπὶ τὸ παράλιον μέρος τῆς Τύρου εἶδε ποιμενικὸν κύνα ἐσθίοντα τὴν λεγομένην κογχύλην, καὶ τοῦ ποιμένος νομίσαντος αἱμάσσειν τὸν κύνα, λαβόντος πόκον ἔριον ἀπὸ τῶν προβάτων, καὶ αἱμάξαντος τὸ καταφερόμενον ἐκ τοῦ στόματος τοῦ κυνὸς, καὶ βαφέντος τοῦ πόκου προσέχων ὁ Ηρακλῆς, μὴ εἶναι αὐτὸ αἷμα, ἀλλὰ βάμματος πρόξενον. ὃ καὶ θαυμάσας ὡς μέγα δῶρον τοῦτο προσήγαγε τῷ Βασιλεῖ Φοίνικι. ὃς καὶ μᾶλλον ἐκπλαγεὶς, ἐκέλευσεν ἀπὸ κογχύλης ἔριον βαφῆναι, καὶ γενέσθαι αὐτῷ περιβόλαιον, καὶ ὑπὸ πρῶτον αὐτὸν φορέσαι ἱμάτιον ἐκ πορφύρας.

A SCIENDUM est, Adamum filiis, & omnibus animantibus cum terrestribus, tum marinis nomina imposuisse: nomen vero illius, & uxoris ab Angelo Domini fuisse manifestata. Cainus majorem sororem Azuram, Sethus minorem Asuamam uxorem duxit. Abelus virgo justitiam colebat. Cainus propriæ domus ruina emoritur. Sethus primus Hebraicas litteras, scientias, signa cæli, & tempestatum vices, menses, necnon bebdomadas excogitavit: sideribus quoque & quinque Planetis, ut ab hominibus tantum dignosci possent, nomina imposuit; & primum Saturnum, secundum Jovem, tertium Martem, quartum Venerem, quintum Mercurium nuncupavit. *Edit. Paris. pag. 149.*

B Post diluvium Cainanus Arphaxadi filius cum Sethi illius filiorum, & siderum nomina in saxeo cippo comperisset, stellarum cursus commentario complexus est. Nam Sethi successores imminentem generi humano perniciem edocti, duas columnas, unam quidem lapideam, alteram lateritiam extruunt, rati si mundus aquarum illuvie immergeretur, lapideam permansuram, & quæcumque in ea exsculpta erant, si conflagraret incendio, lateritiam evasuram. *pag. 150.*

A Magusæis, sive Persis Astrologia, & Magia initium duxere, a Nembrode Babylonis conditore occasione sumpta.

Post Ninum Assyriorum regno præ-C fuit Thyrras annos triginta. Illi e Planeta nomen Martis inditum est, & statua prima erecta. Eum Assyrii ad hæc tempora pro deo colentes, lingua Persica Baalem deum vocant, quod notat *Mars bellorum deus*. Illius meminit Daniel.

Temporibus Phœnicis regis Heracles Philosophus Tyrius, purpuræque inventor florebat. Quippe Tyri maritima obambulans pastoritium comperit canem conchylium depascentem, quem pastor sanguine videns infectum, lanæ vellere ex ovibus rapto, quod ab ejus ore profluebat, abstersit; cum autem Heracles vellus non sanguine tingi, sed nova quadam tinctura infici observasset admiratus, magni loco muneris Phœnici regi obtulit, qui & ipse præcipit, sibique vestem fieri. Sic primus ipse purpuratam chlamydem gestavit.

Post Nabuchodonosorem, & Baltasarem filium Persarum regnum tenuit Cyrus annos triginta duos. Hic cum adversus Crœsum Lydorum regem bellum pararet, timore perculsus, ab Indica regione Danielem prophetam accersitum ad se misit. Daniel interrogatus, respondit, *Bono esto animo, hostem tuum devinces.* Quippe de te Esaias propheta vaticinatus est, *Sic dicit Dominus Cyro, cujus dexteram apprehendi, ut subjiciam ante faciem ejus gentes, & robur regis confringam. Ipse ædificabit civitatem meam, & captivitatem populi mei convertet, dicit Dominus Sabaoth.*

His auditis Cyrus Danielis ad pedes concidens. *Vivat*, inquit, *Dominus Deus tuus ego Israelem ex servo faciam, ut sit liber, & a mea ditione dimittam, ut Hierosolymis Deo suo cultum exhibeat.* Sic acie instructa contra Crœsum in dimicationem venit, eoque subjecto, & quadringentis millibus cæsis, qui cladi superstites erant, captivos fecit, Lydorumque imperio funditus everso, nulla mora Israelitas omnes cum Zorobabello dimisit, ut Hierusalem repeterent.

Post Cyrum Darius filius, qui & Cambyses dictus est, regnum tenuit anoos octo.

Post Cambysem Artaxerxes Memor annos viginti.

Edi. Paris. pag. 151. Sciendum est Romum, qui Romæ imperavit, Brumalia non alia de causa excogitasse. Ferunt namque ipsum una cum fratre adulterio editos, sylvis expositos, & ab agresti quadam muliere inventos, enutritos fuisse. Porro contumeliosum erat apud Romanos alieno cibo nutriri, ut aliarum mensarum captatorem dici. Quapropter Romus Brumalia commentus est, ut maculam deleret; necesse esse affirmans, Senatum ali a Rege, veluti honore dignum, hyemis tempore, bellique induciis: Exercitum a Senatu. Convivio nomen Brumalium dedit, quod Romana lingua sonat, alieno victu esse educatum.

Post Romum cum Roma a Consulibus, & Dictatoribus regeretur, inter eos Manlius Februario cuidam Senatori invisus, aliis Senatoribus mala Februarii fraude seductis, civitate ejicitur. Interea Galli die Seatilis mensis vigesimo, impetu facto urbem occupant, & cædibus omnia complent. Senatores, qui fugam arripuerant, rursus Manlium advocant: Manlius coacta manu Gallos armis opprimit, trucidatque omnes, & Roma recepta, mensis, quo hæc acta sunt, tanquam qui Romæ propter illius captivitatem infaustus fuerat, dies detruncat, & Februarium, bonis publicatis, turpiter ab urbe ejectum interficit, Sextilemque mensem Februarium, tamquam eo nomine dignum cognominat.

Post dictum Artaxerxem principatui præfuit Chous filius. Is debellatam Ægyptum, eversamque in sui potestatem redegit, Nectenabone tunc imperante, qui fuga sibi consuluit, & Ægyptiaco ritu fictis imaginibus, & Magicis nugamentis, futura præsagiens, Philippi atque Olympiadis illius uxoris familiaritatem sibi parat, ex eaque Alexandrum procreat.

Philippus annos viginti Macedoniæ gubernacula gessit, & Thessalia oppressa, urbem Thessalonicam extruxit.

A Μετὰ Ναβουχοδονόσορ, καὶ Βαλτάσαρ τὸν υἱὸν αὐτοῦ ἐβασίλευσε Περσῶν Κῦρος, ὁ Πέρσης, ἔτη λβ΄. ὃς πόλεμον μέλλων συμβαλεῖν πρὸς Κροῖσον, τὸν τῶν Λυδῶν βασιλέα, καὶ φοβηθεὶς μετεπέμψατο ἀπὸ τῆς Ἰνδικῆς χώρας τὸν προφήτην Δανιήλ. ὃς ἐρωτηθεὶς εἶπε πρὸς Κῦρον, θάρσει, νικήσεις τὸν ἐχθρόν σου. περὶ σοῦ γὰρ εἶπεν ὁ προφήτης Ἡσαΐας. οὕτω λέγει Κύριος τῷ Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς, ἐπακούσει ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν βασιλέως διαρρήξω, αὐτὸς οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει, εἶπε Κύριος Σαβαώθ.

Ὁ δὲ Κῦρος ἀκούσας ταῦτα, εἶπε, πρὸς τοὺς πόδας τοῦ Δανιὴλ πεσών. Ζῇ Κύριος ὁ Θεός σου, ἐγὼ ἀπολύσω τὸν B Ἰσραὴλ ἐκ τῆς γῆς μου, ἵνα λατρεύσωσι τῷ Θεῷ αὐτῶν ἐν Ἱερουσαλήμ. παραταξάμενος οὖν τῷ Κροίσῳ κατὰ κράτος ἡττήσας, καὶ χιλιάδας υ΄. ἀπολέσας, τοὺς δὲ λοιποὺς αἰχμαλώτους σὺν αὐτῷ λαβὼν καὶ τὴν τῶν Λυδῶν βασιλείαν τελείως καταλύσας, τοὺς υἱοὺς Ἰσραὴλ πάντας εὐθέως μετὰ Ζοροβάβελ ἀπέλυσεν ἐν Ἱερουσαλήμ.

Μετὰ δὲ Κῦρον ἐβασίλευσε Δαρεῖος ὁ υἱὸς αὐτοῦ, ὁ καὶ Καμβύσης, ἔτη η΄.

Μετὰ δὲ Καμβύσην Ἀρταξέρξης ὁ Μνήμων, ἔτη κ΄.

Ἰστέον δὲ, ὅτι Ῥῶμος ὁ τῆς Ῥώμης βασιλεύσας, τὰ λεγόμενα Βρουμάλια ἐπενόησεν δι᾽ αἰτίας τοιαύτης. φασὶ γὰρ αὐτόν τε καὶ τὸν ἀδελφὸν αὐτοῦ ἐκ πορνείας γεννηθέν- C τας, ἐν ἀλσώδει τόπῳ ῥιφῆναι, καὶ ὑπὸ ἀγροικικῆς τινὸς γυναικὸς εὑρεθέντας ἀνατραφῆναι. ὄνειδος δὲ ἦν Ῥωμαίοις τὸ ἐξ ἀλλοτρίων τρέφεσθαι, καὶ ἀλλοτριοφάγους καλεῖσθαι. ὁ οὖν Ῥῶμος τὸ οἰκεῖον ὄνειδος ἐξαλεῖψαι βουλόμενος ἐπενόησε τὰ Βρουμάλια, εἰρηκὼς ἀναγκαῖον εἶναι τὴν Βασιλεία τρέφειν τὴν οἰκείαν σύγκλητον ἐν τῷ καιρῷ τοῦ χειμῶνος, ὡς ἐντίμους, ὅταν ἠρεμῶσιν ἐκ τοῦ πολέμου. τὴν δὲ σύγκλητον πάλιν τρέφειν τὸν στρατόν. ἐκάλεσε δὲ τὸ ὄνομα τοῦ ἀρίστου ἐξ ἐκείνου Βρουμάλιον, ὅ ἐστι Ῥωμαϊστί, ἐξ ἀλλοτρίων τραφῆναι.

Μετὰ δὲ Ῥῶμον ὑπὸ ὑπάτων, καὶ στρατηγῶν τῆς Ῥώμης διοικουμένης, ὧν εἷς ἦν καὶ Μάλιος, ὁ Φεβρουάριος συγκλητικὸς ὢν, καὶ τῷ Μαλίῳ φθονήσας παρεσκεύασε τοὺς D τοὺς συγκλητικοὺς τοῦτον τῆς πόλεως ἐκδιῶξαι· τῶν οὖν Γάλλων τῇ εἰκάδι τοῦ Σεξτιλλίου μηνὸς νυκτὸς ἐπελθόντων, καὶ τὴν πόλιν παραλαβόντων, καὶ πολὺν φόνον ἐργασαμένων, οἱ συγκλητικοὶ φυγόντες, τὸν Μάλιον πάλιν προσκαλοῦνται, ὃς μετὰ στρατοῦ ἐπελθὼν, καὶ τοὺς Γάλλους παραλαβὼν, πάντας ἀνεῖλε, καὶ κρατήσας αὖθις τῆς Ῥώμης ἐκολόβωσε τὰς ἡμέρας τοῦ Σεξτιλλίου μηνὸς, ὡς δυστυχοῦς τῇ Ῥώμῃ γενομένου, διὰ τὴν παράληψιν αὐτῆς ἐν αὐτῷ γενέσθαι· τὸν δὲ Φεβρουάριον τῶν ὑπαρχόντων γυμνώσας, καὶ ἀτίμως τῆς πόλεως ἐκβαλὼν, ἀνεῖλε, καλέσας τὸν Σεξτίλλιον μῆνα Φεβρουάριον, ὡς ἄξιον τοῦ ὀνόματος.

Μετὰ δὲ τὸν εἰρημένον Ἀρταξέρξην ἐβασίλευσε Χῶος E ὁ υἱὸς αὐτοῦ, ὃς καὶ τὴν Αἴγυπτον παρέλαβε, καὶ ἀπώλεσε, βασιλεύοντος αὐτῆς τότε Νεκτεναβὼ, ὃς φυγὼν, καὶ διὰ φαντασιῶν τινῶν, καὶ μαγειῶν Αἰγυπτιακῶν προλέγων τὰ μέλλοντα, γνώριμος γίνεται Φιλίππῳ, καὶ Ὀλυμπιάδι τῇ γυναικὶ αὐτοῦ, ἐξ ἧς ἔτεκε τὸν Ἀλέξανδρον.

Ὁ δὲ Φίλιππος ἐβασίλευσε τῆς Μακεδονίας ἔτη κ΄. ὃς τὴν Θετταλίαν ὑποτάξας τὴν Θεσσαλονίκην πόλιν ἔκτισεν.

Μετὰ δὲ Φίλιππον ἐβασίλευσε Μακεδόνων Ἀλέξανδρος, ὅτε καὶ Δαρεῖος ὁ Ἀρσάμου μετὰ Χῶον βασιλεύων κατεκυρίευσε πάντων. ὃν ὁ Ἀλέξανδρος χειρωσάμενος παρέλαβε πᾶσαν τὴν βασιλείαν αὐτοῦ, καὶ πᾶσαν τὴν Περσῶν, καὶ Μήδων, καὶ Πάρθων, καὶ Βαβυλωνίων χώραν, καὶ τὰ Ἰνδικὰ πάντα μέρη, ὃς καὶ τὴν μεγάλην Ἀλεξάνδρειαν εἰς τὸ ἴδιον ὄνομα κτίσας, εἰς Βαβυλῶνα ὑπέστρεψεν, ἐν ᾗ καὶ τελευτᾷ, ἐτῶν ὢν λβʹ βασιλεύσας ἔτη ιβʹ.

Ἰστέον ὅτι δύο Λάμεχ ἡ γραφὴ μνημονεύει, ἕνα μὲν τὸν ἀπὸ Κάϊν, τὸν καὶ πεφονευκότος ἄνδρα τε καὶ νεανίσκον, τοὺς γὰρ δύο ἀδελφοὺς τοῦ δικαίου Ἐνὼχ ἀνελών, καὶ τὰς δύο τὰς γυναῖκας ἔλαβεν. ἕτερον δὲ τὸν πατρὸς Νῶε, τὸν καὶ μεταγενέστερον, καὶ ἀπὸ Σὴθ κατανομένον.

Ὁ Θάῤῥα ἐγέννησε τὸν Ἀβραάμ, τὸν Μαχωὲ, καὶ τὸν Ἀράμ, τὸν πατέρα τοῦ Λώτ, ὃς καὶ ἀπέθανε πρὸ τοῦ πατρὸς αὐτοῦ Θάῤῥα. τοῦ γὰρ Ἀβραὰμ ἐμπρησμὸν ποιήσαντος, ὥστε κατακαῦσαι τὰ εἴδωλα τοῦ πατρὸς αὐτοῦ· εἰσελθὼν Ἀδὰμ ἐξελέσθαι αὐτὰ ἀπέθανεν ἐν τῷ οἰκήματι ἐνώπιον τοῦ πατρὸς αὐτοῦ.

Ἐκ τοῦ γένους Σίδου υἱοῦ Αἰγύπτου βασιλέως Αἰγυπτίων, κατήχθη Μελχὶ, ὁ πατὴρ τοῦ Σεδέκ, ὃς γενόμενος ἱερεὺς τοῦ Θεοῦ, καὶ βασιλεὺς τῶν Χαναναίων ἐπεκλήθη Μελχισεδὲκ πατρωνυμικῶς, καὶ κτίσας πόλιν ἐν τῷ ὄρει Σιών, ἐπονόμασεν αὐτὴν Σαλήμ, ὅ ἐστιν εἰρήνης πόλις, ἐν ᾗ καὶ βασιλεύσας ἔτη ιγʹ. ἐτελεύτησε δίκαιος καὶ παρθένος, ὥς φησιν Ἰώσηπος. λέγει δὲ καὶ ὁ μέγας Κύριλλος· ἀγενεαλόγητος εἴρηται Μελχισεδὲκ παρὰ τὸ μὴ ὑπάρχειν ἐκ τοῦ σπέρματος Ἀβραὰμ ὅλως, μηδὲ ὑπὸ Μωσέως γενεαλογηθῆναι. εἶναι δὲ Χαναναῖον τὸ γένος, καὶ ἐκ τῆς ἐπαράτου σπορᾶς ὁρμώμενον. ὅθεν οὐδὲ γενεαλογίας ἠξίωται. οὐδὲ γὰρ πρεπωδέστατον ἦν τὸν τῆς ἄκρας δικαιοσύνης ἐπειλημμένον, συμπλέκειν τῷ τῆς ἄκρας ἀδικίας γένει· Ἡ δὲ Ἱερουσαλὴμ ἐκ προσθήκης τῆς τοῦ ἱεροῦ συλλαβῆς μετὰ τῆς Σαλὴμ κατὰ συνάφειαν ὠνομάσθη φερωνύμως Ἱερουσαλήμ, τῇ μὲν διὰ τὴν ἱερουργίαν τοῦ Μελχισεδέκ, τῇ δὲ διὰ τὴν τοῦ ἱεροῦ ναοῦ κατασκευήν. Ἰεβοὺς γὰρ ἐκαλεῖτο πρώην.

Λὼτ ἀνεψιὸς τοῦ Ἀβραὰμ ἐκ τῶν δύο θυγατέρων αὐτοῦ ἐγέννησεν υἱοὺς δύο, Μωάβ, καὶ τὸν Ἀμμάν, ἐξ ὧν Μωαβῖται, καὶ Ἀμμανῖται.

Ὁ δὲ Ἀβραὰμ ἐκ μὲν τῆς Αἰγυπτίας αὐτοῦ παιδίσκης Ἀγὰρ ἐγέννησε τὸν Ἰσμαήλ· ἐκ δὲ τῆς Σάῤῥας τὸν Ἰσαάκ. ὁ δὲ Ἰσαὰκ ἐγέννησε τὸν Ἡσαῦ, καὶ τὸν Ἰακὼβ ἐκ τῆς Ῥεβέκκας. καὶ ἐκ μὲν τοῦ Ἡσαῦ ἐτέχθη Ἐδὼμ υἱὸς ὁμώνυμος τῷ πατρί, καὶ Ἀμαλήκ, ἐξ ὧν Ἰδουμαῖοι, καὶ Ἀμαληκῖται. ἐκ δὲ Ἰακὼβ τοῦ καὶ Ἰσραήλ, Ἰούδας ἀφ᾽ οὗ καὶ Ἰουδαῖοι πάντες, καὶ οἱ ἐκ τῶν λοιπῶν προσηγορεύθησαν. καὶ Ἰσραηλῖται μὲν ἐκ τοῦ πατρὸς Ἰακώβ, Ἰουδαῖοι δὲ ἐκ τοῦ ἐπισημοτέρου ἀδελφοῦ αὐτῶν. Ἐκ δὲ τοῦ Ἰσμαὴλ ἄρχοντες καὶ ἔθνη αὐτῶν ἕξ Ἰσμαηλῖται οἱ νῦν Ἀγαρηνοί τε καὶ Σαρακηνοὶ λεγόμενοι. ὁ δέγε θεῖος Ἀβραὰμ ἐγέννησεν ἐκ τῆς ἐσχάτης γυναικὸς αὐτοῦ Χεττούρας υἱοὺς εʹ, ἐξ ὧν ἐστι Μαδιάμ, ἀφ᾽ οὗ Μαδιανῖται, καὶ Ἀφὲρ ἐξ οὗ Ἀφρική. Ἰσαὰκ δὲ ἀπέθανε ζήσας τὰ πάντα ἔτη ρπʹ. Ἰακὼβ δὲ ζήσας ἔτη ρνδʹ. ἀπέθανεν εἰς Αἴγυπτον ποιήσας ἐκεῖ ἔτη ιζʹ. ὃς ὅτε ὑπῆρχεν ἐτῶν πι. φυγὼν Ἡσαῦ τὸν ἀδελφὸν αὐτοῦ κατῴκησεν εἰς

Philippo in Macedoniæ regno successit Alexander, tunc cum Darius Arsami filius post Choum occupatis omnibus omnium dominus factus est. Dario profligato Alexander ejus imperium universum & Persarum, Medorum item & Parthorum, & Babyloniorum regionem, & Indicos omnes tractus in suam ditionem redegit. Hic cum magnam Alexandriam condidisset, ex proprio nomine nuncupatam in Babyloniam conversus vitæ finem posuit, ætatis annorum triginta duorum, regni anno duodecimo.

Advertendum est, duos nobis Lamechos a Scriptura commemorari, alterum ab Caino, qui & virum, & adolescentulum occidit; cæsis enim duobus justi Enochi fratribus, eorum uxores duxit; alterum recentiorem, Noe parentem, a Setho oriundum. Edit. Paris. pag. 152.

Tharra genuit Abrahamum Machoe, & Aramum Loti patrem, qui & ante Tharram vita functus est. Nam cum Abrahamus incendium excitasset, ut Idola patris absumeret, Aramus, dum ea ab igne servare contendit, domi, in quam fuerat ingressus, vidente patre, flammis crematus occubuit.

Ex sanguine Sidi filii Ægypti regis Ægyptiorum natus est Melchius pater Sedeci. Hic divino sacerdotio, imperioque Chananæorum a patre nomen habuit, dictusque est Melchisedecus, urbemque in monte Sion condidit, Salem denominatam, quasi diceret *Civitatem pacis*: in ea cum regnasset annos tredecim, vita functus est, justus, & virgo, ut Josephus tradit. Magnus Cyrillus de eo hæc habet. Melchisedecus sine genealogia dicitur, quod ex semine Abrahami non fuerit, neque a Moyse ejus genealogia descripta. Erat porro genere Chananæus, execrando semine oriundus, quare nec dignus habitus est, cujus genealogia scriptis mandaretur. Dedecebat quippe absolutissimæ justitiæ sectatorem, perditissimæ nequitiæ generi copulari. Hierusalem vero *Hieru*, id est *sacri*, una cum, *salem*, additione *Hierusalem* dicta est; idque vel Melchisedeci sacerdotio, vel templi sacrosancti extructione; nam prius Jebus nuncupabatur.

Lotus Abrahami fratris filius duos filios ex filiabus genuit Moabum, & Ammanum, ex quibus Moabitæ, & Ammanitæ originem habent.

Abrahamus ex Agare Ægyptia ancilla Ismaelem procreavit, Isaacum ex Sarra. Isaacus Esau, & Jacobum ex Rebecca. Ex Esau nascitur Edomas patri cognominis, & Amalec, ex quibus Idumæi, & Amalecitæ. Ex Jacobo, qui & Israelus, Judas a quo Judæi omnes, etiam ab aliis exorti nuncupati sunt. Israelitæ si quidem a patre Jacobo, Judæi a nobiliore fratre Juda appellationem habent. Ex Ismaele principes, & eorum sex nationes, qui nunc Sarraceni, & Agareni vocantur. Porro divinus Abrahamus ex Chettura postrema uxore liberos quinque suscepit; inter eos Madianus est, a quo Madianitæ, & Apher, a quo Aphrica. Isaacus occubuit, cum vixisset annos omnes simul centum octuaginta. Jacobus annorum centum quinquaginta quatuor diem obiit in Ægypto, postquam ibi commoratus esset annos septemdecim. Hic annos natus

Edit. Parif. pag. 153. septuaginta quinque timore fratris Esau fugiens Carrhas Mesopotamiæ pervenit ad Labanum matris Rebeccæ fratrem, cujus cum viginti annos oves pavisset, Lia atque Rachele Labani filiabus ductis filios, filiasque tulit, partim ab liberis uxoribus, partim ab ancillis Balla, & Zelphasa. Anno vigesimo elapso reditus e Mesopotamia in terram Chanaan visionem Bethele conspexit. Ibi cum ex omnibus, quæ possideret, decimas obtulisset, postremum & ex filiis a Benjamino ducto initio, dinumeratis ordine præpostero ad Levim progressus, eum decimum repertum, Deo devovit.

Porro Isaacus, & Rebecca accitos Jacobum peregre regressum, & Esau precibus, & votis, eorum etiam fide jurejurando adstricta, adhortantur, uti pacem mutuam, vinculaque fraternæ societatis inviolata servent: sicque diem obeunt, prior quidem Rebecca, non multo post Isaacus, Jacobo primogeniti jura elargiti.

Post hæc Esau Amaleci filii cohortationibus in Jacobum fratrem concitatus, militum manu collecta cum armis, ut narrat Josephus, invasit. Jacobus oppidi, in quod confugerat, portis clausis, de muro, ut parentum monitorum recordaretur, admonebat. Esau ægre ferens consilium, cum non solum conviciis, maledictisque incessere, sed excidium quoque minari. Jacobus telo emisso Esau dextra mammilla saucium sternit. Tunc autem impletum est Isaaci vaticinium de Esau, *Si excusseris jugum fratris tui de collo tuo peccabis peccatum mortis.*

Levi porro genuit Caathum, Caathus genuit Abramum, Abramus genuit Aaron, & Moysen. Et anno octuagesimo Moysis egressi sunt filii Israelis ex Ægypto una secum, & ossibus Josephi delatis, commoratique sunt in deserto annos quadraginta.

Post Moysem principatum accepit Jesus Nave, commoratusque in terra promissionis annos triginta duos diem obiit annorum cx.

Post Jesum per Judices Deus populo succurrebat. Et primus omnium Judas judicavit populum annos septem. Hic Adonibesecum alienigenarum regem subegit, ejusque manuum, & pedum extremitates præcidit. Tunc Adonibesecus, *Reges summitates manuum suarum, ac pedum abscisi erant colligentes, quæ sub mensa mea. Sicut igitur feci, sic retribuit mihi Dominus.*

Judæ successit Gothonielus Judex annos quinquaginta.

Gothonielum excepit Avodus annos octuaginta.

pag. 154. Post Avodum Judex factus Samagarus annos septem.

Post Samagarum Judicem egit Baracus, & cum eo Deborra vates: quæ Jaelem Sisaram interfecit paxillo Cinæi Chameris uxor. His temporibus Prometheus, & Orpheus Thrax, qui apud Græcos sapientissimi habiti sunt, & Æsculapius Medicus, & Lycurgus Spartanus Græcorum legum lator, celebres erant.

Post Baracum judicavit Gedeo annos 40. Is cum trecentis, qui cum biberent præstantissimi habiti sunt, Madiamum, & Orebum, & Zebum, & Zebeamum, & Salmananum principes perdidit.

A Χαῤῥὰν τῆς Μεσοποταμίας πρὸς Λάβαν τὸν ἀδελφὸν τῆς μητρὸς αὐτοῦ Ῥεβέκκας, ὁ τῶν προβάτων νομεὺς γενόμενος ἔτη κ΄. καὶ τὰς δύο θυγατέρας αὐτοῦ Λείαν τε καὶ Ῥαχὴλ γυναῖκας λαβὼν ἔσχεν υἱοὺς, καὶ θυγατέρα μίαν ἀπό τε τῶν ἐλευθέρων, ἀπό τε τῶν θεραπαινίδων Βάλας, καὶ Ζελφάν. μετὰ δὲ τὸν κ΄. χρόνον τῆς ἐκ Μεσοποταμίας πρὸς γῆν Χαναὰν ἀποστροφῆς εἶδεν ὅρασιν ἐν Βαιθὴλ, καὶ πάντα ἀποδεκατώσας ἅπερ ἐκέκτητο, τελευταίως ἀποβάλλει τοὺς παῖδας, καὶ ἀπὸ τοῦ Βενιαμὶν ἀρξάμενος ἀνάπαλιν καὶ ἐπὶ τὸν Λευὶ ἐλθὼν τοῦτον προσήγαγε τῷ Θεῷ.

Ὁ γοῦν Ἰσαὰκ, καὶ ἡ Ῥεβέκκα μετὰ τὴν τοῦ Ἰακὼβ ἐπάνοδον προσκαλεσάμενοι τόν τε Ἰακὼβ, καὶ τὸν
B Ἠσαῦ, καὶ παρακαλέσαντες αὐτοὺς ἅμα, καὶ ἐνορκωσάμενοι εἰρήνην ἄγειν πρὸς ἀλλήλους, καὶ τὴν ἀδελφικὴν οἰκειότητα ἀσπάζεσθαι, τελευτῶσι, προτέρα μὲν ἡ Ῥεβέκκα, εἶτα καὶ ὁ Ἰσαὰκ, τῷ Ἰακὼβ καταλείψαντες τὰ τῆς πρωτοτοκίας γέρα.

Μετὰ δὲ ταῦτα ὑπὸ Ἀμαλὴκ τοῦ υἱοῦ αὐτοῦ παροξυνθεὶς Ἠσαῦ κατὰ τοῦ Ἰακὼβ, καὶ συναγαγὼν ἔθνη, ὥρμησε κατ᾽ αὐτοῦ, ὡς φησὶν Ἰώσηπος. Ὁ δὲ τὰς πύλας ἀποκλείσας τῆς πόλεως, εἰς ἣν κατέφυγεν, ἐκ τοῦ τείχους παρεκάλει τὸν Ἠσαῦ μνησθῆναι τῶν γονικῶν ἐντολῶν. Τοῦ δὲ μὴ ἀνεχομένου, ἀλλὰ μᾶλλον καὶ ὑβρίζοντος, καὶ ἐξολοθρεύειν αὐτὸν ἀπειλοῦντος, ἐντείνας τὸ τόξον ὁ Ἰακὼβ, καὶ κατὰ τοῦ δεξιοῦ μαζοῦ πλήξας
C κατέβαλε τὸν Ἠσαῦ. καὶ οὕτως ἐπληρώθη ἡ τοῦ Ἰσαὰκ πρόῤῥησις λέγουσα πρὸς Ἠσαῦ, ἐὰν καθέλῃς τὸν ζυγὸν τοῦ ἀδελφοῦ σου ἀπὸ τοῦ τραχήλου σου, πλημμελήσεις πλημμέλειαν θανάτου.

Λευὶ δὲ ἐγέννησε τὸν Καάθ. Καὰθ δὲ ἐγέννησε τὸν Ἀβραὰμ, Ἀβραὰμ δὲ ἐγέννησε τὸν Ἀαρὼν, καὶ τὸν Μωσῆν. ἐν δὲ τῷ π΄. ἔτει τοῦ Μωσέως ἐξῆλθον οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου ἐπιφερόμενοι καὶ τὰ ὀστᾶ Ἰωσήφ. ἐποίησαν δὲ ἐν τῇ ἐρήμῳ ἔτη μ΄.

Μετὰ Μωσέα διεδέξατο τὴν ἀρχὴν Ἰησοῦς τοῦ Ναυῆ, καὶ ποιήσας ἐν τῇ γῇ τῆς ἐπαγγελίας ἔτη λβ΄. ἀπέθανε ζήσας ἔτη ρι΄.

Μετὰ δὲ Ἰησοῦν διὰ τῶν κριτῶν ἔσωζεν ὁ Θεὸς τὸν
D λαὸν, καὶ πρῶτον Ἰούδας ἔκρινε τὸν λαὸν ἔτη ζ΄. χειρωσάμενος καὶ τὸν Ἀδωνιβεζὲκ βασιλέα τῶν ἀλλοφύλων, καὶ ἀκρωτηριάσας αὐτοῦ χεῖρας καὶ πόδας, ὃς καὶ εἶπεν, οἱ Βασιλεῖς τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν ἀποκεκομμένοι ἦσαν συλλέγοντες τὰ ὑποκάτω τῆς τραπέζης μου, καθὼς οὖν ἐποίησα, οὕτω καὶ ἀπέλαβον παρὰ Θεοῦ.

Μετὰ Ἰούδαν γέγονε κριτὴς Γοθονιὴλ, ἔτη ν΄.

Μετὰ δὲ Γοθονιὴλ Αὐώδ, ἔτη π΄.

Μετὰ δὲ Αὐὼδ Σαγαμὰρ, ἔτη ζ΄.

Μετὰ δὲ Σαγαμὰρ Βαρὰκ, μεθ᾽ οὗ καὶ Δεββῶρα ἡ προφῆτις, ἥτις καὶ τὸν Σίσαρα Ἰαὴλ ἀπέκτεινεν ἐν πασσάλῳ, γυνὴ Χάμερ τοῦ Κιναίου. ἐφ᾽ οὗ
E Προμηθεὺς καὶ Ὀρφεὺς ὁ Θρᾷξ, οἱ παρ᾽ Ἕλλησι σοφώτατοι, καὶ Ἀσκληπιὸς ὁ ἰατρὸς, καὶ Λυκοῦργος ὁ Σπαρτιάτης, καὶ νομοθέτης τῶν Ἑλλήνων ἐγνωρίζοντο.

Μετὰ Βαρὰκ Γεδεὼν ἔτη μ΄. ὁ πατάξας τὸν Μαδιὰμ μετὰ τῶν τ΄. τῶν λαψάντων ἐν τῷ πίνειν, καὶ τὸν Ὠρὴβ, καὶ Ζὴβ, καὶ Ζεβεὲ, καὶ Σαλμανᾶν τοὺς ἄρχοντας αὐτῶν.

A Μετὰ δὲ Γεδεὼν Αβιμέλεχ ὁ υἱὸς αὐτοῦ, ἔτη γ'. πατάξας καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ο'. ἄνδρας ἐπὶ λίθῳ ἑνί. διὸ καὶ ἀπώλετο ὕστερον ἀπὸ γυναικὸς, ἀπὸ πύργου ὑπὸ βολῆς λίθου συντρίψασης αὐτοῦ τὸ κράνιον. ὃς καὶ εἶπε πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ, σπάσαι τὴν ῥομφαίαν σου, καὶ θανάτωσόν με, μή ποτε εἴπωσιν, ὅτι γυνὴ αὐτὸν ἀπέκτεινε, καὶ οὕτως ἀνεῖλεν αὐτὸν τὸ παιδίον.

Μετὰ δὲ Αβιμέλεχ ἦρχεν Θολὰ, ἔτη κγ'.

Μετὰ δὲ Θολὰ Ιεφθάε, ἔτη ς'.

Μετὰ δὲ Ιεφθάε Αβεσὰ, ἔτη ζ'.

Μετὰ δὲ Αβεσὰ Ελὼμ, ἔτη ι'.

Μετὰ δὲ Ελὼμ Σαμψὼν, ἔτη κ'. ἐφ' οὗ καὶ Ηρακλῆς ὁ παρ' Ελλησι διαβόητος ἐγνωρίζετο.

B Μετὰ δὲ Σαμψὼν ἐγένετο ἀναρχία ἔτη μ'.

Μετὰ δὲ τοὺς κριτὰς ἔκρινε τὸν λαὸν Αρχιερεὺς Ηλεὶ ἔτη κ'. καὶ τῇ παροινίᾳ καὶ ἀπαξίᾳ τῶν υἱῶν αὐτοῦ Οφνεὶ καὶ Φινεὲς τῇ ἐπὶ τῶν θυσιῶν, ἐπῆλθεν αὐτοῖς ἡ θεία δίκη. οἱ μὲν γὰρ ἐν τῷ πολέμῳ δεινῶς ἀνῃρέθησαν, ὁ δὲ ἀπὸ τοῦ δίφρου πεσὼν ὀπισθίως, καὶ τὸν νῶτον συντριβεὶς ἀπέθανεν ἐτῶν ϙ'.

Μετὰ δὲ Ηλεὶ Σαμουὴλ ὁ προφήτης καὶ Ιερεὺς ἔτη λ'. καὶ συναθροίζεται ὁ λαὸς πρὸς αὐτὸν εἰς Αρμαθαὶμ αἰτούμενος Βασιλέα. τῷ δὲ σφόδρα λυπηθέντι εἶπεν ὁ Θεός. ἄκουσον τῆς φωνῆς τοῦ λαοῦ, ὅτι οὐ σε ἐξουδενώκασιν, ἀλλ' ἐμὲ, τοῦ μὴ βασιλεύειν ἐπ' αὐτῶν. καὶ ἔδωκεν αὐτοῖς τὸν Σαοὺλ ἐκ φυλῆς Βενιαμὶν, χρίσας αὐτὸν εἰς Βασιλέα.

C Μετὰ οὖν Σαμουὴλ ἐβασίλευσε Σαοὺλ ἔτη μ'. ὃς τολμήσας πρότερον μὲν θυμιάσαι τῷ Θεῷ, εἶτα παραβὰς τὴν ἐντολὴν τοῦ Θεοῦ, ἐπὶ τοῖς Αμαληκίταις ζωογονήσας Αγὰγ τὸν βασιλέα αὐτῶν, ἤκουσε παρὰ τοῦ προφήτου, ὅτι μεματαίωταί σοι, ὅτι οὐκ ἐφύλαξας τὴν ἐντολήν μου, ἣν ἐνετείλατό σοι Κύριος. καὶ τὰ ἑξῆς.

Μετὰ δὲ Σαοὺλ ἐβασίλευσε Δαβὶδ ἐκ φυλῆς Ιούδα ἔτη μ'. ὃς καὶ ἐποίησε τὰ θελήματα τοῦ Κυρίου πάντα. πατάξας δὲ καὶ τὸν Μελχὼ βασιλέα τῶν Σύρων, καὶ λαβὼν τὸν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, μέγαν, ἔχοντα λίθους τιμίους ἐφόρεσεν αὐτὸν, καὶ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ κόσμος εὐπρεπέστατος. ὅπερ δηλῶν ἔφη, Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεὺς, καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ. πρεσβύτερος οὖν καὶ πλήρης ἡμερῶν γενόμενος, καὶ βασιλεύσας τὸν υἱὸν

D αὐτοῦ Σολομῶντα, εἶπεν αὐτῷ. καὶ νῦν Σολομὼν γνῶθι τὸν Θεὸν τῶν πατέρων σου, καὶ δούλευε αὐτῷ ἐν καρδίᾳ τελείᾳ καὶ ψυχῇ θελούσῃ, ὅτι καρδίας πάσας ἐτάζει Κύριος, καὶ πᾶν ἐνθύμημα γινώσκει· καὶ ἐὰν ζητήσῃς αὐτὸν, εὑρεθήσεταί σοι, καὶ ἐὰν καταλείψῃς αὐτὸν, καταλείψει σε εἰς τέλος. καὶ ἔδωκεν αὐτῷ τὸ παράδειγμα τοῦ ναοῦ παντὸς ἐν γραφῇ λέγων, ἴσχυε, καὶ ἀνδρίζου, ὅτι Κύριος ὁ Θεός μου μετὰ σοῦ: καὶ μετὰ ταῦτα ἐτελεύτησεν ἐν γήρᾳ καλῷ, πλούτῳ τε καὶ δόξῃ, καὶ εὐσεβείᾳ ἐτῶν ο'. ἦν δὲ ἐτῶν λ'. Δαβὶδ ἐν τῷ βασιλεύειν αὐτόν. ἐβασίλευσε δὲ καὶ ἔτη μ'. ἀλλὰ τῆς

E μὲν βασιλικῆς χρίσεως ὑπὸ Σαμουὴλ ἠξιώθη τὸ πρότερον. τὰς γὰρ τοῦ λαοῦ ἀναγορεύσεις ἡ ἱστορία χρίσεις ἀδιαφόρως ὠνόμασεν. τελευτήσας τοίνυν θάπτεται ἐν τῇ πόλει Ιερουσαλὴμ εἰς τὸ μέγιστον μνῆμα, ὃ κατεσκεύασεν ὁ σοφώτατος υἱὸς αὐτοῦ Σολομὼν, ἐν ᾧ καὶ συγκατώρυξε τῷ πατρὶ πολλὰς μυριάδας ταλάντων χρυσίου, ὡς φησὶν Ιώσηπος. καὶ δῆλον ἐκ τῶν εἰς ὕστερον γενομένων. O

Joelis Chronogr.

A Gedeoni Abimelechus filius successit annos tres. Hic fratres suos septuaginta super unum lapidem neci tradidit; ideoque tandem perit, cum mulier e turri lapidis ictu cranium illius contrivisset. *Et clamavit ad puerum, qui ferebat vasa ejus: Educ gladium tuum, & interfice me, nequando dicant, mulier ipsum occidit, & sic transfodit eum puer.*

Post Abimelechum Thole præfuit annos viginti tres.

Post Tholam Jephtae annos sex.

Post Jephtae Abesa annos septem.

Post Abesam Elomus annos decem.

Elomo Sampso suffectus est, judicavitque annos 20. Sub hæc tempora Hercules Græcorum historiis nobilis florebat.

B Post Sampsonem fuit interregnum annos quadraginta.

Post Judices judicavit populum summus Sacerdos Heli annos viginti. Is filiorum Ophnis, & Phinees petulantia, ac perversitate in sacrificiis simul cum filiis grave numinis judicium subiit. Hi quippe in prælio crudeliter cæsi sunt; ille de sella retrorsum cadens, confracto dorso mortuus est annorum 90.

Post Heli judicavit populum Samuel Propheta, & Sacerdos annos triginta. Et congregatus populus in Armathæm regem exposcit. quo cum nimis Samuel indoluisset, hæc sibi a Deo dici intellexit, *Audi vocem populi, quoniam non te spreverunt, sed me, ut non regnem super eos.* Et dedit illis Saulem filium Cisi ex tribu Benja-

C min, quem unxit in regem.

Post Samuelem Saulus regni gubernacula suscepit per annos quadraginta. Hic cum primum quidem thure Deo incendisset, deinde mandato numinis violato de Amalecitis Agagum eorum regem vivum conservasset, audiit a Propheta, *Stulte factum est, mandatum meum, quod praecepit tibi Dominus, non servasti*, &c. *Edit. Paris. pag. 135.*

Saulo successit in regno David ex tribu Juda annos quadraginta, qui Deo morem gessit de omnibus. Hic Melchomo Syrorum rege debellato coronam magnam pretiosis illustrem lapidibus ex illius capite sublatam sibi imposuit, ornatum pulcherrimum, ac rega-

D lem, quod ipse illis innuit, *Domine in virtute tua lætabitur rex*, & reliqua illius Psalmi. David præterea senio confectus & diebus auctus, cum Salomonem regem creasset, dixit. *Et nunc Salomon nosce Deum patrum tuorum, & servi ei in corde perfecto, & animo volente. Quoniam corda omnium scrutatur Dominus, & omnem cogitationem cognoscit. Et si quæsieris eum, invenietur tibi, & si dereliqueris eum, derelinquet te in finem. Et dedit illi exemplar templi universi, dicens Confortare, & viriliter age, quoniam Dominus Deus meus tecum.* Post hæc summo jam senectute, divitiis, gloria, & pietate celebris annorum septuaginta e vivis excessit. *Erat autem triginta anno-*

E *rum cum ipse regnavit, & quadraginta annos regnavit.* Hic regia unctione a Samuele dignatus, sed populares plausus historia indifferenter unctiones vocavit. Extinctus ergo in urbe Hierusalem in maximo monumento, quod sapientissimus filius Salomon exædificaverat, sepelitur. Et in eo, ut Josephus auctor est, multas aureorum talentorum myriadas contumulavit, quod & per posteriores eventus comprobatum est.

Q

Quippe summus Sacerdos Hyrcanus ab Antiocho Demetrii filio urbe obsessa, reserato monumento tria millia talentorum inde extraxit. Talentum vero est nummorum centum viginti quinque. Herodes deinceps gnarus id Hyrcano factum, monumentum & ipse adaperuit, licet nullæ essent pecuniæ, ornatum tamen aureum, plurimaque donaria ex eo sustulit. Sed cum ulterius progredi tentaret, ubi Davidis, & Salomonis corpora reposita fuerant, ignis egressus duos ex ejus satellitibus absumpsit.

Post Davidem regno potitur Salomon filius annos quadraginta, eximiæ, divinæque & supra humanum captum sapientiæ particeps. Hic urbem & templum Domini longitudine cubitorum sexaginta, latitudine viginti, altitudine centum viginti, septem annorum spatio absolvit: duas quippe contignationes habebat, ut refert Josephus. In prandium ejus quotidie insumebantur similæ cori triginta, farinæ cribratæ cori sexaginta, electi vituli decem, qui autem per campos pascebantur boves viginti, oves centum, præter cervos, & capreas, & aves electas & altiles. Corus triginta modiorum mensura est, ita ut omnes modii simul colligantur duo millia & septingenta. Vita porro functus est Salomon ætatis anno septuagesimo tertio. Sepeliturque cum patre Davide. Sub eo Homerus, & Hesiodus claruere.

I dit. Parif. pag. 156.

Salomoni in regno successit Roboamus filius, regnoque præfuit annos septemdecim, male de Domino, æque ac pater meritus. Mortuus est in peccatis suis. Eo tempore rex Ægypti Susacemus, Hierosolymis captis, pecunias, quæ in templo regiaque erant, & aureas hastas, & scuta diripuit, quorum loco ænea restituta sunt.

Post Roboamum Abias filius regnavit, & hic quoque male se gessit ergaDominum, & mortuus est anno regni 6.

Post Abiam regnavit Asanus filius, & is non recte se cum Domino gessit, annoque regni 16. mortuus est.

Asano successit in regno Josaphatus filius, qui bene agendo Dominum demeritus est. obiitque anno regni 25.

Post Josaphatum regno præfuit Joramus filius, qui in Deum impius fuit, diem obiit viscerum morbo confectus anno regni octavo.

Post Joramum regnum suscepit Ochozias filius annum unum, qui ob scelera Deo odiosus fuit, cæsusque est ab Jeu.

Ochoziæ in regno successit Gotholia mater annos sex, quæ omnes Ochoziæ liberos præter unum infantem ab Jodae Sacerdotis uxore præter hominum opinionem servatum interemit. Is ex improviso ab Jodae Sacerdote septennis rex creatur. Gotholia vero in regia interficitur.

Gotholiam excipit Joas Ochoziæ filius septennis, regnavitque annos quadraginta. Hic prius ob pietatem Deo gratus extitit, deinde aberravit, domique necatur. Joas Zachariam prophetam præceptoris sui filium neci tradidit. Sub his temporibus Sibylla clara habebatur.

Post Joas imperio præfuit Amasias filius annos viginti novem. Vir specta-

A γὰρ Ἀρχιερεὺς Ὑρκανὸς πολιορκουμένης τῆς πόλεως ὑπ' Ἀντιόχου τοῦ Δημητρίου παιδὸς ἀνοίξας τὸ μνῆμα τάλαντα γ'. ἐκεῖθεν ἐξεφόρησεν. Τὸ δὲ τάλαντον ἔχει νομίσματα ρκέ. μεθ' ὃν Ἡρώδης γνοὺς ὡς Ὑρκανὸς τοῦτο πεποίηκεν, ἤνοιξε καὶ αὐτὸς τὸν τάφον, καὶ χρήματα μὲν οὐχ εὗρεν, κόσμον δὲ καὶ κειμήλια χρύσεα πάμπολλα ἀνείλετο. πειραθέντος δὲ αὐτοῦ ἐνδοτέρω χωρεῖν, οὗ τὰ σώματα Δαβὶδ τε καὶ Σολομῶντος ἔκειτο, πῦρ ἐξελθὸν δύο τῶν δορυφόρων αὐτοῦ διέφθειρε.

Μετὰ οὖν Δαβὶδ ἐβασίλευσε Σολομὼν ὁ υἱὸς αὐτοῦ ἔτη μ' ὃς τὴν πανθαύμαστον, καὶ θεόδοτον, καὶ ὑπὲρ ἄνθρωπον σοφίαν δεξάμενος ᾠκοδόμησε
B τήν τε πόλιν, καὶ τὸν ναὸν Κυρίου ἐν ἔτεσιν ἑπτὰ μῆκος πήχεων ἑξήκοντα, εὖρος πήχεων κ'. καὶ ὕψος πήχεων ρκ'. διώροφος γὰρ ἦν, ὡς φησὶν Ἰώσηπος. Τὸ δὲ ἄριστον τοῦ Σολομῶντος ἦν καθ' ἡμέραν κόροι σεμιδάλεως λ'. κόροι ἀλεύρου κεκοσκινισμένου ξ'. μόσχοι ἐκλεκτοὶ ι'. βόες νομάδες κ'. καὶ πρόβατα ρ'. ἐκτὸς ἐλάφων, καὶ δορκάδων, καὶ ὀρνίθων ἐκλεκτῶν, καὶ σιτευτῶν. ὁ δὲ κόρος ἐποίει μόδια λ'. ὁμοῦ γινόμενα μόδια βψ'. ἀπέθανε δὲ Σολομῶν ἐτῶν ογ'. καὶ ἐτάφη μετὰ τοῦ πατρὸς αὐτοῦ. ἐφ' οὗ ἦν Ὅμηρος καὶ Ἡσίοδος.

Μετὰ δὲ Σολομῶντα ἐβασίλευσε Ῥοβοὰμ ὁ υἱὸς αὐτοῦ ἔτη ιζ'. ὃς τὸ πονηρὸν ἐποίησεν ἐνώπιον Κυ-
C ρίου, ὡς πατὴρ αὐτοῦ, καὶ ἀπέθανεν ἐν ταῖς ἁμαρτίαις αὐτοῦ. ἐφ' οὗ Σουσακεὶμ βασιλεὺς Αἰγύπτου τὴν Ἰερουσαλὴμ ἑλὼν, ἀφείλετο τὰ ἐν τῷ ναῷ, καὶ τοῖς βασιλείοις χρήματα, καὶ τὰ χρυσᾶ δόρατα, καὶ τοὺς χρυσοῦς θυρεοὺς, ἀνθ' ὧν ἐγένοντο χαλκοί.

Μετὰ δὲ Ῥοβοὰμ ἐβασίλευσεν Ἀβίας ὁ υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου. καὶ ἀπέθανεν βασιλεύσας ἔτη ς'.

Μετὰ δὲ Ἀβίαν ἐβασίλευσεν Ἀσὰ υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ ἀπέθανε βασιλεύσας ἔτη ις'.

Μετὰ δὲ Ἀσὰ ἐβασίλευσεν Ἰωσαφὰτ υἱὸς αὐτοῦ. καὶ
D ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου, καὶ ἐτελεύτησε βασιλεύσας ἔτη κε'.

Μετὰ δὲ Ἰωσαφὰτ ἐβασίλευσεν Ἰωρὰμ υἱὸς αὐτοῦ. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου. Καὶ ἀπέθανε δυσεντερικὸς, βασιλεύσας ἔτη η'.

Μετὰ δὲ Ἰωρὰμ ἐβασίλευσεν Ὀχοζίας υἱὸς αὐτοῦ ἔτος α'. καὶ ἐποίησε τὸ πονηρὸν, καὶ ἀνῃρέθη ὑπὸ Ἰοῦ.

Μετὰ δὲ Ὀχοζίαν ἐβασίλευσε Γοθολία μήτηρ αὐτοῦ ἔτη ς'. καὶ ἀπέκτεινε πάντας τοὺς υἱοὺς Ὀχοζίου παρεκτὸς νηπίου ἑνὸς διασωθέντος παραδόξως ὑπὸ γυναικὸς Ἰωδαὲ τοῦ ἱερέως. ὃς καὶ αἰφνιδίως ἀνηγορεύθη Βασιλεὺς ὑπὸ Ἰωδαὲ τοῦ ἱερέως ὑπάρχων
E ἐτῶν ζ'. ἡ δὲ Γοθολία ἀπεκτάνθη ἐν οἴκῳ τοῦ Βασιλέως.

Μετὰ οὖν Γοθολίαν ἑπταετὴς βασιλεύσας Ἰωὰς υἱὸς Ὀχοζίου ἔτη μ'. ἐποίει τὸ εὐθὲς ἐνώπιον Κυρίου. εἶτα παραβαπτεὶς ἐσφάγη ἐν τῷ οἴκῳ αὐτοῦ. ὃς καὶ ἀπέκτεινε Ζαχαρίαν τὸν προφήτην, τὸν υἱὸν τοῦ διδασκάλου αὐτοῦ. ἐφ' οὗ ἡ Σιβύλλα ἐγνωρίζετο.

Μετὰ δὲ Ἰωὰς ἐβασίλευσεν Ἀμασίας υἱὸς αὐ-

ῶ, ἔτη κθ΄. καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου. ἐσφάγη δὲ ἐν τῷ πολέμῳ.

Μετὰ δὲ Ἀμασίαν ἐβασίλευσεν Ὀζίας, ὁ καὶ Ἀζαρίας υἱὸς ἔτη νβ΄. καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου. Καὶ εὐοδούμενος ἐπήρθη. καὶ δὴ θελήσας θυμιάσαι τῷ Θεῷ, αὐτὸς ἀφ᾽ ἑαυτοῦ, καὶ θυμιάσας εὐθὺς ἐλεπρώθη, καὶ οὕτως ἐτελεύτησεν.

Μετὰ δὲ Ὀζίαν ἐβασίλευσεν Ἰωάθαν υἱὸς αὐτοῦ ἔτη ιϛ΄. καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου, καὶ ἐτελεύτησεν.

Μετὰ δὲ Ἰωάθαν ἐβασίλευσεν Ἀχὰζ υἱὸς αὐτοῦ ἔτη ιϛ΄. καὶ ποιήσας τὸ πονηρὸν ἐνώπιον Κυρίου ἀπέθανεν.

Μετὰ δὲ Ἀχὰζ ἐβασίλευσεν Ἐζεκίας υἱὸς αὐτοῦ ἔτη κθ΄. καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου, καὶ ἐτελεύτησεν. Ἐφ᾽ οὗ ἕως ὁ Μωσαϊκὸς χαλκοῦς ὄφις ἔτι παρὰ Ἰουδαίων σεβόμενος, ὃν ἠφάνισεν Ἐζεκίας, ὥσπερ δὲ καὶ τὰς βίβλους τοῦ Σολομῶντος. ἐφ᾽ ὧν χρόνων Ῥῶμος καὶ Ῥέμος ἐβασίλευον ἐν Ῥώμῃ. καὶ Σίβυλλα ἡ Ἐρυθραία ἐγνωρίζετο. ἐφ᾽ οὗ καὶ Σεναχηρεὶμ κατὰ Ἱερουσαλὴμ ἀναβὰς παρὰ θείου ἀγγέλου ἐν μιᾷ νυκτὶ ρπε΄. χιλιάδας ἀποβαλὼν μετ᾽ αἰσχύνης ὑπέστρεψεν.

Μετὰ δὲ Ἐζεκίαν ἐβασίλευσε Μανασσῆς υἱὸς αὐτοῦ ἔτη νε΄. ὁ καὶ τὸν μέγαν Ἡσαΐαν πρίσας, καὶ τὴν Ἱερουσαλὴμ ἀθῴων αἱμάτων πλήσας, καὶ τὸ πονηρὸν ἐναντίον Κυρίου ποιήσας, ὕστερον δὲ μετὰ τὴν ἅλωσιν, καὶ αἰχμαλωσίαν αὐτοῦ μετανοίᾳ διορθωσάμενος ἀπέθανε.

Μετὰ δὲ Μανασσῆν ἐβασίλευσεν Ἀμὼς υἱὸς αὐτοῦ ἔτη β΄. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ ἐσφάγη ἐν τῷ οἴκῳ αὐτοῦ.

Μετὰ δὲ Ἀμὼς ἐβασίλευσεν Ἰωσίας αὐτοῦ ὑπάρχων υἱὸς ἔτη λα΄. ἐτῶν ὑπάρχων η΄. καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου, καὶ ἐτελεύτησε τοξευθεὶς ἐν τῷ πολέμῳ. ἐφ᾽ ὧν χρόνων καὶ τὸ Βυζάντιον ὑπὸ Βύζα βασιλέως ἐκτίσθη τῆς Θρᾴκης.

Μετὰ δὲ Ἰωσίαν ἐβασίλευσεν Ἰωάχαζ υἱὸς αὐτοῦ μῆνας γ΄. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ ληφθεὶς ὑπὸ Νεχαὼ βασιλέως Αἰγύπτου ἀπήχθη εἰς Αἴγυπτον, ἐν ᾗ καὶ ἀπέθανεν.

Μετὰ δὲ Ἰωάχαζ ἐβασίλευσεν Ἰωακείμ, ὁ καὶ Ἐλιακεὶμ ὁ ἀδελφὸς αὐτοῦ ἔτη ια΄ καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ ἐλθὼν Ναβουχοδονόσορ τὴν πᾶσαν Ἰουδαίαν ὑπόφορον ἐποίησεν. ἀθετήσαντος δὲ φορολογίαν Ἰωακείμ, ἦλθε πάλιν εἰς Ἱερουσαλὴμ Ναβουχοδονόσορ, καὶ τοῦτον χειρωσάμενος, καὶ ἀνελὼν ἀπὸ τοῦ τείχους ῥιφῆναι προσέταξε, καὶ ἄταφον ἐπὶ πολὺ κατέλιπε χρόνον.

Μετὰ δὲ Ἰωακεὶμ ἐβασίλευσεν Ἰεχονίας ὁ υἱὸς αὐτοῦ, ὁ Ἰωακεὶμ διὰ προστάγματος Ναβουχοδονόσορ μῆνας τρεῖς, καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον Κυρίου καὶ περὶ τοὺς φόρους ἀγνωμονήσαντος αὐτοῦ, ἦλθεν αὖθις Ναβουχοδονόσορ εἰς Ἱερουσαλήμ, καὶ τὸν Σεδεκίαν ἀντ᾽ αὐτοῦ καταστήσας ἀπῴκισεν εἰς Βαβυλῶνα Ἰεχονίαν, καὶ τὴν μητέρα καὶ τοὺς ἄρχοντας αὐτοῦ. ἐξήνεγκε δὲ καὶ τοὺς θησαυροὺς Κυρίου, καὶ τοῦ βασιλέως, καὶ τὰ χρυσᾶ σκεύη πάντα, ἃ ἐποίησε Σολομὼν ἐν ναῷ Κυρίου.

Μετὰ δὲ Ἰεχονίαν ἐβασίλευσε Σεδεκίας πατράδελφος αὐτοῦ ἔτη γ΄. καὶ ἐποίησε τὸ πονηρὸν ἔναντι Κυρίου, καὶ περὶ τὴν φορολογίαν ὡσαύτως παρασπονδήσαντος αὐτοῦ, ἦλθε πάλιν Ναβουχοδονόσορ,

Joelis Chronogr.

A tæ in Deum pietatis. In prælio obtruncatus est.

Amasiæ succedit in regno Ozias filius, qui & Azarias annis 52. Is numinis benevolentiam assecutus, cum prospera euncta sibi fluere videret, flatu tumens, voluit ipsemet Deo incensum offerre. Sic cum in templo adolevisset, repente lepra obsitus est, & vitam effudit.

Post Oziam regnum obtinuit Joathanus filius annos sexdecim, pius ac religiosus vir, & mortuus est. *Edit. Paris. pag. 157.*

Post Joathanum imperio præfuit Achazus filius annos sexdecim, vir nequam, & impius, & mortuus est.

Achazi regnum excepit Ezechias filius, pietate in Deum commendatus regni anno vigesimo nono diem obiit. Illius æ-
B tate Mosaicus æneus serpens adhuc superteras a Judæis in veneratione habitus. Eum Ezechias, sicut & Salomonis libros expunait, & de medio sustulit. His temporibus Romus & Remus Romæ imperium tenebant, & Sibylla Erythrea illustris erat. Et Senacherimus Hierusalem oppugnans centum octuaginta quinque millibus, per Angelum una nocte trucidatis, dedecore opertus, reversus est.

Post Ezechiam Manasses filius regnum obtinuit annos quinquaginta quinque. Magnum Esaiam serra divisit, Hierosolymam innocentium sanguine inundavit, Deo exosus. Tandem post excidium, & captivitatem, eum scele-
C ratæ vitæ pœnituit, sicque vita functus est.

Manassi successit in regno Amosus filius, regnavit annos duos, nec se erga Deum pium præbuit, propriisque in ædibus trucidatus est.

Amosum excepit Josias filius ætatis annorum octo. regnavit annos triginta unum. Hic fecit rectum coram Domino. Sagitta confossus in prælio occubuit. Eo tempore Byzantium a Byzo Thracum rege exædificatur.

Post Josiam regnavit Joachasus filius. Is voluntati Dei adversatus, captus a rege Ægyptiorum Nechaone, abductusque est in Ægyptum, ubi occidit, cum imperium tenuisset menses tres.

D Joachazo successit Joachimus frater, cui & Eliciamo nomen annos undecim. Hunc propter scelera adversatus est Dominus. Quare Nabuchodonosor Judæam invadens, eum sibi vectigalem fecit. Sed cum Joachimus imperata solvere recusaret, iterum irrupens Hierosolymam cepit, regemque captum, cæsumque e muro præcipitem dari, insepultumque diu jacere jussit.

Joachimum excepit Jechonias filius, qui & Joachimus per menses tres: sic enim Nabuchodonosorus in mandatis dederat. Erga Deum impius fuit. Hic cum tributa mala fide persolveret, valida iterum manu Nabuchodonosorus Hierosolymam obsidione cingit, & Je-
E choniæ regnum in Sedeciam transfert, eo, matre, reliquisque illius principibus in Babylonem adductis. Thesauros item omnes tam sacros, quam regios, & auream supellectilem, quam Salomon in domo Domini præparaverat, exportavit. *pag. 158.*

Post Jechoniam Sedecias patruus regnum obtinuit annos tres. vir injustus, & impius, qui cum pactis nec ipse stetisset tertio Nabuchodonosorus Hiero-

solymam obsedit, expugnatamque flammis absumpsit, Sedecia capto, uxorem, & filios in conspectu illius neci tradidit, eum obcæcatum, vinculisque alligatum, captivum in Babylonem abduxit.

Decem sceptris divisis Jeroboamus filius Nabati ex tribu Ephraim servus Salomonis, & rebellis regnum occupat annos quadraginta duos, multis, nefariisque sceleribus coopertus, ideo percussit illum Dominus, & mortuus est in iniquitatibus suis.

Jeroboamo successit Nabatus filius, scelere, furoreque inflammatus, & cum biennium regnasset cæsus est a Baasa.

Post Nabatum regnavit Baasa vir maleficus, & injustus, & cum regnasset annos 24. in prælio trucidatus est.

Post Baasam imperavit Hela filius vir profligatissimus. Is biennium regnavit, sublatusque est a Zambrio anno regni 2.

Helæ Zambrius successit multis flagitiis, & sceleribus contaminatus, hic cum se fuga domum recepisset, ab hostibus concrematus est anno regni 12.

Zambrio succedit in regno Achabus filius facinorosis operibus Deo exosus, & mortuus est in iniquitatibus suis anno regni vigesimo secundo.

Defuncto Achabo regnum administravit Ochozias annos duos, vir profligatissimus, ac perditissimus. Is cum e cœnaculo domus suæ cecidisset, consumptus est.

Ochoziæ successit Joramus frater nequitia singulari præditus, & ab Jeu trucidatus est, postquam regnasset annos duodecim. Sub eo Helias magnus assumptus est. Elisæus vero aquis Hiericuntiis eum essent amaræ, & gustu insuaves, opem tulit.

Post Joramum regnum tenuit Jeu Amasiæ filius annos viginti octo. Is cum Samariam ingrederetur, Jezabellam, quæ cultissimo corporis ornatu in fenestra apparuerat, per Eunuchos præcipitem egit, sic illa ab equis conculcata, & a canibus devorata est. Idem filios Achabi neci tradidit, & astute, fraudulenterque convocato populo, sacerdotes, ac prophetas Baalis omnes interfecit, & Baal, illiusque supellectilem omnem succendit. Ceterum Jeu usque in finem nec justitiam, nec legem Domini servavit, mactatusque est in prælio.

Edit. Paris. pag. 159.

Post Jeu regnavit Joachazus filius annos viginti septem. Legirupa, impius, & mortuus est.

Joachazo successit Joas filius vir profligatissimus, & cum regnasset annos quatuordecim mortuus est. Ejus tempestate Elisæus moritur, postquam per signa de Syros victoriam prædixisset; cum vero sepulturæ mandaretur, cadaver in eodem monumento beatis illis Prophetæ ossibus appropinquans, vitæ restitutum est.

Post Joas Jeroboamus filius regnum tenuit annos triginta quatuor, vita flagitiis inquinata, & mortuus est.

Jeroboamo successit Azarias filius sane nequam, ac perditus, cæsus est a Sellumo, postquam regnasset menses 6.

Azariæ suffectus est Sellumus fraudis, scelerisque plenus, trucidatus a Manaimo regni mense primo.

Post Sellumum regnavit Manaimus annos tres: profligatissime vixit, & a Phacesia interemptus est.

Manaimum excepit Phacesias filius ab omni honestate relictus, & cum

A καὶ τὴν μὲν πόλιν πᾶσαν παραλαβὼν ἐνέπρησε. τὸν δὲ Σεδεκίαν χειρωσάμενος τὴν μὲν γυναῖκα, καὶ τὰ τέκνα αὐτοῦ κατ' ὀφθαλμοὺς αὐτοῦ ἀνεῖλεν. αὐτὸν δὲ ἐκτυφλώσας, καὶ δεσμοῖς καθείρξας εἰς Βαβυλῶνα αἰχμάλωτον ἀπήγαγεν.

Μετὰ δὲ διαίρεσιν τῶν δέκα σκήπτρων ἐβασίλευσεν Ἱεροβοὰμ υἱὸς Ναβὰτ ἐκ φυλῆς Ἐφραὶμ ὁ δοῦλος Σολομῶντος, καὶ ἀποστάτης ἔτη μβ΄. καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον Κυρίου. διὸ καὶ ἐπάταξεν αὐτὸν ὁ Θεὸς, καὶ ἀπέθανεν ἐν ταῖς ἁμαρτίαις αὐτοῦ.

Μετὰ δὲ Ἱεροβοὰμ ἐβασίλευσε Ναβὰτ υἱὸς αὐτοῦ ἔτη β΄. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ ἐσφάγη ὑπὸ Βαασά.

B Μετὰ δὲ Ναβὰτ ἐβασίλευσε Βαασὰ ἔτη κδ΄. καὶ ἐποίησε τὸ πονηρόν. καὶ ἐσφάγη ἐν πολέμῳ.

Μετὰ δὲ Βαασὰ ἐβασίλευσεν Ἠλὰ υἱὸς αὐτοῦ, ἔτη β΄. καὶ ἐποίησε τὸ πονηρὸν, καὶ ἐσφάγη ὑπὸ Ζαμβρῆ.

Μετὰ δὲ Ἠλὰ ἐβασίλευσε Ζαμβρῆ ἔτη ιβ΄. καὶ ἐποίησε τὸ πονηρὸν, καὶ ἐκαύθη ὑπὸ τῶν πολεμίων, οἴκαδε προσφυγών.

Μετὰ δὲ Ζαμβρῆ ἐβασίλευσεν Ἀχαὰβ υἱὸς αὐτοῦ, ἔτη κβ΄. ὃς ἐποίησε τὸ πονηρὸν, καὶ ἐσφάγη, καὶ ἀπέθανεν ἐν ταῖς ἁμαρτίαις αὐτοῦ.

Μετὰ δὲ Ἀχαὰβ ἐβασίλευσεν Ὀχοζίας υἱὸς αὐτοῦ, ἔτη β΄. καὶ ἐποίησε τὸ πονηρὸν, καὶ πεσὼν ἐκ τοῦ ὑπερῴου τοῦ οἴκου αὐτοῦ, ἀπέθανε.

C Μετὰ δὲ Ὀχοζίαν ἐβασίλευσεν Ἰωρὰμ ὁ ἀδελφὸς αὐτοῦ, ἔτη ιβ΄. καὶ ἐποίησε τὸ πονηρὸν, καὶ ἐσφάγη ὑπὸ Ἰηοῦ. ἐφ' οὗ ἀνελήφθη ὁ μέγας Ἠλίας. ὁ δὲ Ἐλισσαῖος τὸ Ἱεριχουντίνον ὕδωρ πικρὸν ὂν φύσει, καὶ δύσποτον, ἰάσατο.

Μετὰ δὲ Ἰωρὰμ ἐβασίλευσεν Ἰηοῦ υἱὸς Ἀμεσσίου, ἔτη κη΄. καὶ εἰσερχόμενος ἐν τῇ πόλει Σαμαρείας εἶδε προκύψασαν Ἰεζάβελ διὰ τῆς θυρίδος κεκαλλωπισμένην, καὶ προσέταξε τοῖς εὐνούχοις αὐτῆς κατακρημνίσαι αὐτήν, ἣ κατεπατήθη ὑπὸ τῶν ἵππων, καὶ κατεβρώθη ὑπὸ τῶν κυνῶν. ἐπάταξε δὲ καὶ τοὺς υἱοὺς Ἀχαὰβ, καὶ μετὰ πανουργίας συναθροίσας πάντας τοὺς ἱερεῖς, καὶ προφήτας τοῦ Βάαλ, πάντας ἀναιρεθῆναι προσέταξεν,
D καὶ τὸν Βάαλ, καὶ τὰ αὐτοῦ πάντα ἐνέπρησε. πλὴν οὐκ ἐφύλαξεν εἰς τέλος πορεύεσθαι ἐν νόμῳ Κυρίου, καὶ ἐσφάγη ἐν τῷ πολέμῳ.

Μετὰ δὲ Ἰηοῦ ἐβασίλευσεν Ἰωάχαζ υἱὸς αὐτοῦ, ἔτη κζ΄. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου. καὶ ἀπέθανεν.

Μετὰ δὲ Ἰωάχαζ ἐβασίλευσεν Ἰωὰς υἱὸς αὐτοῦ, ἔτη ιδ΄. καὶ ἐποίησε τὸ πονηρὸν, καὶ ἀπέθανεν, ἐφ' οὗ Ἐλισσαῖος ἐτελεύτησε προφητεύσας αὐτῷ τὴν τροπὴν διὰ συμβόλων νίκην κατὰ Σύρων. τοῦ δὲ προφήτου θαπτομένου ἐν τῷ μνημείῳ νεκρός τις ἐν τῷ αὐτῷ τάφῳ πλησιάσας τοῖς μακαρίοις ὀστέοις αὐτοῦ ἀνέστη.

Μετὰ δὲ Ἰωὰς ἐβασίλευσεν Ἱεροβοὰμ υἱὸς αὐτοῦ, ἔτη λδ΄. καὶ ἐποίησε τὸ πονηρὸν, καὶ ἀπέθανεν.

E Μετὰ δὲ Ἱεροβοὰμ ἐβασίλευσεν Ἀζαρίας υἱὸς αὐτοῦ μῆνας ς΄. καὶ ἐποίησε τὸ πονηρόν. καὶ ἐσφάγη ὑπὸ Σελύμ.

Μετὰ δὲ Ἀζαρίαν ἐβασίλευσε Σελλοὺμ μῆνα α΄. καὶ ἐποίησε τὸ πονηρὸν, καὶ ἐσφάγη ὑπὸ Μαναΐμ.

Μετὰ δὲ Σελλοὺμ ἐβασίλευσε Μαναῒμ ἔτη γ΄. καὶ ἐποίησε τὸ πονηρὸν, καὶ ἐσφάγη ὑπὸ Φακεσίου.

Μετὰ δὲ Μαναῒμ ἐβασίλευσε Φακεσίας υἱὸς

αὐτοῦ ἔτη β΄. καὶ ἐποίησε τὸ πονηρὸν, καὶ ἐσφάγη ὑπὸ Φακεέ.

Μετὰ δὲ Φακεσίαν ἐβασίλευσε Φακεὲ ἔτη κ΄. καὶ ἐποίησε τὸ πονηρὸν, καὶ ἐσφάγη ὑπὸ Ωσηέ.

Μετὰ δὲ Φακεὲ ἐβασίλευσεν Ωσηὲ, ἔτη θ΄. καὶ ποιῶν τὸ πονηρὸν ἀπέθανεν.

Μετὰ δὲ τοὺς εἰρημένους Ασσυρίων Βασιλεῖς ἐβασίλευσεν, ὡς εἴρηται Ναβουχοδονόσορ ἔτη κζ΄. καὶ διὰ τὸ ἐπαρθῆναι κατὰ θείαν ὀργὴν ἐξ ἀνθρώπων ἐκδιωχθεὶς, καὶ μετὰ θηρίων οἰκήσας, καὶ χόρτον φαγὼν, ὕστερον ἐπιγνοὺς τὸν τῶν ὅλων Θεὸν, πάλιν ἐπανῆλθεν εἰς τὴν ἑαυτοῦ Βασιλείαν, καὶ λαμπρότερον γέγονε.

Μετὰ δὲ Ναβουχοδονόσορ ἐβασίλευσεν Οὐλεμαροδὰχ υἱὸς αὐτοῦ ἔτη ε΄.

Μετὰ δὲ Οὐλεμαροδὰχ ἐβασίλευσε Βαλτάσαρ ὁ ἀδελφὸς αὐτοῦ ἔτη γ΄. ὃς μιάνας τὰ ἱερὰ σκεύη τοῦ Θεοῦ ἐν τῷ συμποσίῳ αὐτοῦ, ἅπερ ἤγαγεν ὁ πατὴρ αὐτοῦ Ναβουχοδονόσορ ἐξ Ιερουσαλὴμ, ἀνῃρέθη κατὰ θείαν ὀργὴν, καὶ παρέλαβε τὴν Βασιλείαν Δαρεῖος.

Μετὰ δὲ Βαλτάσαρ ἐβασίλευσε Δαρεῖος ὁ Μῆδος, ὁ καὶ Ασυήγης, ὁ καὶ Αρταξέρξης ἔτη ιζ΄ ἐφ᾽ οὗ καὶ τῷ Δανιὴλ ὡράθησαν αἱ διὰ τοῦ Αγγέλου ὀπτασίαι, καὶ ὁ χρόνος ἐδηλώθη τῆς Χριστοῦ παρουσίας. ὃς φθονηθεὶς ὑπὸ τῶν μεγιστάνων διὰ τὸ μεγάλως τιμᾶσθαι ὑπὸ τοῦ Βασιλέως ἐνεβλήθη ἐν τῷ λάκκῳ τῶν λεόντων.

Μετὰ δὲ Δαρεῖον ἐβασίλευσε Κῦρος ὁ Πέρσης ἔτη λ΄. ὃς ἀνελὼν Δαρεῖον ἐκράτησε πάσης τῆς Χαλδαίων, καὶ Ασσυρίων, καὶ Περσῶν, καὶ Παλαιστίνης, καὶ πάσης τῆς Ασίας, μεθ᾽ ὧν τὴν Λυδῶν Βασιλείαν ὑπέταξεν, ἀνελὼν Κροῖσον, ὡς προείρηται. ἐφ᾽ οὗ Δανιὴλ ἐπιφανέστερος ὑπάρχων ἔτι καὶ τὸν Βὴλ συντρίψας, καὶ τὸν δράκοντα φονεύσας, τὰ Περσῶν σεβάσματα, ἐβλήθη ἐν τῷ λάκκῳ τῶν λεόντων, καὶ ἦν ἐκεῖ ἡμέρας ἕξ.

Μετὰ δὲ Κῦρον ἐβασίλευσε Καμβύσης ὁ υἱὸς αὐτοῦ, ὁ καὶ Ναβουχοδονόσορ ἐπικληθεὶς, ἔτη ιη΄ ἐφ᾽ οὗ καὶ Ιουδὶθ τῇ τοῦ Θεοῦ βοηθείᾳ, καὶ τῇ ἑαυτῆς σοφίᾳ ἀπατήσασα, καὶ ἀποκεφαλίσασα τὸν Ολοφέρνην, πορθοῦντα τὴν Βετυλίαν πόλιν, νίκην μεγάλην τοῖς υἱοῖς Ισραὴλ προεξένησε, καὶ ἐτελεύτησε χήρα ἐτῶν ρε΄.

Μετὰ δὲ Καμβύσην ἐβασίλευσε Σπέρδιος ὁ μάγος μῆνας ζ΄.

Μετὰ δὲ Σπέρδιον ἐβασίλευσε Δαρεῖος Υστάσπου, ἔτη κ΄. ἐφ᾽ οὗ πάλιν Ζοροβάβελ καὶ Ιησοῦς ἐπιτραπέντες ἐπλήρωσαν τὴν οἰκοδομὴν τοῦ ναοῦ. ὅτε ὁ Ζοροβάβελ ἐν προβλήματι νικήσας, καὶ ἐπιτραπεὶς αἰτήσασθαι ὃ βούλεται, ἠξίωσεν ἐλευθερῶσαι τὴν αἰχμαλωσίαν, καὶ οἰκοδομηθῆναι τὴν Ιερουσαλήμ. ὃ καὶ γέγονε. καὶ τότε πεπλήρωται εἰς τέλος τὰ τῆς αἰχμαλωσίας, καὶ τῆς ὀργῆς ἔτη . . . . ὁ δὲ γε Αρχιερεὺς, καὶ Γραμματεὺς Εσδρας τὸν διδάσκων τὸν νόμον τοῦ Θεοῦ, καὶ διερμηνεύων, ὡς εὐφυέστατος πάντων, ὃς καὶ τὰς ἱερὰς βίβλους ἀπεκατέστησε διαφθαρείσας ὑπὸ τῶν πολεμίων. οἱ γάρ τοι Χαλδαῖοι μετὰ τὴν ἅλωσιν τῆς Ιερουσαλὴμ ἐνέπρησαν πάσας. διὸ καὶ ἐνέπνευσεν ὁ Θεὸς τούτῳ, ὥστε αὐτὰς ἐκθέσθαι.

Μετὰ δὲ Δαρεῖον ἐβασίλευσεν Αρταβάνης, μῆνας ζ΄.

regnasset annos duos a Phacea occiditur.

Post Phacesiam regnavit Phaceas annos viginti, Deo exosus, mactatusque ab Osea.

Post Phaceam regnavit Osea annos novem, plenusque sceleris occubuit.

Post enarratos Assyriorum reges, ut proditum est, regnum ad Nabuchodonosorum est devolutum, qui Hierosolymorum annos 27. regnum occupavit. Hic propter superbiam divina ira ex hominum cœtu eiectus, cum sodalibus bellais fœnum epulabatur. Tandem Deo rerum omnium opifice cognito, rursus pristino imperio restitutus est, illustriorque effectus.

Post Nabuchodonosorum imperio præfuit Ulemarodachus filius annos 5.

Ulemarodacho successit Baltasar frater, trienniumque regnavit. Is vasis Numini sacris, quæ Hierosolymis Nabuchodonosorus pater asportaverat in convivio contaminatis, Numine succensente violenta morte occubuit, & regnum ad Darium translatum est.

Post Baltasarum Darius Medus, qui Astyages item, & Artaxerxes dicebatur, regnum administravit annos septemdecim. Sub hoc per Angelum visiones Danielo ostensæ sunt, tempusque Christi venturi indicatum. Hic quod magno esset in pretio apud regem, invidia Principum in foveam leonum projicitur.

Post Darium Cyrus Persa regnum tenuit annos triginta, qui Dario cæso universa Chaldæorum, Assyriorum, Persarum regione potitus, Palæstinam item, & totam Asiam Lydorum posthac dominatum, Crœso capto, ut jam diximus, sub ditione propria redegit. Ea tempestate Daniel dignitate, ac factis conspicuus Belo confracto, Draconeque interfecto Persarum sacrosanctis numinibus, in foveam leonum conjectus est, ubi septem dies permansit.

Edit. Paris. pag. 160.

Cyrum excipit Cambyzes filius, qui & Nabuchodonosur vocabatur, per annos octodecim. Ea tempestate Juditha divina ope, & prudentia propria Olopherne deluso, ejusque Betuliæ magnæ urbis excidium minitantis capite amputato, ingentis victoriæ Israelitis causa fuit: obiitque vidua ætatis annorum cv.

Cambysis regnum, eo defuncto, Sperdius Magus menses 7. occupavit.

Post Sperdium Darius Hystaspis filius regnum administravit annos viginti. Sub quo rursum Zorobabelus, & Jesus eaedificationis templi provinciam sibi commissam absolvunt. Quando Zorobabelus superior in exponendo problemate declaratur, eique pro libito quidquid esset concederetur: primum libertatem populi, deinde Hierosolymorum exstructionem expostulit, quod & exitum habuit. Et tunc anni septuaginta captivitatis, & iræ completi sunt. Interea summus Sacerdos, Scribaque Esdra, populum legibus divinis informabat, & pro sua ingenii dexteritate interpretabatur. Hic etiam libros sacros ab hostibus corruptos renovavit. Chaldæorum quippe manu, post Hierosolymorum excidium deflagrarunt. Quapropter Deus suo eum afflatu ita munivit, ut illos ederet, & publicaret.

Dario in regno succedit Artabanes per menses septem.

A Artabano Artaxerxes Longimanus per annos 41. Ea tempestate Sophocles, Heraclitus, Anaxagoras, Pythagoras, Thucydides, Eurypides, Herodotus, Empedocles, Diogenes, Zeno, Pherecydes, Aristarchus, Hippocrates, Parmenides, Plato, Aristoteles, Demosthenes, & Socrates florebant.

Post Artaxerxem Artaxerxes alius, & qui Artaxerxi successere regnum obtinent ad Darium usque, quem Alexander interemit. Hic cum regnum Persarum vastasset, universa terra subacta, Babylone occubuit; & eo fato functo administri, ut jam dictum est, imperium divisere; quorum Ptolemæus Lagi filius Ægypti regnum occupavit, & qui post eum subsecuti sunt Ptolemæi tredecim, usque ad Cleopatram Dionysii filiam. Universæ Asiæ imperium arripuit Antigonus: Syriæ, Babyloniæ, & Palæstinæ Seleucus Nicanor, qui duas apud Cilices, & tertium apud Syros urbes condidit, hanc quidem Seleuciam, illam Antiochiam, tertiam Laodiceam a suo, filii, filiæque nomine nuncupatam. Eo tempore Rhodii cum imperium maris obtinuissent, statuam æneam in ea urbe, sive insula Soli sacram erexerunt, quam ex magnitudine Colossum appellarunt, a qua ipsi postea Colossenses dicti sunt.

Edit. Paris. pag. 161.

Seleuco successit Antiochus filius, & alii quinque.

Deinde subsecutus est Antiochus Epiphanes, Seleuci Philopatoris filius, sub quo secundum Hierosolymorum excidium, & Maccabæorum res gestæ narrantur, templumque secundum Danielis vaticinium prophanatum. Hic nefariorum scelerum architectus vitam in aliena terra cum turpissima morte commutavit.

Antiochum excepit filius Eupator.

Posthac Julius Cæsar, qui genitus non est, res imperii administravit; nono etenim mense, ex quo uterum mater ferre cœperat, matris emortuæ utero secto extrahitur. Unde & Cæsar dictus, & ab eo Cæsares omnes Romanorum Imperatores, a cæsura sic dicta lingua Romana. Hic primus omnium & solus imperium Romanum tenuit, quod superbe admodum, arroganterque administravit, hinc Dictatori nomen illi fuit. Is severe, ac tyrannice Reipublicæ gubernaculis pertractatis per annos octodecim, in Senatu trucidatur. Romanis leges dedit, Bisectum instituit, mensem prius Quintilem dictum, Julium nominavit. Sub eo floruit Judas Galilæus, cujus in Actibus Apostolorum mentio fit, & Antipater Herodis pater rex Judææ creatur.

Post Julium Cæsarem imperium tenuit Augustus Cæsar Octavii filius, qui & Augustus appellatus est, annos quinquaginta sex. Ab hoc Romani Imperatores Sebasti, Augustique vocati sunt; & mensis Augustus, cui antea nomen Sextili. Anno quadragesimo secundo ejusdem imperii Dominus noster Jesus Christus nascitur. Anno vero illius quadragesimo primo ab orbe condito annus M M M M M D. completur cum Herodes rex Judææ eligitur. Porro Domino nostro Jesu Christo in carne nato, Herode item atrocissime vita functo, adimpletum est illud, *Non deficiet princeps ex Juda, donec veniat cui repositum est.* qui est Christus. Herodes vero liberos binomi-

A. Μετὰ δὲ Ἀρταβάνου ἐβασίλευσεν Ἀρταξέρξης ὁ μακρόχειρ ἔτη μά. ἐφ' οὗ Σοφοκλῆς, Ἡράκλειτος, καὶ Ἀναξαγόρας, καὶ Πυθαγόρας, καὶ Θουκυδίδης, καὶ Εὐριπίδης, καὶ Ἡρόδοτος, καὶ Ἐμπεδοκλῆς, καὶ Διογένης, καὶ Ζήνων, Φερεκύδης τε, καὶ Ἀρίσταρχος, καὶ Ἱπποκράτης, Παρμενίδης, Πλάτων, καὶ Ἀριστοτέλης, καὶ Δημοσθένης, καὶ Σωκράτης ἐγνωρίζοντο.

Μετὰ δὲ Ἀρταξέρξην ἐβασίλευσεν Ἀρταξέρξης ἄλλος, καὶ οἱ καθεξῆς ἕως Δαρείου, ὃν ἀνεῖλεν Ἀλέξανδρος, οὗ τὴν Περσῶν βασιλείαν καταλύσαντος, καὶ πάσης τῆς γῆς κρατήσαντος ἐν Βαβυλῶνί τε τελευτήσαντος, διεῖλον τὴν βασιλείαν, ὡς πρόσθεν εἴρηται, οἱ παῖδες αὐτοῦ ὑπο. τῆς μὲν Αἰγύπτου Πτολεμαῖος ἐβασίλευσεν

B ὁ Λάγου, καὶ οἱ καθ' ἑξῆς Πτολεμαῖοι ιγ'. ἕως Κλεοπάτρας θυγατρὸς Διονυσίου. τῆς δὲ Ἀσίας πάσης Ἀντίγονος, τῆς δὲ Συρίας, καὶ Βαβυλωνίας, καὶ Παλαιστίνης Σέλευκος ὁ Νικάνωρ, ὃς καὶ πόλεις δύο κτίσας ἐν τοῖς μέρεσι Κιλικίας, καὶ ἄλλην ἐν Συρίᾳ, τὴν μὲν Σελεύκειαν ἐκάλεσε, τὴν δὲ Ἀντιόχειαν, τὴν δὲ Λαοδίκειαν εἰς τὸ ἑαυτοῦ ὄνομα, καὶ τοῦ υἱοῦ, καὶ τῆς θυγατρὸς Λαοδίκης. ἐφ' οὗ Ῥόδιοι θαλασσοκρατήσαντες ἀνέστησαν ἐν τῇ πόλει, ἤγουν τῇ ἑαυτῶν νήσῳ, χαλκοῦν ἀνδριάντα τοῦ ἡλίου, ὃν διὰ τὸ μέγεθος ἐκάλεσαν Κολοσσόν, καὶ αὐτοὶ Κολοσσαεῖς ὠνομάσθησαν.

Μετὰ δὲ Σέλευκον ἐβασίλευσεν Ἀντίοχος υἱὸς αὐτοῦ, καὶ ἄλλοι ε'.

C Εἶτα ἐβασίλευσεν Ἀντίοχος ὁ Ἐπιφανής, υἱὸς Σελεύκου τοῦ Φιλοπάτορος, ἐφ' οὗ γέγονεν ἡ δευτέρα ἅλωσις τῆς Ἱερουσαλήμ, καὶ τὰ κατὰ τῶν Μακκαβαίων ἐπράχθη, καὶ τὸ ἱερὸν ἐμολύνθη κατὰ τὴν τοῦ Δανιὴλ πρόρρησιν, ὃς καὶ δι' ἃ ἔπραξε πολλὰ κακὰ αἰσχίστῳ μόρῳ τὸν βίον ἐπὶ ξένης κατέστρεψεν.

Μετὰ δὲ Ἀντίοχον ἐβασίλευσεν, ὁ υἱὸς αὐτοῦ ὁ Εὐπάτωρ.

Μετὰ δὲ ταῦτα ἐβασίλευσεν Ἰούλιος Καῖσαρ, ὁ μὴ γεννηθείς· τῆς γὰρ μητρὸς αὐτοῦ θανούσης ἐν τῷ ἐννάτῳ μηνὶ, ταύτην ἀνατεμόντες ἐξέβαλον αὐτόν. ὅθεν καὶ Καῖσαρ λέγεται, ἀφ' οὗ Καίσαρες οἱ Ῥωμαίων προσηγορεύθησαν βασιλεῖς, ὅ ἐστιν ἀνατομὴ κατὰ τὴν Ῥωμαίων

D γλῶτταν. ὃς πρῶτος καὶ μόνος ἐκράτησε τῶν Ῥωμαϊκῶν σκήπτρων μετὰ πολλῆς ὑπερηφανίας, ὅθεν καὶ Δικτάτωρ ἐκαλεῖτο, ὅ ἐστι μονάρχης. πάντων δὲ κρατήσας ἐν ἰταμότητι, καὶ τυραννίδι ἐπὶ ἔτη ιή. ἀνῃρέθη ἐπὶ Συγκλήτου. ὃς νόμους Ῥωμαίοις ἔδωκε, καὶ τὸ Βίσεκτον ἐφεῦρε, καὶ τὸν μῆνα Ἰούλιον μετωνόμασε, πρότερον Κυντίλιον καλούμενον. ἐφ' οὗ ἦν καὶ Ἰούδας ὁ Γαλιλαῖος, ὁ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων μνημονευόμενος, καὶ Ἀντίπατρος ὁ Ἡρώδου πατὴρ, βασιλεὺς τῆς Ἰουδαίας κατέστη.

Μετὰ δὲ Ἰούλιον Καίσαρα ἐβασίλευσεν Αὔγουστος Καῖσαρ Ὀκταβίου υἱὸς, ὃς καὶ Σεβαστὸς ἔτη νς'. ἀφ' οὗ Σεβαστοὶ καὶ Αὔγουστοι προσηγορεύθησαν οἱ Ῥωμαίων βασιλεῖς, καὶ ὁ μὴν Αὔγουστος ἐκλήθη, πρότερον Σεξτίλιος

E ὀνομαζόμενος. ἐν τῷ μβ'. ἔτει τῆς αὐτοῦ βασιλείας ἐγεννήθη ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. ἐν δὲ τῷ μά. ἔτει τῆς βασιλείας αὐτοῦ ἀπὸ κτίσεως κόσμου ἔτη εφ'. καὶ Ἡρώδης ἐξ ἐθνῶν ἤδη βασιλεὺς τῆς Ἰουδαίας ἀναγορεύεται. τοῦ δὲ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ σάρκα γεννηθέντος, καὶ τοῦ Ἡρώδου κακῶς τὸν βίον μεταλλάξαντος, πεπλήρωται τὸ, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται, ὅς ἐστιν ὁ Χριστός. ὁ δέγε Ἡρώδης ἔσχεν αὐτῷ

υἱοὺς ὁμωνύμους καὶ διωνύμους τρεῖς. Ἡρώδην Ἀντίπαν, τὸν καὶ τὸν Πρόδρομον ἀποτεμόντα. ἐφ' οὗ καὶ ὁ Κύριος ἐσταυρώθη, Ἡρώδην Φίλιππον, ᾧ πρώτῳ Ἡρωδιὰς συναφθεῖσα, ἔτεκε θυγατέρα Σαλώμην τὴν ὀρχησαμένην, καὶ Ἡρώδην Ἀντίπατρον, τὸν καὶ Ἰάκωβον ἀνελόντα τοῦ Ζεβεδαίου, ὃς ἐν τῷ δημηγορεῖν τοῦ δήμου φωνοῦντος, φωνὴ Θεοῦ, καὶ οὐκ ἀνθρώπου, δίκην δέδωκεν αὐτίκα. Ἄγγελος γὰρ Κυρίου εὐθὺς τοῦτον ἀθρόως ἐπάταξεν, καὶ ὡς ἀνεπήδησε τῆς καθέδρας ἐν τῷ δεινῶς τὴν γαστέρα αὐτοῦ σπαράττεσθαι. τὸν δέγε θεῖον Ἰάκωβον ἰδὼν ἀπαγόμενον τὸν ἐπὶ θάνατον ἰδὼν ὁ κατήγορος αὐτοῦ, καὶ μεταμεληθεὶς προσέπεσε τοῖς ποσὶ τοῦ ἀποστόλου λέγων, συγχώρησόν μοι, ἄνθρωπε τοῦ Θεοῦ, ὅτι μεταμεμέλημαι, ἐφ' οἷς ἐλάλησα κατὰ σοῦ. ὁ δὲ μακάριος τοῦτον καταφιλήσας, εἶπεν αὐτῷ, εἰρήνη σοι τέκνον, εἰρήνη σοι, καὶ συγχώρησις τοῦ πταίσματος. ὁ δὲ μετὰ φωνῆς μεγάλης εὐθέως Χριστιανὸν ἑαυτὸν ἐπὶ πάντων ἀναγόρευσε. καὶ οὕτως συγκαταριθμηθεὶς τῷ ὑπ' αὐτοῦ κατηγορηθέντι σὺν αὐτῷ καὶ τὸ βραβεῖον τῆς μαρτυρίας ἀπηνέγκατο. ὁ δέ γε ἄθλιος Ἡρώδης ἐπὶ ἡμέρας φθειρόμενος, καὶ σκώληκας ἐκβράζων ἐλεεινῶς τὸν βίον κατέλυσεν, ὥσπερ καὶ ὁ δυσσεβέστερος αὐτοῦ πατήρ.

Μετὰ δὲ Αὔγουστον ἐβασίλευσε Τιβέριος υἱὸς αὐτοῦ ἔτη κγ'. ὃς κτίσας πόλιν ἐν τῇ Ἰουδαίᾳ ἐκάλεσεν αὐτὴν εἰς τὸ ἴδιον ὄνομα Τιβεριάδα. ἐν τῷ ιε'. ἔτει τῆς βασιλείας ὁ Κύριος ἡμῶν βαπτισθεὶς τοῦ εὐαγγελικοῦ κηρύγματος ἀπήρξατο. ἐν δὲ τῷ ιη'. σταυρωθεὶς ἀνέστη τῇ κε'. τοῦ Φαμενὼθ μηνός, ἤτοι Μαρτίου, τοῦ πρωτοκτίστου μηνὸς Νισὰν παρ' Ἑβραίοις λεγομένου, ἐπιφωσκούσης κυριακῆς. διότι δὲ ὀγδόη ἡ τοῦ Κυρίου ἀνάστασις ἐπωνόμασται; ἐπειδὰ ἑπτάκις νεκρῶν ἀνάστασιν εὕρομεν ἐν τῇ θείᾳ γραφῇ καὶ μετὰ τὰς ζ'. ὄγδοος ἐκ νεκρῶν ἀνέστη ὁ Κύριος. πρὸ γὰρ τῆς Χριστοῦ ἀναστάσεως ἐν τῇ παλαιᾷ πρώτη γέγονεν ἡ τοῦ υἱοῦ τῆς χήρας, ὃν Ἠλίας ἐν Σαρέφθοις ἀνέστησεν. β'. ἡ τοῦ υἱοῦ τῆς Σωμανίτιδος, ὃν Ἐλισσαῖος ἤγειρεν. γ'. ἡ τοῦ στρατιώτου, ὃς ἐγγὺς Ἐλισσαίου ταφεὶς καὶ τοῖς ὀστέοις τοῦ προφήτου πλησιάσας, ὡς ἀπὸ πυρὸς ἐξεπήδησεν. δ'. ἐν τῇ καινῇ ἡ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου. ε'. ἡ τοῦ υἱοῦ τῆς χήρας. ς'. ἡ τοῦ Λαζάρου. ζ'. ὅτε πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη. η'. δὲ ἡ τοῦ Κυρίου ἀνάστασις μετὰ τὸ σωτήριον πάθος. οὗτος φροντίζων τοῦ δικαίου ἔγραφεν ἀεὶ ταῖς ὑπ' αὐτὸν πόλεσι λέγων, ἐάν τι γράψω παρὰ τοὺς νόμους προστάσσων γίνεσθαι, τούτῳ μὴ προσέχετε. ἀγνόημα γάρ. ἀλλ' ὕστερον, φεῦ, αἰφνίδιον εἰς τὴν χείρονα μεταβληθεὶς γνώμην, πρὸς πᾶσαν ἀνοσιουργίαν, μιαιφονίαν τε, καὶ αἰσχρολασίαν ἐτράπη, καὶ οὕτω τὸν βίον κατέστρεψεν.

Μετὰ δὲ Τιβέριον ἐβασίλευσε Γάϊος, υἱὸς αὐτοῦ ἔτη δ'. ὃς πρῶτον μὲν μεγαλοφρόνως διεῖπε τὰ τῆς βασιλείας πράγματα, καὶ τοῖς ὑπηκόοις καθηκόντως ἐκέχρητο. ὕστερον δὲ μετὰ δύο χρόνους ἐκστὰς τῆς ἀνθρωπίνης φρονήσεως κατὰ μίμησιν τοῦ πατρός, ἑαυτὸν ἀπεθέωσε, καὶ ἀνδριάντας ἑαυτοῦ κατὰ πόλιν ἐν τοῖς ναοῖς ἔστησεν. ὃν οἱ στρατιῶται ἐν βαλανείῳ λουόμενον διεχειρίσαντο, μὴ φέροντες ὁρᾶν τὰ ὑπὸ αὐτοῦ πανουργίστως πραττόμενα. ἐφ' οὗ Θευδᾶς ὁ ἐν ταῖς πράξεσι μνημονευόμενος, τὸν Ἰορδάνην τεμεῖν ἐπαγγειλάμενος καὶ διαμαρτήσας ἀνῃρέθη. καὶ ὁ πύργος τοῦ Σιλωὰμ ἔπεσεν ἐπὶ τοὺς ιη'. ἄνδρας.

A nes, sibique cognomines tres suscepit, Herodem Antipam, qui præcursoris caput abscidit, & sub quo Dominus cruci affixus est, Herodem Philippum, cui primam Herodias nupta Salomen saltatricem generat, & Herodem Antipatrum Jacobi Zebedæi parricidam, qui, cum inter concionandum inclamasset populus *Vox Dei & non hominis*, repente pœnas dedit. Angelus quippe Domini confestim eum percussit: hinc cruciatum doloribus in ventre convulsus e solio sese telit. Divinum veto Jacobum, cum ejus accusator ad mortem duci vidisset, pœnitentia ductus in pedes Apostoli procubuit dicens, *Condona mihi, vir Dei, jam me pœnitet facinoris adversus te perpetrati.* At Beatus illum exosculatus dixit, *Pax* B *tibi, fili, pax tibi sit, & erroris venia.* Ille distenta voce palam omnibus se fidem Christi sequi professus una cum eo, quem ipse prius in judicium vocarat, martyrii coronam consequitur. Miser autem Herodes fœda vermium tabe per plurimos dies confectus, quemadmodum pater ejus eo improbior, ac perversior, vitam finit.

Edit. Paris. pag. 162.

Post Augustum Tibetius ejus filius imperium tenuit annos viginti tres. Is urbem in Judæa prope lacum conditam a suo nomine Tiberiadem appellavit. Imperii ejus anno decimo quinto Dominus noster baptizatus, Evangelicæ prædicationis initia posuit, & decimo octavo Phamenothi, sive Martii, primi conditi C mensis, qui Nisanus Hebræis est, vigesimo quinto die Dominico illucescente, cruci affixus resurrexit a mortuis. Sed quanam ratione septima Domini resurrectio nuncupatur? Septem scilicet in divinis litteris mortuorum resurrectiones deprehendimus, deinceps octavus a mortuis Dominus resurgit. Nam ante Christi resurrectionem in veteri Testamento viduæ filii excitatio commemoratur, quem Helias Saraphthis excitavit: secunda filii Sunamitidis Elisæi beneficio: tertia militis juxta corpus Elisæi sepulti, qui ubi Prophetæ reliquias tetigisset, statim velut ab igne exiliit: quarta in novo filiæ Archisynagogi: quinta filii viduæ: sexta Lazari: septima cum multa D Sanctorum corpora surrexerunt: octava post salutarem passionem Domini resurrectio. Tiberius vero justi nimis tenax subjectis civitatibus scripto inculcabat, *Si quid extra scripsero præceperove, ut faciatis, huic nequaquam animum advertatis, inscio quippe excidit.* Sed tandem, væ illi misero, repente descivit ad vitia, in omnia scelerum, cædium, & libidinum effrænatarum genera impulsus. Sicque vitæ finem posuit.

Post Tibetium Cajus filius annos quatuor imperium tenuit. Hic primum quidem munifice admodum imperii clavum moderatus est, subditis etiam moderate, & ut par erat usus. Deinceps post biennium, ut patri acciderat, tantus furor, ac stupor eum invasit, ut se in Deorum E numerum referret, statuasque sibi per singulas civitates in templis erigeret. Eum milites in balneo, quo lavatum abierat, obtruncarunt; cum æquis oculis atrocia illius, profligatissimaque facta contueri non possent. Sub eo Theudas, cujus mentio est in Actibus Apostolorum, cum se divisurum Jordanem jactasset, nec exitus verbis accederet, interfectus est. Tunc & Siloami turris sua ruina octodecim

pag. 163.

viros oppressit. Stephanus Protomartyr martyrio vitam posuit. Paulus Christianam religionem amplexus est. Philo, & Josephus Hebræi scientia celebres floruere.

Cajo successit Claudius, tenuitque imperium annos tredecim. Ejus imperio Marcus Evangelista primus apud Ægyptios Ecclesias erexit, pleraque item monasteria fundavit, quæ *σεμνεῖα*, sive *Venerabilia* dicta sunt: sacrosanctum item Evangelium scriptis mandavit, & in ipsa Alexandria primum Ecclesiæ fundamenta jecit.

Claudio mortuo in Neronem imperium devolutum est. Præfuit annos 14. Id temporis Simon Magus multis prodigiis, ac portentis artis magicæ vi, necnon præstigiis, fallaciisque editis, Dei nomen sibi vindicaverat. Hic aliquando meridie in Theatrum progressus sese per aerem volaturum promisit, dum volatum intendit, Petrus precibus effusis, defixisque oculis in eum, *Simon*, ait, *si Apostolus Jesu Christi ego sum, & non impostor, quemadmodum tu Simon es, pravis dæmonibus impero, uti missum te faciant, nec ultra teneant.* Vix hæc dixerat Petrus, & ille cum ingenti strepitu in terram delatus, confractis membris interiit. Simonis cædem ubi rescivit Nero a Petro patratam, ægre ferens contumeliam, in crucem agi Petrum jussit. Petrus Præfectum deprecatus ne rectus cruci affigeretur, obtinuit; illius quippe jussu, ut ipse pro sua humilitate optaverat, cruci datus est. Post Petrum Paulus gladio martyrii coronam accepit. Nero autem cum illi protraheretur imperium, in nefaria ac detestanda scelera, infamesque cædes prolapsus est, adeo ut immani furore percitus, efferatusque in suburbio manus sibi intulerit. Sic quoque Pilatus variis calamitatibus victus manus sibi conscivit.

Post Neronem Galbas imperium administravit menses septem.

Post Galbam Lucibius, menses tres.

Post Lucibium Vitellius menses duos. Et a multitudine in medio Romæ trucidatus est.

Edit. Paris. pag. 164. Post Vitellium Vespasianus Neronis filius, annos novem.

Post Vespasianum Titus filius annos tres. Hic cum æstate solibus calidissima per diem integrum iter continuasset, radiis Solis exustus, sanguinisque e naribus eruptione animi deliquium passus est, & adhuc animam agens a Domitiano fratre suasione uxoris Titi in sepulchrum conjicitur, sicque animam efflavit, optima vitæ ratione inita, continentia, & justitia celebris, omnibus desiderabilis. Illius morte tantus dolor Romanam urbem occupavit, ut publice, & privatim quilibet afflictaretur, & ingemisceret.

Domitianus frater, eo interempto, imperio annos quindecim potitus est: tandem in templo Romæ insidiis uxoris interficitur. Hic fraterni imperii hæres, neque patris neque fratris optimæ vitæ institutum sectatus, sed Tiberiana, Neronianaque flagitia æmulatus, scelerum omni genere, cædibus item, & in mares & fœminas libidinibus contaminatissimus, divinos sibi honores arrogavit: ideoque omnibus detestabilis, exosusque probrosissimo mortis genere abominabilem, nefandamque vitam abjecit. Ea tempestate Timotheus Apostolus, & Onesimus

ϗ Στέφανος ὁ πρωτομάρτυς ἐμαρτύρησε, ϗ Παῦλος ἐπίστευσε, ϗ Φίλων, ϗ Ἰώσηπος, οἱ ἐξ Ἑβραίων σοφοὶ ἐγνωρίζοντο.

Μετὰ δὲ Γάϊον ἐβασίλευσε Κλαύδιος ἔτη ιγ΄. ἐφ᾽ οὗ ϗ Μάρκος ὁ Εὐαγγελιστὴς ἐν Αἰγύπτῳ πρῶτος Ἐκκλησίας πηξάμενος πολλὰ μοναστήρια συνεστήσατο, ἅπερ σεμνεῖα τότε προσαγορεύθησαν, καὶ τὸ Ἅγιον Εὐαγγέλιον συνεγράψατο, ϗ ἐπ᾽ αὐτῆς Ἀλεξανδρείας Ἐκκλησίαν πρῶτον συνεστήσατο.

Μετὰ δὲ Κλαύδιον ἐβασίλευσε Νέρων ὁ υἱὸς αὐτοῦ ἔτη ιδ΄. ἐφ᾽ οὗ Σίμων ὁ μάγος διὰ γοητείας ἐν Ῥώμῃ πολλὰ σημεῖα ϗ φαντασίας ἐπιτελῶν, ϗ ἑαυτὸν Θεὸν ὀνομάζων, ϗ ποτὲ μεσούσης ἡμέρας προελθὼν εἰς τὸ θέατρον ἐπηγγείλατο δι᾽ ἀέρος ἀναπτῆναι. οὗ γενομένου, προσευξάμενος ὁ Πέτρος ϗ ἀτενίσας, εἶπε τῷ Σίμωνι. εἰ Ἀπόστολος Ἰησοῦ Χριστοῦ εἰμὶ ἐγὼ, ϗ οὐχὶ πλάνος, ὥσπερ σὺ Σίμων, προστάσσω ταῖς πονηραῖς δυνάμεσιν ἀφεῖναι σε τῆς κρατήσεως. ϗ ταῦτα εἰπόντος τοῦ Ἀποστόλου, παραχρῆμα κατηνέχθη μετὰ ἤχου πολλοῦ, ϗ συνετρίβη. ὁ δὲ Νέρων ἀκούσας ὅτι πεφόνευται Σίμων ὑπὸ Πέτρου, ϗ ἀγανακτήσας ἐκέλευσεν αὐτὸν σταυρωθῆναι. ὁ δὲ παρακαλέσας τὸν ἔπαρχον, ἵνα μὴ ὄρθιος σταυρωθῇ, κατὰ κέλευσιν ἐσταυρώθη, καθὼς ἠξίωσεν, ἐκ πολλῆς μετριοφροσύνης. μετὰ δὲ τοῦτον ϗ Παῦλος τὸν διὰ ξίφους τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. Ὁ δέ γε Νέρων, κρατυνομένης αὐτῷ τῆς ἀρχῆς, εἰς ἀνοσίας πράξεις, ϗ μιαιφονίας, ϗ θεομαχίας ἐξώκειλε, ϗ οὕτως ἐκ τῆς ἄγαν μανίας ἀπονοηθεὶς εἰς προάστειον ἐξελθὼν ἑαυτὸν διεχειρίσατο. ὡσαύτως δὲ καὶ Πιλάτος ποικίλαις περιπεσὼν συμφοραῖς, ἑαυτὸν ἀνεῖλε.

Μετὰ δὲ Νέρωνα ἐβασίλευσε Γάλβας, μῆνας ζ΄.

Μετὰ δὲ Γάλβαν ἐβασίλευσε Λουκίβιος μῆνας γ΄.

Μετὰ δὲ Λουκίβιον ἐβασίλευσεν Οὐϊτέλλιος μῆνας β΄. καὶ ἐσφάγη μέσον τῆς Ῥώμης ὑπὸ τοῦ δήμου.

Μετὰ δὲ Οὐϊτέλλιον ἐβασίλευσεν Οὐεσπασιανὸς υἱὸς Νέρωνος ἔτη θ΄.

Μετὰ δὲ Οὐεσπασιανὸν ἐβασίλευσε Τῖτος υἱὸς αὐτοῦ ἔτη γ΄. καὶ ὥρᾳ θερινῇ πανημέριον ὁδοιπορήσας, καὶ αἱμορραγήσας διὰ τῶν μυκτήρων ὑπὸ τοῦ ἡλίου συμφλεχθεὶς, ϗ πάνυ λειποθυμήσας, ἔτι ἐμπνέων ἐνεβλήθη εἰς τὸν τάφον παρὰ Δομετιανοῦ τοῦ ἀδελφοῦ αὐτοῦ κατ᾽ ἐπιτροπὴν τῆς γυναικὸς τούτου. καὶ οὕτως ἐτελεύτησε, πάσῃ ἀγαθουργίᾳ ϗ σωφροσύνῃ κεκοσμημένος, πένθος πολὺ τοῖς ἐν Ῥώμῃ καταλείψας, ὡς κατ᾽ οἴκους καὶ δημοσίᾳ πάντας κλαίειν, καὶ ἀποδύρεσθαι.

Μετὰ δὲ Τῖτον ἐβασίλευσε Δομετιανὸς ὁ ἀδελφὸς αὐτοῦ ἔτη ιε΄. καὶ ἐσφάγη ἐν τῷ ναῷ Ῥώμης κατ᾽ ἐπιβουλὴν τῆς αὐτοῦ γυναικός. Διάδοχος γὰρ τοῦ ἀδελφοῦ γενόμενος οὐ τὴν πατρικήν τε καὶ ἀδελφικὴν ἐζήλωσεν ἀρίστην πολιτείαν, ἀλλὰ τὴν Τιβερίου, καὶ Νέρωνος ἀνοσιουργίαν. πᾶν γὰρ εἶδος κακίας, καὶ γυναικομανίας, καὶ ἀνδρομανίας ἐπελθὼν, καὶ τελευταῖον ἑαυτὸν ἀποθεώσας καὶ ἔχθιστον ἑαυτὸν ἅπασιν ἀποφήνας, αἰσχίστῳ μόρῳ τὸν μιαρὸν καὶ βέβηλον καταστρέφει βίον. ἐφ᾽ οὗ Τιμόθεος ὁ ἀπόστολος, καὶ Ὀνήσιμος ἐμαρτύρησαν.

ρηται. καὶ ὁ Θεολόγος Ἰωάννης καὶ Εὐαγγελιστὴς ἐν Πάτμῳ τῇ νήσῳ ἐξωρίσθη. καὶ Ἀπολλώνιος ὁ Τυανεὺς ἐγνωρίζετο.

Μετὰ δὲ Δομετιανὸν ἐβασίλευσε Νερούας, ἔτος ἕν, ὃς ἀνακαλεσάμενος Ἰωάννην ἐκ τῆς νήσου ἀπέλυσεν οἰκεῖν ἐν Ἐφέσῳ μόνον τότε ἐκ τῶν ιβʹ. μαθητῶν, περιόντα τοῦ βίου. ὃς καὶ συγγραψάμενος τὸ κατ᾽ αὐτὸν Εὐαγγέλιον, ἐν εἰρήνῃ ἀνεπαύσατο. καὶ Φίλιππος ὁ ἐκ τῶν ζ. διακόνων ἐν Ἱεραπόλει τελευτᾷ, καὶ θάπτεται μετὰ τῶν θυγατέρων αὐτοῦ.

Μετὰ δὲ Νερούαν ἐβασίλευσε Τραϊανὸς ἔτη θʹ. καὶ ὑδεριάσας ἀπέθανεν. ὃς τοσοῦτον ὑπῆρχεν ἀγαθὸς, μισοπόνηρός τε καὶ φιλοδίκαιος, ὥστε γυμνώσας ποτὲ ῥομφαίαν ἐνώπιον τῶν μεγιστάνων δεδωκέναι τῷ ἐπάρχῳ, καὶ εἰπεῖν. δέξαι τὸ ξίφος τοῦτο, καὶ εἰ μὲν καλῶς ἄρχω ὑπὲρ ἐμοῦ, εἰ δὲ μὴ, κατ᾽ ἐμοῦ χρῆσαι αὐτῷ. μὴ ἔχων δὲ παῖδας κληρονόμους τῆς βασιλείας ἔμελλεν ἐξ ὑποβολῆς τινῶν ἐᾶσαι τὴν σύζυγον αὐτοῦ, καὶ λαβεῖν ἑτέραν πρὸς τὸ παιδοποιῆσαι. ἡ δὲ σώφρων οὖσα συνεβούλευσεν αὐτῷ, ὡς εἴπερ βούλεται μνημονεύεσθαι ὑπὸ πάντων ἐν πάσαις γενεαῖς πλακῶσαι διὰ μαρμάρων τὰς εἰσοδοεξόδους πασῶν τῶν μεγαλοπόλεων, ὃ δὴ καὶ πεποίηκεν. ἐφ᾽ οὗ καὶ Συμεὼν ὁ τοῦ Κλωπᾶ, καὶ Ἰγνάτιος ὁ Θεοφόρος ἐμαρτύρησαν. καὶ Βασιλίδης, καὶ Κήρινθος, καὶ Νικόλαος, καὶ Ἐβιωναῖος, οἱ αἱρεσιάρχαι καὶ ἐχθροὶ τῆς ἀληθείας ἐγνωρίζοντο.

Μετὰ δὲ Τραϊανὸν ἐβασίλευσεν Ἀδριανὸς, ὁ καὶ Αἴλιος, ἔτη κδʹ. καὶ ὑδεριάσας ἀπέθανεν. ὃς ναὸν ἐν Κυζίκῳ κτίσας, καὶ πόλιν ἐν τῇ Θρᾴκῃ Ἀδριανούπολιν αὐτὴν προσηγόρευσεν. ἐφ᾽ οὗ Κέρδων καὶ Οὐαλεντῖνος, καὶ Μαρκίων, καὶ Μοντανὸς, καὶ Σατορνῖνος, καὶ Καρποκράτης οἱ αἱρεσιάρχαι, καὶ Ἀκύλας ἐγνωρίζοντο.

Μετὰ δὲ Ἀδριανὸν ἐβασίλευσεν Ἀντωνῖνος ἔτη κβʹ. ἐφ᾽ οὗ Πολύκαρπος ὁ μαθητὴς Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, καὶ Ἰουστῖνος ὁ φιλόσοφος, καὶ Διονύσιος Ἐπίσκοπος Κορίνθου ἐμαρτύρησαν, καὶ Τατιανὸς, καὶ Βαρδησάνης οἱ αἱρεσιάρχαι, καὶ Πρίσκιλλα, καὶ Μαξιμίλλα αἱ ψευδοπροφήτιδες τῶν κατὰ Φρύγας, ἐγνωρίζοντο.

Μετὰ δὲ Ἀντωνῖνον ἐβασίλευσε Μάρκος υἱὸς αὐτοῦ ἔτη ιαʹ. ἐφ᾽ οὗ πῦρ ἐκ τοῦ οὐρανοῦ ἀπὸ δυσμῶν ἐπ᾽ ἀνατολὰς φερόμενον ὤφθη.

Μετὰ δὲ Μάρκον ἐβασίλευσε Σεβῆρος υἱὸς αὐτοῦ ἔτη ηʹ. καὶ ἐσφάγη ἐν Προικοννήσῳ.

Μετὰ δὲ Σεβῆρον ἐβασίλευσε Κόμοδος ὁ ἀδελφὸς αὐτοῦ ἔτη ιβʹ. καὶ ὑπὸ ἀναγωγῆς αἵματος καὶ χολῆς ἀθρόον ἀπέθανεν. ἐφ᾽ οὗ καὶ Θεόδοτος, ὁ καὶ πρῶτος τὰ κατὰ Παῦλον τὸν Σαμοσατέα, καὶ Νεστόριον πλάνης ἀρξάμενος, καὶ Θεοδοτίων ἐγνωρίζοντο.

Μετὰ δὲ Κόμοδον ἐβασίλευσε Περτίναξ μῆνας βʹ. καὶ ἐσφάγη ὑπὸ τῶν στρατιωτῶν.

Μετὰ δὲ Περτίνακα ἐβασίλευσε Δίδιος μῆνας δʹ. ὃς καὶ Ἰουλιανὸς λέγεται, καὶ ἐσφάγη ὑπὸ τοῦ κουβικουλαρίου εἰς τὴν πηγὴν τοῦ παλατίου θεωρῶν τοὺς ἰχθύας.

Μετὰ δὲ Δίδιον ἐβασίλευσε Σεβῆρος ἔτη ιηʹ. ἐφ᾽ οὗ Λεωνίδης ὁ Ἐπίσκοπος, καὶ πατὴρ Ὠριγένους ἐμαρτύρησε. καὶ Κλήμης ὁ Στρωματεὺς, καὶ Σύμμαχος, καὶ Ὠριγένης ἐγνωρίζοντο.

A pro religione Christiana extinguuntur. Joannes cognomento Theologus, & Evangelista in Patmon insulam relegatur. Apollonius item Tyaneus vigebat.

Nerva post Domitianum imperavit annum unum. Is ea insula Patmo ab exilio revocatum Joannem Ephesi liberum dimisit, qui tunc solus e duodecim Christi Discipulis supererat, & Evangelio conscripto diem obiit extremum. Philippus item e septem Diaconis unus apud Hieropolim moritur, & cum filiabus tumulatur.

Trajanus post Nervam imperium administravit annos novem, & hydrope extinctus est; tantumque in eo in improbos quosque odium, & justitiæ studium erat, ut aliquando in Procerum conspe- B ctu gladium ipse nudum Præfecto prætorio daret, uteretur que his verbis: *Accipito gladium hunc, si recte Rempublicam administravero, pro me; sin minus, contra me utitor*. Cum successoris copia non esset, nonnullorum impulsu conjugem erat dimissurus, aliamque sibi collocaturus, ut filios procrearet. Conjux prudens, & casta suasit, si memoriam sui vellet apud omnes sempiternam conservari, ut omnes omnium magnarum urbium exitus, atque introitus marmoribus insculperet; idque opere præstitit. Sub eo Symeon Clopæ filius, & Ignatius cognomento Theophorus martyrio vitam posuere. Basilides, Cerinthus, Nicolaus, Ebionæus hæresiarchæ, & veritatis hostes *Edit. Paris. pag 165.* C vivebant.

Trajano in imperio successit Adrianus, qui & Ælius, imperavitque annos viginti quatuor. Aqua intercute extinctus est. Templum Cyzici extruxit, & urbem in Thracia Adrianopolim. Sub eo Cerdo, Valentinus, Marcio, Montanus, Satorninus, Carpocrates, hæresiarchæ, & Aquila vivebat.

Extincto Adriano ad Antoninum imperium devolutum est, quod rexit annos viginti duos. Ejus imperio Polycarpus Joannis Evangelistæ discipulus, Justinus Philosophus, & Dionysius Episcopus Corinthi mortem pro Christo obiere. Tunc quoque Tatianus, & Bardesanes hæresiarchæ, & Priscilla, & Maximilla ex D Cataphrygarum secta fatidicæ celebres habebantur.

Antonino successit Marcus filius: imperium tenuit annos undecim. Sub eo ignis de cælo ab occasu ad ortum longe, lateque vagari visus est.

Post Marcum imperium administravit Severus filius annos octo. Et in Proeconesso mactatus interiit.

Post Severum regnat Commodus frater annos duodecim. hic sanguinis bilisque excretione repentine occidit. Sub id temporis Theodotus, qui primus Pauli Samosateni, & Nestorii erroribus semina dedit, & Theodotio cognoscebantur.

Post Commodum Pertinax menses duos imperavit: a militibus ad mortem datus E est.

Post Pertinacem imperium procurat Didius, qui & Julianus menses quatuor. a Cubiculario, dum sese in Palatino fonte piscium obtutu recreat, cæditur.

Post Didium imperium obtinet Severus annos octodecim. Ea tempestate Leonides Episcopus, & pater Origenis, vitam suam per martyrium posuit. Clemens Stromateus, Symmachus, Origenes item florebant.

Post Severum Antoninus, & Geta ejus frater imperium tenent menses duos. Præterea Antoninus frater Geta mactato solus imperium administrat annos sex. a propriis jugulatur.

Post Antoninum Antoninus Caracallus imperio præfuit annos viginti sex. in prælio occiditur. Sub eo Galenus Medicus innotuit.

Antonino succedit Macrinus, regnatque annos 4. ab Antonino sublatus est.

Post Macrinum imperium tenuit Antoninus Galba. interimitur ab Alexandro.

Post Antoninum imperavit Alexander Mamææ filius annos tredecim, & insidiis Maximini Ducis circumventus cum Mamæa matre violenta morte occubuit. Sub eo Narcissus Hierosolymorum Episcopus cum inter baptizandum oleum unctionis defecisset, jussit ut aqua in vas infunderetur, quam precibus in oleum commutavit.

Edit. Paris. pag. 166.

Post Alexandrum imperat Maximinus annos tres. a suis militibus obtruncatur. Sub eo Laurentius, & Cyprianus pro Christo vita privantur.

Maximino successit Publianus menses duos. in prælio interemptus.

Publiano Junior menses sex.

Juniori Gordianus filius annos quatuor. hic equo in prælio concidens e vita migrat.

Gordiano successit Philippus S. Eugeniæ pater, tenuitque imperium annos quinque. Hic Philippopolim condidit, cæsusque est una cum filio a Decio, quod Christianas partes tutaretur.

Post Philippum imperavit Junor Gordiani filius annos duos. aqua intercute extinguitur. Sub eo Sabellius hæresiarcha vivebat.

Post Junorem regnavit Marcus annos 3.

Post Marcum Justilianus annos duos. Hic inter dormiendum venis intercisis, amissoque sanguine animi deliquio periit.

Post Justilianum imperat Philippus annos viginti sex, & in Palatio obtruncatur.

Post Philippum Valerianus annum unum, & a suis interficitur.

Post Valerianum Gallus mensem unum. inter dormiendum ab uxore necatur.

Post Gallum Decius annum unum. in conflictu extinguitur. Sub eo Babylas Antiochenus, Flavianus Romanus, Alexander Hierosolymitanus, & Dionysius Alexandrinus Episcopi Christi causa occubuerunt. Navatus ab Ecclesia scissus, & Celsæus item hæresiarcha cognoscebatur.

Post Decium imperium administravit Æmilianus annum unum. in palatio mactatus.

Post Æmilianum Gallianus annos tres. in prælio occiditur. Ejus imperio Artemius Synepoque hæresiarchæ cognoscebantur. Gregorius item Thaumaturgus, Origenisque discipulus florebat.

Post Gallianum imperium tenuit Claudius annos duos.

Post Claudium Quintillanus dies 7.

Post Quintilianum Aurelianus annos quinque. a cubiculario cæsus. Sub eo sanctus Charito martyrii coronam assecutus est. Præterea Manes impius, & terque quaterque execrandus oritur, qui se Christum, & Spiritum sanctum esse, dæmonibus ipse percitus jactabat. Paulus ætate Maneti compar genere Samosatenus, Antiochiæ magnæ Præses, nu-

A Μετὰ δὲ Σεβῆρον ἐβασίλευσεν Ἀντωνῖνος ϗ Γέτας ὁ ἀδελφὸς αὐτοῦ μῆνας β. ϗ σφάξας τὸν ἀδελφὸν αὐτοῦ, ϗ μοναρχήσας ἔτη ς. ἀναιρεῖται ὑπὸ τῶν ἰδίων.

Μετὰ δὲ Ἀντωνῖνον ἐβασίλευσεν Ἀντωνῖνος ὁ Καράκαλος ἔτη κς. ϗ ἐσφάγη ἐν πολέμῳ. ἐφ' οὗ ἦν Γαληνὸς ὁ ἰατρός.

Μετὰ δὲ Ἀντωνῖνον ἐβασίλευσε Μακρῖνος ἔτη δ. ϗ ἐσφάγη ὑπὸ Ἀντωνίνου.

Μετὰ δὲ Μακρῖνον ἐβασίλευσεν Ἀντωνῖνος ὁ Γάλβας, ϗ ἐσφάγη ὑπὸ Ἀλεξάνδρου.

Μετὰ δὲ Ἀντωνῖνον ἐβασίλευσεν Ἀλέξανδρος ὁ Μαμαίας ἔτη ιγ. ϗ ἐσφάγη σὺν τῇ μητρὶ αὐτοῦ Μαμαίᾳ ἐξ ἐπιβουλῆς Μαξιμίνου στρατηγοῦ. ἐφ' οὗ Νάρκισσος ἐπίσκοπος

B Ἱεροσολύμων ἐν τῷ βαπτίζειν, ἐλαίου τοῦ χρίσματος λείψαντος, ἐκέλευσεν ὕδωρ ἐν τῷ στάμνῳ βληθῆναι, ϗ προσευξάμενος εἰς ἔλαιον τοῦτο μετέβαλε.

Μετὰ δὲ Ἀλέξανδρον ἐβασίλευσε Μαξιμῖνος ἔτη γ. ϗ ἐσφάγη ὑπὸ τοῦ στρατοῦ αὐτοῦ. ἐφ' οὗ Λαυρέντιος, ϗ Κυπριανὸς ἐμαρτύρησαν.

Μετὰ δὲ Μαξιμῖνον ἐβασίλευσε Πουπλιανὸς, μῆνας β. ϗ ἐσφάγη ἐν πολέμῳ.

Μετὰ δὲ Πουπλιανὸν ἐβασίλευσε Ἰούνιωρ, μῆνας ς.

Μετὰ δὲ Ἰούνιωρα ἐβασίλευσε Γορδιανὸς υἱὸς αὐτοῦ ἔτη δ. ϗ ἐν πολέμῳ συμπεσὼν τῷ ἵππῳ ἀπέθανεν.

Μετὰ δὲ Γορδιανὸν ἐβασίλευσε Φίλιππος, ὁ τῆς ἁγίας Εὐγενείας πατὴρ, ἔτη ε. ὃς ϗ τὴν Φιλιππούπολιν ἔκτισε.

C ἀνῃρέθη δὲ ἅμα τῷ υἱῷ ὑπὸ Δεκίου διὰ τὸ ὑπὲρ Χριστιανῶν ἀγωνίζεσθαι.

Μετὰ δὲ Φίλιππον ἐβασίλευσεν Ἰούνιωρ υἱὸς Γορδιανοῦ ἔτη β. ϗ ὑδεριάσας ἀπέθανεν. ἐφ' οὗ Σαβέλλιος ὁ αἱρεσιάρχης ἐγνωρίζετο.

Μετὰ δὲ Ἰούνιωρα ἐβασίλευσε Μάρκος ἔτη γ.

Μετὰ δὲ Μάρκον ἐβασίλευσεν Ἰουστινιανὸς ἔτη β. καὶ φλεβοτομηθεὶς, ἐπειδήπερ ἐξεχύθη τὸ αἷμα αὐτοῦ ἐν τῷ καθεύδειν, λειποθυμήσας ἀπέθανεν.

Μετὰ δὲ Ἰουστινιανὸν ἐβασίλευσε Φίλιππος ἔτη κς. ϗ ἐσφάγη ἐν τῷ παλατίῳ.

Μετὰ δὲ Φίλιππον ἐβασίλευσεν Οὐαλεριανὸς ἔτος ἕν. ϗ ἐσφάγη ὑπὸ τοῦ λαοῦ αὐτοῦ.

D Μετὰ δὲ Οὐαλεριανὸν ἐβασίλευσε Γάλλος μῆνα α. ϗ ἐσφάγη καθεύδων ὑπὸ τῆς ἰδίας γυναικός.

Μετὰ δὲ Γάλλον ἐβασίλευσε Δέκιος ἔτος α. ϗ ἐσφάγη ἐν τῷ πολέμῳ. ἐφ' οὗ δὲ Βαβύλας ὁ Ἀντιοχείας, ϗ Φλαβιανὸς Ῥώμης, ϗ Ἀλέξανδρος Ἱεροσολύμων, ϗ Διονύσιος Ἀλεξανδρείας ἐμαρτύρησαν. ϗ Ναυάτος τῆς ἐκκλησίας ἀπέστη, ϗ Κελσαῖος ὁ αἱρεσιάρχης ἐγνωρίζετο.

Μετὰ δὲ Δέκιον ἐβασίλευσεν Αἰμιλιανὸς ἔτος α. ϗ ἐσφάγη ἐν τῷ παλατίῳ.

Μετὰ δὲ Αἰμιλιανὸν ἐβασίλευσε Γαλλιανὸς ἔτη γ. ϗ ἐσφάγη ἐν πολέμῳ. ἐφ' οὗ Ἀρτέμιος, ϗ Συνέπων οἱ αἱρεσιάρχαι ἐγνωρίζοντο. ϗ Γρηγόριος ὁ Θαυματουργὸς, ὁ ϗ μαθητὴς Ὠριγένους διέπρεπεν.

E Μετὰ δὲ Γαλλιανὸν ἐβασίλευσε Κλαύδιος ἔτη β.

Μετὰ δὲ Κλαύδιον ἐβασίλευσε Κυντιλιανὸς ἡμέρας ζ.

Μετὰ δὲ Κυντιλιανὸν ἐβασίλευσεν Αὐρηλιανὸς ἔτη ε. ϗ ἐσφάγη ὑπὸ κουβικουλαρίου. ἐφ' οὗ ϗ ὁ ἅγιος Χαρίτων ὡμολόγησε. ϗ Μάνης ὁ μιαρὸς ϗ τρισκατάρατος ἀνεφύη, Χριστὸν ἑαυτὸν, ϗ Πνεῦμα ἅγιον ὁ δαιμονιώδης μορφαζόμενος. Παῦλος δέ τις τῷ Μάνεντι τούτῳ σύγχρονος γεγονὼς τὸ γένος μὲν Σαμοσατεὺς, Ἀντιοχείας δὲ τῆς μεγάλης πρόεδρος,

ψιλὸν ἄνθρωπον εἶναι τὸν Κύριον ἐδυσφήμησεν. εἶτα A Ἀπολινάριός τις ἀνεφύη, πρόεδρος Λαοδικείας τῆς Συρίας, ὃς σάρκα μὲν ἐμψυχωμένην ψυχῇ ζωτικῇ ἀνειληφέναι τὸν Κύριον ἔλεγεν, ἄνουν δέ. μεθ' ὃν ἀναφαίνεταί τις Θεόδωρος Μοψουεστίας πόλεως ἐν Κιλικίᾳ τῆς ἡγεμονίας λαχών, ὃς ἕνα τῶν καθ' ἡμᾶς κοινῶν ἀπεκάλει τὸν Δεσπότην Χριστὸν, καὶ ἐκ προκοπῆς λαβόντα, καὶ κατὰ χάριν τοῦ Θεοῦ αὐτὸν ὀνομάζεσθαι, καὶ ἐκ τοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ βαπτίσματος ἀξιωθέντα τῆς τοῦ ἁγίου Πνεύματος χάριτος, ὡς δῆθεν τὸν Θεὸν Λόγον διὰ τὴν ὑπερβάλλουσαν ἀρετὴν αὐτῷ κατοικήσαντα, μεταδοῦναι τῆς θεϊκῆς ἀξίας αὐτῷ καὶ προσκυνήσεως ἐς ὕστερον μετὰ τὴν τελείωσιν. μετὰ δὲ τοῦτον Νεστόριος ἀπὸ Γερμανικείας τῆς Συρίας τὸν θρόνον Κωνσταντινουπόλεως δραξάμενος, ὃς B τοῖς αὐτοῦ προγόνοις ἑπόμενος, υἱὸς γὰρ ἦν τοῦ Κίλικος, ἀπόγονος δὲ τοῦ Σαμοσατέως, ἀπηρνεῖτο Θεοτόκον λέγειν τὴν ὑπεραγίαν ἡμῶν Δέσποιναν, ὡς ἄλλον μὲν εἶναι τὸν Χριστὸν, ἄλλον δὲ τὸν Θεὸν Λόγον κατὰ τὴν πατρικὴν αὐτοῦ πλάνην δογματίζων. εἶτα Εὐτυχὴς, ὃς ἀπηρνεῖτο λέγειν σώζεσθαι ἐν τῷ Χριστῷ δύο φύσεις μετὰ τὴν ἕνωσιν. εἶτα Σεβῆρος τις λεγόμενος, ἁρπάσας τὸν θρόνον Ἀντιοχείας. καὶ ἑξῆς ἕτεροι.

Μετὰ δὲ Αὐρηλιανὸν ἐβασίλευσε Τάκιτος μῆνας ϛ΄. καὶ ἐσφάγη ὑπὸ φίλων Αὐρηλιανοῦ.

Μετὰ δὲ Τάκιτον ἐβασίλευσε Φλωριανὸς, μῆνας β΄. καὶ ἐσφάγη ὑπὸ Πρόβου.

Μετὰ δὲ Φλωριανὸν ἐβασίλευσε Πρόβος ἔτη ϛ΄. καὶ C ἐσφάγη ὑπὸ Κάρου.

Μετὰ δὲ Πρόβον ἐβασίλευσε Κάρος ἔτος α΄. καὶ ἐσφάγη ὑπὸ Καρίνου.

Μετὰ δὲ Κάρον ἐβασίλευσε Καρῖνος υἱὸς αὐτοῦ ἔτη β΄. καὶ ἐσφάγη ὑπὸ Νουμεριανοῦ.

Μετὰ δὲ Καρῖνον ἐβασίλευσε Νουμεριανὸς ὁ ἀδελφὸς αὐτοῦ, ἔτος α΄. καὶ συλληφθεὶς ὑπὸ Περσῶν ἐξεδάρη ἔτι ζῶν.

Μετὰ Νουμεριανὸν ἐβασίλευσεν ἐπὶ τὸ αὐτὸ Διοκλητιανὸς, καὶ Μαξιμιανὸς ὁ γαμβρὸς αὐτοῦ ἔτη κβ΄. ὑφ' ὧν μέγας διωγμὸς κατὰ Χριστιανῶν ἐκινήθη. ὅτε καὶ Πέτρος Ἀλεξανδρείας, καὶ Ἄνθιμος Νικομηδείας, καὶ Προκόπιος, καὶ Θεόδωρος, οἱ ἀοίδιμοι ἐμαρτύρησαν, D καὶ ἕτεροι πλεῖστοι. καὶ Σαβάτιος, ὁ τὴν αἵρεσιν τῶν Τεσσαρεσκαιδεκατιτῶν κρατύνας ἐγνωρίζετο. οὓς ἡ θεία δίκη ἐνδίκως μετελθοῦσα δικαίως ἐξέκοψεν. καὶ ὁ μὲν Διοκλητιανὸς τῆς γλώττης αὐτοῦ σαπείσης μετὰ τοῦ φάρυγγος, καὶ πλῆθος σκωλήκων ἀναβράσας κακῶς, καὶ βιαίως ἀπέρρηξε τὴν ζωήν. ὁ δὲ Μαξιμιανὸς ἀπήγξατο.

Μετὰ δὲ Διοκλητιανὸν καὶ Μαξιμιανὸν ἐβασίλευσε κατὰ τοὺς αὐτοὺς χρόνους Κωνστάντιος, καὶ Σεβῆρος, Μαξιμῖνος, καὶ Μαξέντιος. καὶ ὁ μὲν Κωνστάντιος σὺν τῷ υἱῷ αὐτοῦ Κωνσταντίνῳ τῆς Γαλλίας καὶ τῆς Βρεττανίας ἐκράτησαν. ὁ δὲ Σεβῆρος καὶ Μαξέντιος τῆς Ῥώμης. ὁ δὲ Μαξιμῖνος τῆς ἑῴας, ὃς πολλὰ μιαρὰ καὶ ἄτοπα διαπραξάμενος E διωγμὸν ἀπηνῆ καὶ ἀπάνθρωπον κατὰ Χριστιανῶν ἐπεδείξατο, καθ' ὃν πλεῖστοι τῶν ἀοιδίμων ἐμαρτύρησαν, καὶ ἄξια τῆς δυσσεβείας αὐτοῦ πέπονθε. νόσῳ γὰρ δεινοτάτῃ περιπεσὼν, ὡς καὶ τὰς σάρκας αὐτοῦ δίκην κηροῦ τακείσας, καὶ τὰ ὀστᾶ συμφρυγείσας, καὶ τὸν χαρακτῆρα τῆς ἀνθρωπίνης αὐτοῦ μορφῆς ἀφανισθεῖσαν, καὶ δεινῶς κατασα-

A dum hominem fuisse Dominum oblatravit. *Edit. Paris. pag. 167.* Subsecutis deinceps tempotibus Apollinarius quidam, Laodiceæ Syriæ Præsul, Dominum carnem anima vivente animatam, sed quæ rationis minime compos esset, assumpsisse, enunciavit. Post Apollinarium Theodorus Mopsuestunæ urbis in Ciliciæ rector, Christum Dominum, hominem nobis similem, & vulgarem, & progressu tantum gratiam Dei recepisse, ideoque Deum vocatum, & ex baptismate, quo in Jordane ablutus est, Spiritus sancti muneribus dignatum: divinum autem Verbum propter immensam illius virtutem in eo habitasse, illique dignitatem, divinitatem, ac venerationem tandem post consummationem communicasse, fatebatur. Post B hunc Nestorius e Germaniciæ Syriæ Throno Constantinopolitano invaso, majores suos secutus, Cilicis quippe filius Samosateni ucpos etat, sanctissimam nostram Dominam Deiparam vocare renuebat, quasi alius esset Christus, & aliud divinum Verbum, ut ipse patrium, & avitum errorem secutus affirmabat. Præterea Eutyches, qui post unionem duas in Cbristo naturas conservari negabat. Severus item nescio quis, qui Antiochiæ Thronum occupavit, & alii.

Post Aurelianum imperium administravit Tacitus menses sex. ab amicis Aureliani interficitur.

Post Tacitum Florianus menses duos. C occiditur a Probo.

Post Florianum Probus annos sex. occiditur a Caro.

Post Probum Carus annum unum. jugulatur a Carino.

Post Carum Carinus filius annos duos. vita privatur a Numeriano.

Post Carinum Numerianus frater annum unum. captus a Persis vivus excoriatur.

Post Numerianum Diocletianus imperio cum Maximiano genero communicato annos viginti duos. Eorum imperio contra Christianos magna persecutio mota est, in qua Petrus Alexandrinus Episcopus, Anthimus Nicomediensis, Procopius item, & Theodorus celeberrimi, D aliique complures pro religione Christiana crudelissimis exemplis interempti sunt. Tunc etiam innotuit Sabbatius, qui Tessarescædecatitarum hæresim stabilire conatus. Verum hos Imperatores divinum judicium subsecutum justa morte mulctavit. Diocletianus enim lingua, ac faucibus computrescentibus, vermibus scatens, misere, violenterque vitam abjecit. Maximianus laqueo gulam fregit.

Diocleriano, ac Maximiano de medio sublatis, sub eadem tempora imperium tenuerunt Constantius, & Severus, Maximinus, & Maxentius. *pag. 168.* Constantius cum filio Constantino Celtis, Britannisque imperitavit. Severus, & Maxentius Romæ præfuit, Maximinus Orienti. Hic E multis flagitiis, ac sceleribus contaminatus, animo fero, crudeli, inhumana persecutione in Christianos invectus est, plurosque ingenuos viros pro Christo martyrio affecit, pro sua tamen impietate, quas commeruit, pœnas accepit. Nam adeo diro morbo excruciatus est, ut carnibus ad instar ceræ liquefactis, ossibus exsiccatis, quidem formæ humanæ nec vestigium remanserit, & putridis, atque deciduis membris tantum tedoleret fœtorem, ut

a cadaveribus in sepulchris marcescentibus nihil differret. His cum nequitiæ illud stabulum excruciaretur. *Hei misero*, ait, *& deplorando, quibus pro his, quæ in Christianos patravi, pœnis exerceor*. Et hæc effatus gravi cum cruciatu vitam abjecit.

Constantio Chloro propter vultus viriditatem sic cognominato vita functo ad Constantinum filium, quem ex Helena susceperat in una Daciæ urbe, imperium devolutum est. Similiter extincto Severo Licinius Constantii gener intruditur. Postquam vero Constantinus sacro lavacro ablutus, præter expectationem a gravi illo morbo, quo plane confectus erat, incolumis evasit, statim Helena mater, omnesque illius affines, consanguinei, familiaresque sacro fonte initiantur. Tandem cum res nefarie gestas, & Tyrannidem, quam in cives Maxentius Romæ per Legatos a Senatu Romano missos accepisset, copias in eum duxit, quibus signum Crucis illi de cælo ostensum præire jussit: quo Maxentium in fugam vertit. Ipse autem Romam contendit, ubi ab omnibus mulieribus, infantibus, & universa Romanorum multitudine ingenti lætitia, summoque plausu, & approbatione excipitur.

Post Maxentium Constantinus Magnus, & primus inter alios Imperatores Christianam religionem perfectissime exosculatus imperium administravit annos triginta duos. Hic pietatem coluit, rectaque fidei dogmata modis omnibus constabilivit. Anno ejus imperii vigesimo quinto, Nicæna Synodus trecentorum octodecim sanctorum Patrum contra stultissimum Arium celebrata est. Mater ejus anno ætatis octuagesimo vita excessit, tumulataque est ab ipso in templo sanctorum Apostolorum. Verum Constantino Nicomediæ fato functo ætatis annorum sexaginta quinque, tres filii illius imperio potiti sunt, Orientis quidem Constantius, Occidentis Constantinus, & Constans, qui fratre Constantino obtruncato solus imperium rexit annos sexdecim. Tandem & ipse a populo necl darus est.

Edit. Pariſ. pag. 169.

Constantinum Magnum excipit Constantius filius, imperatque annos undecim. is post obitum patris Arianæ sententiæ adhærens divinum Alexandrum compellebat, ut cum Ario communicaret, quo abnuente, Deumque cum lacrymis deprecante miserrimus ille letho malo emortuus est.

Post Constantium Julianus imperium tenuit annos duos. Cæsaris dignitate functus est annos quatuor, menses sex. Is eum adversus Christianos pestem, ac perniciem machinaretur, in Perside pœnas divinæ justitiæ graves, justasque persolvit ætatis annorum triginta.

Extincto Juliano Jovianus imperium obtinet menses octo, Hic cum ab exercitu ad Imperii insignia accipiendum cogeretur, se eorum, tamquam qui a Juliano essent contaminati, imperio non posse præesse, respondit. Quare omnes una voce, ut fertur acclamarunt, *Nos Christiani sumus*. Sic imperium accepit. Verum hic pius, atque admirandus post imperii sui menses octo dum a Perside rediret, rebus terrenis excessit, Ecclesiam, & universam multitudinem ingenti luctu afficiens.

Post Jovinianum Valentinianus imperium rexit annos duodecim. Is Valen-

A πλῶας, καὶ τοσαύτην δυσωδίαν ἐκπέμπειν, ὡς μηδὲν τῶν ἐν τάφοις κειμένων νεκρῶν διαφέρειν. ἐν τούτοις ὢν ὁ ἀλιτήριος ἑταζόμενος, τοιάδε ἔφη. οἴμοι τῷ ἐλεεινῷ, καὶ θρήνων ἀξίῳ, ἁποίας τῶν εἰς Χριστιανοὺς τετολμημένων ἀπέχω τιμωρίας. καὶ ταῦτα μετὰ πολλῆς ὀδύνης εἰπὼν ἀπέθανε.

Κωνσταντίου δὲ τοῦ ἐπικληθέντος Χλωροῦ διὰ τὴν τοῦ προσώπου ὠχρότητα τελευτήσαντος, ὁ υἱὸς αὐτοῦ Κωνσταντῖνος, ὃς ἐξ Ἑλένης αὐτῷ ἐγεννήθη περὶ τὴν τῆς Δακίας πόλιν τὴν ἀρχὴν διεδέξατο. ὡσαύτως καὶ Σεβήρου τεθνηκότος Λικίνιος ὁ γαμβρὸς Κωνσταντίνου ἀντεισάγεται. τοῦ οὖν Κωνσταντίνου βαπτισθέντος, καὶ τὴν παράδοξον ἐκείνην ἀπαλλαγὴν τῆς κατασχούσης B νόσου εὑρηκότος, αὐτίκα καὶ ἡ μήτηρ αὐτοῦ Ἑλένη, οἵ τε συγγενεῖς τε καὶ φίλοι βαπτίζονται. εἶτα ἀκούσας τὰ ὑπὸ Μαξεντίου ἐν Ῥώμῃ χαλεπά τε καὶ ἄτοπα γινόμενα, καὶ πρεσβείαν ἐκ τῶν Ῥωμαίων δεξάμενος ἐστράτευσε κατ᾽ αὐτοῦ προηγούμενον τῆς αὐτοῦ στρατιᾶς τὸ ἐν οὐρανῷ ὑποδειχθὲν αὐτῷ σημεῖον τοῦ σταυροῦ ἐπιφερόμενος. δι᾽ οὗ καὶ ἐτροπώσατο Μαξέντιον. καὶ οὕτως ἐπὶ Ῥώμην ἐλαύνει καὶ πάντες αὐτὸν ἅμα γυναιξὶ, καὶ νηπίοις, καὶ παντὶ τῷ δήμῳ Ῥωμαίων μετ᾽ εὐφημίας, καὶ ἀπλήστου χαρᾶς ὑποδέχονται.

Μετὰ δὲ Μαξέντιον ἐβασίλευσε Κωνσταντῖνος ὁ μέγας, καὶ πρῶτος ἐν βασιλεῦσι χριστιανικώτατος ἔτη λβ΄. ὃς τὴν εὐσέβειαν, καὶ ὀρθοδοξίαν διὰ πάντων ἐκράτυνε. C ἐν δὲ τῷ κε΄ ἔτει τῆς αὐτοῦ βασιλείας συνεκροτήθη ἡ ἐν Νικαίᾳ Σύνοδος τῶν τιη΄. πατέρων θεοφόρων κατὰ Ἀρείου τοῦ ματαιόφρονος. ἐτελεύτησε δὲ ἡ μὲν μήτηρ αὐτοῦ ἐτῶν π΄. καὶ ἐτάφη παρ᾽ αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων. αὐτοῦ δὲ ἐν Νικομηδείᾳ τελευτήσαντος ἐτῶν ξε΄. οἱ τρεῖς υἱοὶ αὐτοῦ ἐκράτησαν. τῆς μὲν ἀνατολῆς Κωνστάντιος, τῆς δὲ δύσεως Κωνσταντῖνος, καὶ Κώνστας, ὃς τὸν ἀδελφὸν αὐτοῦ Κωνσταντῖνον φονεύσας, καὶ βασιλεύσας μόνος, ἔτη ιϛ΄. ἐσφάγη καὶ αὐτὸς ὑπὸ τοῦ δήμου.

Μετὰ δὲ Κωνσταντῖνον τὸν μέγαν ἐβασίλευσε Κωνστάντιος υἱὸς αὐτοῦ, ἔτη ια΄. ὃς μετὰ τὴν τοῦ πατρὸς τελευτὴν εἰς τὸ Ἀρειανικὸν φρόνημα παρασυρεὶς ἐβιάζετο D τὸν θεῖον Ἀλέξανδρον δέξασθαι τὸν Ἄρειον εἰς κοινωνίαν. τοῦ δὲ μὴ ἀνεχομένου, ἀλλὰ τὸν Θεὸν σὺν δάκρυσιν ἱκετεύοντος, αἰσχίστῳ μόρῳ τὸν βίον κατέστρεψεν ὁ τρισάθλιος.

Μετὰ δὲ Κωνστάντιον ἐβασίλευσεν Ἰουλιανὸς, ἔτη β΄. Καῖσαρ δὲ ἐγένετο ἔτη δ΄. καὶ μῆνας ϛ΄. ὃς πολλὰ κακὰ κατὰ Χριστιανῶν ἐνδειξάμενος, ἐν Περσίδι ὑπὸ τῆς θείας δίκης ἀναιρεῖται, ἐτῶν ὢν λ΄.

Μετὰ δὲ Ἰουλιανὸν ἐβασίλευσεν Ἰοβιανὸς, μῆνας η΄. ὃς ὑπὸ τοῦ στρατοῦ καταναγκασθεὶς εἰς τὸ τὰ τῆς βασιλείας ὑποδέξασθαι σύμβολα, λέγεται πρὸς τὸ στρατόπεδον εἰρηκέναι μὴ δύνασθαι βασιλεύειν αὐτῶν, ὡς ὑπὸ Ἰουλιανοῦ μολυνθέντων. τότε πάντας μιᾷ φωνῇ ἀπο- E κριθῆναι λέγεται, ὅτι ἡμεῖς Χριστιανοί ἐσμεν. καὶ οὕτω τὴν βασιλείαν ἐδέξατο. Ἀλλ᾽ οὗτος ὁ εὐσεβὴς καὶ θαυμάσιος μετὰ η΄. μῆνας τῆς αὐτοῦ βασιλείας ἐν τῷ ὑποστρέφειν ἀπὸ τῆς Περσίδος ἐτελεύτησε, μέγα πένθος καταλείψας τῇ Ἐκκλησίᾳ, καὶ λαοῖς ἅπασιν.

Μετὰ δὲ Ἰοβιανὸν ἐβασίλευσεν Οὐαλεντινιανὸς, ἔτη ιβ΄. ὃς μετὰ λ΄. ἡμέρας τῆς αὐτοῦ ἀναγορεύσεως

τὸν ἑαυτοῦ ἀδελφὸν Οὐάλεντα ἐκ Παιονίας μεταπεμψάμενος, κοινωνὸν τῆς βασιλείας προσελάβετο, ὃς τοὺς αἱρετικοὺς συγκροτῶν οὐ διέλιπεν ἐπισκόπους, καὶ πρεσβυτέρους, καὶ διακόνους, καὶ λαοὺς ἐξορίζων, καὶ πλεῖστα ἀθέμιτα, καὶ ὠμότητα κατὰ τῆς τοῦ Θεοῦ ἐκκλησίας μηχανώμενος. ὕστερον δὲ τοῖς Γότθοις πόλεμον συμβαλὼν καὶ κατὰ κράτος ἡττηθεὶς φεύγει σὺν ὀλίγοις εἰς οἴκημα, ἐν ᾧ τοῦτον κατέκαυσαν οἱ πολέμιοι σὺν τοῖς συνοῦσιν αὐτῷ, καὶ αὐτῷ οἰκήματι βασιλεύσαντι ἀνοσίως, ἔτη ιδ΄.

Οὐαλεντινιανὸς δὲ ὁ μέγας ἐκ τῶν μερῶν τῆς Γαλλίας ἐλθὼν ἐτελειώθη, κληρονόμους τῆς ἑαυτοῦ βασιλείας καταλιπὼν Γρατιανὸν τὸν υἱὸν αὐτοῦ Αὔγουστον ὄντα, καὶ ἐν Ῥώμῃ διατρίβοντα, καὶ Οὐαλεντινιανὸν νέον κομιδῇ τυγχάνοντα, ὃν ἡ ἀνάγκη τῶν ἐπιχειρούντων τὸν θρόνον τῆς βασιλείας ὑφαρπάζειν παρεσκεύασε, καὶ λείποντος τοῦ ἀδελφοῦ τὴν πορφύραν ἀναδήσασθαι.

Ὁ δέγε Γρατιανὸς τὸν μέγαν Θεοδόσιον ἐξ Ἱσπανίας ἀγαγὼν προεχειρίσατο εἰς βασιλέα. γαμβρὸν αὐτοῦ ὄντα, πρὸς τὸ πολεμεῖν τοῖς Σκύθαις τὴν Θρᾴκην ληιζομένοις. ὁ δὲ Γρατιανὸς κατ᾽ ἐπιβουλὴν Μαξίμου τινὸς δι᾽ Ἀνδραγαθίου ἀνῃρέθη. καὶ ὑπὸ Θεοδοσίου εἰς τοὺς βασιλικοὺς τάφους μετετέθη.

Μετὰ δὲ Γρατιανὸν ἐβασίλευσε Θεοδόσιος ὁ μέγας ἔτη ιζ΄. ὃς τῷ θεολόγῳ Γρηγορίῳ τὴν ἐπισκοπὴν ἐκύρωσε Κωνσταντινουπόλεως, καὶ μὴ θελήσαντι βιασάμενος, ὡς πολλὰ καμόντι καὶ τοὺς πλάνους τῶν αἱρέσεων τὴν πόλιν ἐλευθερώσαντι. ὀλίγους δὲ τῶν Αἰγυπτίων μαθὼν ὁ θεῖος Γρηγόριος τῷ λόγῳ τούτῳ φθονήσαντας τὸν συντακτήριον συνθεὶς, τῆς ἐπισκοπικῆς διοικήσεως ὑπεχώρησεν. ἀντ᾽ αὐτοῦ δὲ Νεκτάριον προχειρίζεται, ὅ, τε βασιλεὺς καὶ ἡ σύνοδος. ὅτε καὶ ἡ δευτέρα σύνοδος γέγονεν ἐν Κωνσταντινουπόλει τῶν ρν΄. ἁγίων πατέρων κατὰ Μακεδονίου τοῦ πνευματομάχου, ἐπισκόπου γεγονότος Κωνσταντινουπόλεως. ἐπὶ δὲ Θεοδοσίου καὶ ἡ τιμία κεφαλὴ τοῦ Προδρόμου ἐν Κωνσταντινουπόλει διεκομίσθη. ἐν δὲ τῷ μεταξὺ Οὐαλεντινιανὸς ἐν τοῖς τῆς δύσεως μέρεσι βρόχῳ χρησάμενος, τὸ τέλος εὗρε τοῦ βίου. δι᾽ ἣν αἰτίαν μέχρι τοῦ παρόντος οὐκ ἴσμεν. ὁ δέγε Θεοδόσιος ἐν μὲν τῇ ἀνατολῇ τὸν Ἀρκάδιον προσέταξε τὴν παραδοθεῖσαν αὐτῷ βασιλείαν φυλάττειν, Ὀνώριον δὲ τῇ αὐτοῦ τιμήσας ἀξίᾳ ἐπὶ τὴν τῆς δύσεως βασιλείαν ἐλθεῖν ταχέως προσέταξεν. ἐλθόντα δὲ αὐτὸν περιεπτύξατο, καὶ ἐφίλησε, καὶ τὰ τῆς βασιλείας σκῆπτρα τῆς δύσεως παραδέδωκεν αὐτῷ, αὐτὸς εἰς τὸν βελτίονα μετέστη βίον, ἐπὶ ιζ΄. ἐνιαυτοὺς τὴν βασιλείαν εὐτυχῶς διοικήσας.

Μετὰ δὲ Θεοδόσιον ἐβασίλευσεν Ἀρκάδιος ὁ υἱὸς αὐτοῦ ἔτη κβ΄. ὃς τὸν κίονα τοῦ Ξηρολόφου στήσας ἐν αὐτῷ καθίδρυσε τὸν ἑαυτοῦ ἀνδριάντα, καὶ πόλιν ἐν τῇ Θρᾴκῃ κτίσας ἐπωνόμασεν Ἀρκαδιούπολιν. ὅτε καὶ Νεκταρίου τελευτήσαντος, κοινῇ ψήφῳ Ἀρκάδιος ἐκ τῆς Ἀντιοχέων πόλεως Ἰωάννην τὸν Χρυσόστομον μετακαλεσάμενος, χειροτονηθῆναι παρεσκεύασεν ἐπίσκοπον Κωνσταντινουπόλεως.

Μετὰ δὲ Ἀρκάδιον ἐβασίλευσε Θεοδόσιος υἱὸς αὐτοῦ, ὁ καὶ Καλλιγράφος ἔτη λβ΄. ὃς τὸν ἐν τοῖς Χαλκοπρατείοις ναὸν ἔκτισε τῆς Θεοτόκου, πρότερον ὄντα συναγωγὴν Ἰουδαίων. ἐφ᾽ οὗ καὶ οἱ ἐν Ἐφέσῳ ἑπτὰ παῖδες οἱ κοιμηθέντες ἐπὶ Δεκίου ἀνέστησαν μετ᾽ ἔτη τβ΄. ὃς πέμψας εἰσήγαγε τὸ λείψανον τοῦ

A temfratrem, postquam renunciatus esset Imperator, triginta diebus elapsis ex Pæonia accitum collegam imperii fecit. Valens hæreticis addictus, Episcopos, Sacerdotes, & Diaconos, omnem denique plebem acerbe vexatam exilio mulctabat, plurima impia illa quidem, atrocissimaque contra Dei Ecclesiam aggressus. Tandem cum Gothis armis dimicans, afflictus, ac stratus cum nonnullis fugiens in tugurium se recipit: ibi una cum suis, & tugurio flammis ab hostibus absumptus est, cum impie rempublicam administrasset annos quatuordecim. Valentinianus Magnus e Gallia rediens diem obiit extremum; imperii hæredes Gratianum filium, qui Augusti insignia ceperat, Romæque commorabatur, & B Valentinianum puerulum adhuc instituit. Valentinianus desertorum vi coactus Imperii sedem sibi arripuit, & absente fratre purpura convestitur.

Gratianus Magnum Theodosium generum suum ex Hispania advocatum Imperatorem creat, ablegatque ad Orientis gubernationem, Scythas, Thraciam devastantes debellaturum. Postea vero Maximi cujusdam insidiis ab Andragathio trucidatur, & a Theodosio in regia sepulchra defertur. *Edit. Paris. pag. 170.*

Post Gratianum imperium rexit Theodosius Magnus annos septemdecim. Gregorio cognomento Theologo sedem Constantinopolitanam decrevit invito, ac renuenti, tamquam qui pro religione C multos exantlasset labores, urbemque ab hæreseon lue liberasset. Verum Gregorius ubi nonnullos Ægyptios sibi eo nomine invidia percitos succensisse rescivit, oratione, quam Syntacteriam vocavit conscripta, ab Episcopatus onere se se abdicavit. Loco illius ab Imperatore, & Synodo Nectarius evectus est. Tum secunda Synodus c L sanctorum Patrum adversus Macedonium Episcopum Constantinopolitanum Spiritus sancti oppugnatorem Constantinopoli celebrata est. Sub eodem pretiosum Præcursoris caput Constantinopolim advehitur. Interea Valentinianus in occiduis partibus ipse sibi laqueo vitam intercipit, qua vero de causa adhuc incompertum est. Porro Theo- D dosius Orientis imperium sibi traditum Arcadio administrandum committit; Honorium dignitate, qua ipse pollebat, auctum ad Occidentis imperium quam ocyus ablegat: eumque cum ad se venisset lætis ulnis complexum, dulci osculo cepit, atque Occidentalis imperii administrationem concessit: ipse vero in beatorum cœtum translatus est, per septemdecim annos felicissimo imperio administrato.

Post Theodosium imperium tenuit Arcadius filius annos viginti duos. Columnam Xerolaphi dictam erexit, in eaque propriam statuam collocavit. Urbem in Thracia a se conditam Arcadiupolim denominavit. Nectario vita E functo, cunctis suffragiis, Arcadius Antiochia Joannem Chrisostomum accersitum Episcopum Constantinopolitanum eligi fecit.

Post Arcadium imperio præfuit Theodosius filius, qui & Calligraphus dictus fuit, annos triginta duos. Deiparæ templum, quod prius Judæorum Synagoga fuerat, in Chalcoprateis exædificavit. Sub eo septem pueri, qui Ephesi obdormierant, post annos cccs. excitati sunt.

Eo procurante reliquiæ Chrysostomi Constantinopolim advehuntur, reponunturque in Sanctuario Sanctorum Apostolorum. Et tertia Synodus ducentorum Patrum Ephesi contra Nestorium celebratur. Non multo post Theodosius equitandi studio urbem egressus, & inter agitandum equo effusus plagam accepit, lecticaque in urbem illatus, advocata sorore Pulcheria, cum ea de Marciano, qui postea regnavit, sermonem confert. *Hoc enim, ait, mihi Ephesi commoranti Joannes Theologus manifestavit.* & post biduum efflavit animam.

Edit. Paris. pag. 171.

Post Theodosium imperium administravit Marcianus annos sex, & menses quinque. Coronam imperii ab Anatolio Patriarcha accepit: nam mortuo Theodosio, cum adhuc nemini innotesceret, Pulcheria Marciano milite sene, temperantia, ac gravitate insigni accito ita effatur. *Quando Imperator de vita discessit, teque ex omni Senatorum numero virtutibus omnibus præditum Imperatorem elegerim, fidem velim adstringas tuam, te numquam virginitatem meam, quam sacrosanctam Deo oblatam spopondi violaturum. Si primo promiseris, te Reipublicæ Imperatorem proponam.* Annuente eo, & jurejurando dicta firmante, Imperatrix Patriarcha accersito, Senatuque convocato, Marcianum Imperatorem renunciat. Sub eo quarta Synodus sexcentorum triginta Patrum apud Chalcedonem, adversus Eutychem, & Dioscurum celebrata est. Sic Marcianus coronam imperii consecutus * * * * atque ex ægritudine in morbum conjectus post menses quinque, diem suum obiit.

Post Marcianum fræna imperii moderatus est Leo Magnus cognomento Macel, annos octodecim, ob virtutem, rectamque, ac incorruptam de fide opinionem ab Aspare, & Ardaburio creatus, quos ipse postea tamquam Arrianos, & in semet perfidos facinorososque rerum publicarum administratores de medio sustulit. Leo datis ad Anthemium Romanum Imperatorem litteris inter alia illud quoque subjunxit. *Ego Asparem, & Ardaburium mactandos curavi, ne quis mihi posthac adversetur.* Macel vero Romana lingua occisorem significat. Ea tempestate incendium magnum a Neorio ad sanctum Thomam sævissime grassatum est. Vestisque Deiparæ penes piissimam virginem Hebræam summa veneratione adservata cum innotuisset, Constantinopolim devecta apud Blachernas reposita est. Ibi Imperator templum Dei Matri sacrum extruxit, & in arca ex auro, argentoque facta conservavit. Vestis ex facile putrescenti lana, & staminibus forma, coloreque similibus contexta, neque corrumpi, neque dissolvi ad hæc tempora potuit, incorruptæ illius, ac æviternæ virginitatis argumentum. Leo vero Imperator viscerum morbo confectus occubuit.

Leoni successit Leo junior ex Zenone, & Ariadna nepos, rexit imperium annum unum.

Post Leonem Zeno Isaurus ejus pater imperium administravit annos undecim, viscerumque morbo vitam amisit

pag. 172.

Ipso sui imperii primordio ab insidiis Berinæ soceri, & Leonis Magni uxoris, tanquam qui ea adversante imperium obtineret, sibi cavens in patriam aufugit. Berina Basiliscum fratrem Imperatorem

A Χρυσοστόμου, καὶ ἀπέθετο ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγίων Ἀποστόλων. ὅτε καὶ ἡ τρίτη γέγονε Σύνοδος τῶν σ'. Πατέρων ἐν Ἐφέσῳ κατὰ Νεστορίου. ὁ δὲ Βασιλεὺς Θεοδόσιος μετά τινα χρόνον ἐξῆλθεν ἱππαζόμενος, καὶ συμπεσόντος αὐτῷ τοῦ ἵππου πληγεὶς εἰσῆλθεν ἐν φορείῳ, καὶ καλέσας τὴν ἀδελφὴν αὐτοῦ Πουλχερίαν εἶπεν αὐτῇ περὶ Μαρκιανοῦ τοῦ μετ' αὐτὸν βασιλεύσαντος. Τοῦτο γάρ μοι φησὶν, ἀπεκάλυψεν Ἰωάννης ὁ Θεολόγος ἐν Ἐφέσῳ ὄντι. καὶ μετὰ β'. ἡμέρας ἐτελεύτησεν.

Μετὰ δὲ Θεοδόσιον ἐβασίλευσε Μαρκιανὸς ἔτη ς'. καὶ μῆνας ε'. στεφθεὶς ὑπὸ Ἀνατολίου Πατριάρχου. τοῦ γὰρ Θεοδοσίου τελευτήσαντος, καὶ μήπω τινὶ τούτου
B γνωσθέντος, μεταστειλαμένη τοῦτον ἡ Πουλχερία στρατιώτην ὄντα γέροντα ἐν σωφροσύνῃ, καὶ σεμνότητι βίου διαπρέποντα, φησὶ πρὸς αὐτόν. Ἐπειδὴ ὁ Βασιλεὺς ἐτελεύτησεν, ἐγὼ δέ σε ἐξελεξάμην ἐκ πάσης τῆς συγκλήτου ὡς ἐνάρετον, δός μοι λόγον ὅτι φυλάττεις μου τὴν παρθενίαν ἄσυλον, ἣν τῷ Θεῷ ἀνεθέμην, καὶ ἀναγορεύω σε εἰς Βασιλέα. τοῦ δὲ συνθεμένου ταῦτα μεθ' ὅρκου, προσκαλεῖται τὸν Πατριάρχην, καὶ τὴν σύγκλητον, καὶ ἀναγορεύει αὐτὸν Βασιλέα, ἐφ' οὗ καὶ ἡ τετάρτη γέγονε Σύνοδος ἐν Χαλκηδόνι τῶν χλ'. πατέρων κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου. ὁ δὲ Βασιλεὺς Μαρκιανὸς στεφθεὶς * * * τοὺς πόδας, καὶ ἀρρωστήσας ἐπὶ μῆνας πέντε
C ἐτελεύτησεν.

Μετὰ δὲ Μαρκιανὸν ἐβασίλευσε Λέων ὁ μέγας, ὁ λεγόμενος Μάκελ ἔτη ιη'. διὰ τὴν ἀρετὴν αὐτοῦ καὶ ὀρθοδοξίαν προβληθεὶς παρὰ Ἄσπαρος, καὶ Ἀρδαβουρίου, οὓς αὐτὸς ὕστερον ἀνεῖλεν ὡς Ἀρειανοὺς, καὶ μήτε ὀρθὴν πίστιν ἔχοντας πρὸς αὐτὸν καὶ κακῶς τὰ πράγματα διοικεῖν βουλομένους. γράψας δὲ ἐπιστολὴν πρὸς Ἀνθέμιον βασιλέα Ῥώμης, καὶ τοῦτο ἐνέθετο, ὅτι ἐγὼ ἐφόνευσα Ἄσπαρα, καὶ Ἀρδαβούριον, ἵνα μηδεὶς ἐναντιῶται μοι. Μάκελ γὰρ λέγεται Ῥωμαϊστὶ ὁ σφαγεύς. ἐφ' οὗ καὶ ὁ μέγας ἐμπρησμὸς γέγονεν ἀπὸ τοῦ Νεωρίου μέχρι τοῦ ἁγίου Θω-
D μᾶ. καὶ τῆς Θεοτόκου ἡ ἐσθὴς εὑρεθεῖσα ἐν Ἱεροσολύμοις παρά τινι εὐλαβεστάτῃ γυναικὶ Ἑβραΐδι καὶ παρθένῳ ἱερῶς φυλαττομένη, καὶ ἐν Κωνσταντινουπόλει διακομισθεῖσα, ἐν Βλαχέρναις ἀπετέθη. ἔνθα ὁ Βασιλεὺς ναὸν ᾠκοδόμησε τῆς Θεομήτορος, καὶ σορὸν ἐκ χρυσοῦ καὶ ἀργύρου κατασκευάσας κατέθετο ταύτην, ἥ τις ἐξ ἐρίων ἀφθάρτων ἐξυφασμένη, καὶ στημόνων ὁμοιοειδῶν, καὶ ὁμοχρόων ἀδιάφθαρτός ἐστιν, καὶ ἀδιάλυτος μέχρι τοῦ νῦν τῆς ἀειπαρθένου τὸ θαῦμα σαφῶς κηρύττουσα. ὁ δέ γε Βασιλεὺς Λέων δυσεντεριάσας ἀπέθανεν.

Μετὰ δὲ Λέοντα ἐβασίλευσε Λέων ὁ μικρὸς, ὁ ἔκγονος αὐτοῦ, ὁ ἀπὸ Ζήνωνος καὶ Ἀριάδνης, ἔτος
E ἕν.

Μετὰ δὲ Λέοντα τὸν μικρὸν ἐβασίλευσε Ζήνων ὁ Ἴσαυρος καὶ πατὴρ αὐτοῦ ἔτη ια'. καὶ ἀπέθανε δυσεντεριάσας. ὃς ἅμα τῷ βασιλεῦσαι, ἐπιβουλευθεὶς παρὰ Βηρίνης τῆς πενθερᾶς αὐτοῦ, γυναικὸς Λέοντος τοῦ μεγάλου, ὡς παρὰ γνώμην αὐτῆς βασιλεύσας προσέφυγε τῇ ἰδίᾳ πατρίδι. ἡ δὲ Βηρίνα ἔστεψε Βασιλίσκον τὸν ἀδελφὸν αὐτῆς. μετὰ δὲ ταῦτα

Ζήνων ὑποστρέψας ἐν Κωνσταντινουπόλει, καὶ τοῦτον χειρωσάμενος, τῇ ἐκκλησίᾳ προσφυγόντα, ἅμα γυναικὶ καὶ τέκνοις ἐξώρισεν ἐν τῷ φρουρίῳ Καππαδοκίας, ἐν ᾧ βληθέντες ἐν πύργῳ τῆς θύρας ἀναφραγείσης ἐτελεύτησαν. ἐφ' οὗ καὶ Μαρτύριος ὁ Ἀντιοχείας διὰ τὴν τοῦ Ζήνωνος περὶ τὴν ὀρθόδοξον πίστιν διαστροφὴν ἀποταξάμενος τῇ ἐπισκοπῇ ἀνεχώρησεν. οὗ ἀναχωρήσαντος Πέτρος ὁ Κναφεὺς τυραννικῶς τῷ θρόνῳ ἐπεπήδησεν. ὅς τις Μαρτύριος πρῶτος ἐπενόησε τὸ μύρον ἐν τῇ Ἐκκλησίᾳ ἐπὶ παντὸς τοῦ λαοῦ ἁγιάζεσθαι, καὶ ἐν ἑκάστῃ εὐχῇ τὴν Θεοτόκον ὀνομάζεσθαι, καὶ ἐν πάσῃ συνάξει τὸ σύμβολον τῆς πίστεως λέγεσθαι, πρότερον μὴ λεγόμενον, εἰ μὴ ἅπαξ τοῦ ἐνιαυτοῦ ἐν τῇ μεγάλῃ παρασκευῇ. Καὶ Βαρνάβα τοῦ ἀποστόλου τὸ λείψανον εὑρέθη ὑπὸ δένδρον κερασίας ἔχον ἐπὶ στήθους τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἰδιόγραφον τοῦ Βαρνάβα. ἐξ ἧς προφάσεως παραγεγόνασι Κύπριοι τοῦ μὴ τελεῖν ὑπὸ Ἀντιόχειαν τὴν κατ' αὐτοὺς μητρόπολιν. ὅπερ Εὐαγγέλιον ἀποτεθὲν παρὰ Ζήνωνος ἐν τῷ παλατίῳ εἰς τὸν ναὸν τοῦ ἁγίου Στεφάνου ἀναγινώσκεται κατ' ἐνιαυτὸν τῇ ἁγίᾳ μεγάλῃ πέμπτῃ.

Μετὰ δὲ Ζήνωνα ἐβασίλευσεν Ἀναστάσιος ὁ Δίκορος, ἀπὸ Σιλεντιαρίων, τῶν Ἀκεφάλων καὶ αὐτὸς ὤν, ἔτη ιγ΄. ὃς εἶδε καθ' ὕπνους φοβερόν τινα τῇ χειρὶ κατέχοντα κώδικα γεγραμμένον, καὶ λέγοντα αὐτῷ. Ἰδοὺ διὰ τὴν ἀπιστίαν σου ἀπαλείφω τῆς σῆς ζωῆς ἔτη ιδ΄. καὶ βροντῶν, καὶ ἀστραπῶν παρὰ τὸ παλάτιον γενομένων, καὶ τοῦ Βασιλέως μονωτάτου καταλειφθέντος, καὶ ἀπὸ τόπου εἰς τόπον φεύγοντος ἐν ἑνὶ τῶν κοιτωνίσκων, Ὡάτον δὲ ἐλέγετο, κατέλαβεν αὐτὸν ἡ ὀργή, ὥστε αἰφνίδιον εὑρεθῆναι νεκρόν. φασὶ δὲ μετὰ τὸ ταφῆναι μεθ' ἡμέρας βοᾶν, ἐλεήσατέ με καὶ ἀνοίξατε. τῶν μνημοναρίων δὲ εἰπόντων, ἄλλος βασιλεύει, εἰπεῖν, οὐδέν μοι μέλει, εἰς μοναστήριον ἀπαγάγετέ με, καὶ ποιήσατε μοναχόν. οἱ δὲ εἴασαν αὐτόν. μετ' οὐ πολὺ δὲ τοῦ μνήματος ἀνοιγέντος, εὑρέθη φαγὼν τοὺς βραχίονας αὐτοῦ, καὶ τὰ καλίγια, ἅπερ ἐπεδέδυτο.

Μετὰ δὲ Ἀναστάσιον ἐβασίλευσεν Ἰουστῖνος ὁ Θρᾷξ, ὁ μέγας ἐν Βασιλεῦσιν ἔτη θ΄. ἄριστος ἐν πολέμοις καὶ ζηλωτὴς τῆς ὀρθοδόξου πίστεως, ἐφ' οὗ καὶ τὰ κατὰ τὸν ἅγιον Ἀρέθαν καὶ τοὺς ἐν Νεγρᾷ τῇ πόλει ἐπράχθη, καὶ τὰ κατὰ τῶν Ὁμηριτῶν, διὰ Ἐλεσβαὰ τοῦ Βασιλέως τῶν Αἰθιόπων. τελευτήσας δὲ ὁ Βασιλεὺς Ἰουστῖνος κατέλιπε Βασιλέα Ἰουστινιανὸν ἀνεψιὸν αὐτοῦ.

Μετὰ δὲ Ἰουστῖνον ἐβασίλευσεν Ἰουστινιανὸς ἀνεψιὸς αὐτοῦ ἔτη λθ΄. ὃς ἐποίησε τὰς νεαρὰς διατάξεις. ἀνεκαίνισε δὲ καὶ τὴν τοῦ Θεοῦ μεγάλην Ἐκκλησίαν εἰς κάλλος καὶ μέγεθος ὑπὲρ τὸ πρότερον, παραδοὺς καὶ Τροπάριον ἐν αὐτῇ ψάλλεσθαι, Ὁ μονογενὴς υἱὸς καὶ Λόγος τοῦ Θεοῦ. καὶ ἡ Ὑπαπαντὴ ἔλαβεν ἀρχὴν ἑορτάζεσθαι, μὴ συναριθμουμένη πρότερον ταῖς δεσποτικαῖς ἑορταῖς. γέγονε δὲ καὶ ἡ πέμπτη Σύνοδος τῶν ρξε΄ ἁγίων πατέρων κατὰ Ὠριγένους, καὶ τῶν τὰ ἐκείνου ἀσεβῆ δόγματα διαδεξαμένων Διδύμου καὶ Εὐαγρίου, καὶ τῶν παρ' αὐτῶν ἐκτεθέντων κεφαλαίων. εἰς δὲ τὰ τέλη αὐτοῦ ὁ Βασιλεὺς κινήσας τὸ περὶ φθαρτοῦ καὶ ἀφθάρτου δόγμα, ἀλλότριος τῆς εὐσεβείας ἐτελεύτησε, προβαλλόμενος Ἰουστῖνον ἀνεψιὸν αὐτοῦ εἰς Βασιλέα Κουροπαλάτην τότε ὄντα.

A crearit. Post hæc Zeno Constantinopolim reversus Basiliscum, qui in Ecclesiam una cum uxore, & liberis confugerat captum, exilio mulctat, & in oppidum Cappadociæ relegat, ubi tum inclusi, foribus obseratis, e vita cesserunt. Sub eo Martyrius Antiochenus Præsul propter Zenonis in rectam fidem perversitatem Episcopatu sese abdicat, statimque Petrus Cnapheus tyrannice se in sedem illam intrusit. Martyrius olei unctionis consecrationem solemni ritu in conspectu populi peragi & in unaquaque precatione Dei matris mentionem fieri, necnon in quolibet conventu Symbolum fidei recitari, quod prius nonnisi magna Parasceve, semel anno dicebatur, primus B instituit. Item Barnabæ Apostoli corpus, in cujus pectore Matthæi Evangelium propria Barnabæ manu exaratum erat sub arbore ceraso inventum est. Hac occasione Cyprii a propria metropoli Antiochia se exemerunt. Evangelium a Zenone in templo sancti Stephani in Palatio collocatum singulis annis magna feria quinta legitur.

Post Zenonem in imperium suffectus est Anastasius Dicorus e Silentiariis Acephalorum sectæ & ipse addictus. regnavit annos tredecim. Is per quietem vidit terribilem virum, qui codicem scriptum manu ferebat, dixitque ipsi, *En propter tuam fidem perversam deleo de vita tua annos quatuordecim*. Multis porro tonitruis, fulgoribusque cum quateretur C Palatium, solus Imperator relictus hinc atque inde pererrans, subsidium sibi in tanto malo parans, tandem cum in cubiculum Oatam dictum se contulisset, divinæ justitiæ pœnas dedit, ita ut exanimis confertim corruerit. Nonnulli tradunt primo sepulturæ die elapso vocem intonuisse: *Misereminî mei, & portas reserate*. At illis, qui sepulturæ curam gerebant, dicentibus, *Alius nunc Imperator rerum potitur*. respondit, *Nihil mihi curæ est: in monasterium abducite, & habitu monachi induite*. Custodes voca neglexerunt. Non multo post cum sepulchrum aperiretur, inventus est lacertos suos, & caligas, quas gestabat, devorasse.

Anastasio mortuo imperium tenuit Ju-D stinus Thrax, Magnus Imperator annos novem. Vir bellicosissimus, rectæque fidei propugnator. Sub eo, quæ in sanctum Aretham in Negra urbe gesta sunt, & contra Homeritas per Elesbaam Æthiopum regem acciderunt. Justinus mori proximus Justinianum sororis filium Imperatorem pronunciat. *Edit. Parif. pag. 173.*

Post Justinum Justinianus sororis filius imperium obtinet annos triginta novem. Novellas constitutiones composuit; Dei magnam Ecclesiam renovavit, pulchritudine & magnitudine, qua antea erat, spectabiliorem, in qua & Troparium canendum tradidit, cujus principium, *Unigenitus filius & Verbum Dei*. Hypapante cum prius inter Dominicas solemnitates non commemoraretur, celebrari E cœpta est. Cogitur quinta Synodus CLXV sanctorum Patrum adversus Origenem, ejusque impiorum dogmatum sectatores Didymum & Evagrium, & capita ab eis exposita. Circa vitæ exitum quæstione de corruptibili & incorruptibili mota perduellis pietatis, rectæque fidei expiravit, cum prius Justinum sororis filium Curopalatem Imperatorem nominasset.

Post Justinianum imperavit Justinus ex sorore illius natus annos tredecim. Imperatorum munificentissimus, & fabricarum studiosissimus apparatot. Extra urbem Palatium, & portum in urbe extruxit. illi ab uxoris nomine Sophianis, huic Sophiæ nomen dedit. Ædificavit præterea in Orphanotrophio Ecclesiam sanctorum Apostolorum Petri, & Pauli. Tandem mala valetudine æger, & morti propinquus, Patriarcha & Senatu universo accito, Tiberium Imperatorem creat.

Post Justinum regnat Tiberius Thrax annos quatuor. Hic uxorem Anastasiam Augustam proponit, Sophiam Justini conjugem in Palatium in portu Juliani situm ablegat, Cubiculariis, & plerisque aliis constitutis, qui illi e servitio essent. Eam semper quasi matrem veneratus, nulli illius fovendæ studio pepercit: cum occubiturus esset, Mauritium generum Imperatorem proponit.

Post Tiberium Mauritius Armenius, & Tiberii gener imperio præest annos viginti. Hujus gener Philippicus Monasterium x suo nomine apud Chrysopolim condidit. Verum Mauricius Phocicæ Tyrannidis certior factus, populi rebellionem evitans media nocte vestem imperatoriam exuit, popularem induit, sicque in celocem una cum uxore, & liberis ingressus non sine discrimine in sancti Autonomi templo, saluti suæ consulit, & cum in munitum oppidum confugere studeret, non potuit: subito namque vehementissimi dolores corripuere, podagræque, ac chiragræ cruciatibus oppressus est adeo, ut immotus procumberet. Phocas a populo exceptus in regiam appellit.

Edit. Paris. pag. 174.

Post Mauricium Phocas Cappadox, & Tyrannus imperium invasit, annos octo. Priscus ejus gener clades injustas, & scelerosa illius facinora non sustinens Heraclio, qui tunc Africanis exercitibus præerat, scribit, ut adversus Tyrannum copias ducat. Heraclius dicto audiit, venit, commissoque prælio pestem illam Reipublicæ superat; capti manus, ac pedes, summitatesque humerorum abscinduntur. Pudenda item ac caput amputatur, conto præfixum caput circumlatum est; trunci quod reliquum fuit in foro bovis concrematum.

Phocæ successit Heraclius per annos triginta, a Sergio in æde sancti Stephani in Palatio una cum Eudocia Augusta sponsa coronatus: nuptiarumque coronis Imperatores simul, & sponsi declarati sunt. Ea tempestate Chosroes Persa Hierosolymis expugnatis veneranda illa loca succendit, multitudinem innumeram captivam cum Patriarcha Zacharia, & lignis pretiosis in Persidem adduxit. Sed Chosroe post nonnullos annos mactato, captivi illi in libertatem vindicati, & vivifera Crux proprio loco restituta est. Imperator tandem ab Athanasio Jacobitarum Patriarcha, & Sergio Syro Constantinopolitano deceptus in Monothelitarum hæresim devolvitur: tandem aqua intercute miseris ærumnis affectus, morte pœnas atroces dedit.

Post Heraclium Constantinus filius imperium gerit annum unum. Veneno a Martina noverca tollitur.

Post Constantinum Heraclonas cum Martina matre per menses quatuor, in imperio successit. Eum Senatus naso mu-

A Μετὰ δὲ Ἰουστινιανὸν ἐβασίλευσεν Ἰουστῖνος ὁ ἀνεψιὸς αὐτοῦ ἔτη ιγ΄. μεγαλοδωρότατός τε ὢν καὶ φιλοκτίστης. ἔκτισε παλάτιον ἔξω τῆς πόλεως, καὶ λιμένα ἐν τῇ πόλει. καὶ τὸ μὲν ἐκάλεσε Σοφιανάς, τὴν δὲ Σοφίαν εἰς ὄνομα τῆς ἑαυτοῦ γυναικός. ἔκτισε δὲ καὶ τὴν ἐν τῷ Ὀρφανοτροφείῳ ἐκκλησίαν τῶν ἁγίων Ἀποστόλων Πέτρου καὶ Παύλου. εἶτα νόσῳ ληφθείς, καὶ μέλλων τελευτᾶν, τόντε Πατριάρχην, καὶ τὴν σύγκλητον πᾶσαν προσκαλεσάμενος Τιβέριον εἰς Βασιλέα προεβάλετο.

Μετὰ δὲ Ἰουστῖνον ἐβασίλευσε Τιβέριος ὁ Θρᾷξ ἔτη δ΄. ὃς τὴν ἰδίαν γυναῖκα Ἀναστασίαν ἀναγορεύσας, Σοφίαν τὴν τοῦ Ἰουστίνου γυναῖκα εἰς τὸ ἐν τῷ Ἰουλιανοῦ λιμένι παλάτιον κελεύσας ἀπαχθῆναι Κουβικουλαρίους, καὶ ἑτέρους τινὰς
B εἶναι εἰς ὑπουργίαν αὐτῆς ἔδωκεν. ἣν καὶ ἐτίμα ἴσα μητρὶ ποιῶν πᾶσαν θεραπείαν αὐτῆς. μέλλων δὲ τελευτᾶν Μαυρίκιον τὸν ἐπὶ θυγατρὶ αὐτοῦ γαμβρὸν Βασιλέα ἀνηγόρευσεν.

Μετὰ δὲ Τιβέριον ἐβασίλευσε Μαυρίκιος Ἀρμένιος, καὶ γαμβρὸς αὐτοῦ ἔτη κ΄. οὗτος γαμβρὸν εἶχεν ὀνόματι Φιλιππικόν, ὃς ἔκτισε μονὴν ἐν Χρυσοπόλει ἐπ᾽ ὀνόματι αὐτοῦ. ὁ δὲ Μαυρίκιος τὴν τοῦ Φωκᾶ τυραννίδα μαθών, καὶ τὴν τοῦ λαοῦ ἐπανάστασιν φεύγων, μεσούσης νυκτὸς τὴν βασιλικὴν ἐσθῆτα ἀποδυσάμενος, καὶ ἰδιωτικὴν ἐνδυσάμενος εἰσῆλθεν εἰς δρόμωνα σὺν τῇ γυναικὶ αὐτοῦ, καὶ τοῖς τέκνοις καὶ μετὰ κινδύνου εἰς τὸν ἅγιον Αὐτόνομον διασωθείς, καὶ πρός τι φρούριον ὀχυρὸν σπεύδων καταφυγεῖν οὐκ ἴσχυ-
C σεν. αἴφνης γὰρ ἐπιτίθενται αὐτῷ σφοδρότατοι πόνοι καὶ ἀρθρίτιδες ποδαλγίας, καὶ χειραλγίας, ὥστε κεῖσθαι αὐτὸν ἀμετακίνητον. ὁ δὲ Φωκᾶς ὑπὸ τοῦ λαοῦ δεχθεὶς εἰσῆλθεν εἰς τὰ Βασίλεια.

Μετὰ οὖν Μαυρίκιον ἐβασίλευσε Φωκᾶς ὁ Καππαδόκης καὶ τύραννος ἔτη η΄. ὁ δὲ γαμβρὸς αὐτοῦ Πρίσκος μὴ φέρων ὁρᾶν τοὺς ἀδίκους φόνους, καὶ τὰ ὑπ᾽ αὐτοῦ γινόμενα δεινά, γράφει Ἡρακλείῳ στρατηγῷ ὄντι τότε ἐν Ἀφρικῇ, ὅπως ἀνέλθῃ μετὰ στόλου κατὰ τοῦ τυράννου, οὗ ἀνελθόντος καὶ πολέμου κροτηθέντος ἡττᾶται Φωκᾶς ὁ ἀλιτήριος, καὶ κατασχεθεὶς καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας, καὶ τοὺς ὤμους ἀκρωτηριασθείς, καὶ τὰ αἰδοῖα ἐκτμηθείς, καὶ κοντῷ ἀναρτηθείς, εἶτα καὶ τὴν κεφαλὴν ἀποτμηθείς, τὸ λοιπὸν αὐτοῦ σῶμα ἐν τῇ τοῦ
D βοὸς λεγομένῃ ἀγορᾷ πυρὶ παρεδόθη.

Μετὰ δὲ Φωκᾶν ἐβασίλευσεν Ἡράκλειος ἔτη λ΄. ὃν Σέργιος ἔστεψεν ἐν τῷ ναῷ τοῦ ἁγίου Στεφάνου ἐν τῷ παλατίῳ. ἐστέφθη δὲ ἅμα αὐτῷ ἡ μεμνηστευμένη αὐτῷ Εὐδοκία Αὐγοῦστα τοῖς στεφάνοις τοῦ γάμου, ὁμοῦ Αὐτοκράτορες, καὶ νυμφίοι ἀναδειχθέντες. ἐφ᾽ οὗ καὶ Χοσρόης ὁ Πέρσης ἐπόρθησε τὰ Ἱεροσόλυμα, καὶ τοὺς σεβασμίους τόπους ἐνέπρησε, καὶ πλῆθος λαῶν ᾐχμαλώτευσε σὺν τῷ Πατριάρχῃ Ζαχαρίᾳ, καὶ τοῖς τιμίοις ξύλοις, καὶ εἰς Περσίδα ἀπήγαγε. τοῦ δὲ Χοσρόου μετὰ χρόνους ἀναιρεθέντος πάλιν ἡ αἰχμαλωσία ἀνεκλήθη, καὶ ὁ ζωοποιὸς σταυρὸς τοῖς ἰδίοις τόποις ἀποκατέστη. οὗτος οὖν ὕστερον ὑπ᾽ Ἀθανασίου Πατριάρχου τῶν Ἰακωβιτῶν, καὶ Σεργίου Κωνσταντινουπόλεως τοῦ Σύ-
E ρου ἀπατηθεὶς εἰς τὴν τῶν Μονοθελητῶν αἵρεσιν ἐξεκυλίσθη. καὶ δὴ νόσῳ ὑδερικῇ περιπεσών, καὶ δεινῶς τιμωρηθεὶς τέθνηκε.

Μετὰ δὲ Ἡράκλειον ἐβασίλευσε Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ, ἔτος α΄. ὃς φαρμάκῳ ὑπὸ τῆς ἰδίας μητρυιᾶς Μαρτίνης ἀναιρεῖται.

Μετὰ δὲ Κωνσταντῖνον ἐβασίλευσεν Ἡρακλωνᾶς ἅμα Μαρτίνῃ μητρὶ αὐτοῦ μῆνας δ΄. ὃν ἡ σύγ-

κλητος

κλινος ἀπώσατο ῥινοκοπήσασα αὐτὸν, τήν τε Μαρτῖναν γλωσσοτομήσασα, καὶ ἀμφοτέρους ἐξορίσασα. A

Μετὰ δὲ Ηρακλωνᾶν ἐβασίλευσε Κώνστας υἱὸς Κωνσταντίνου, ἔκγονος δὲ Ηρακλείου ἔτη κζ΄. ὃς Μαρτῖνον τὸν ἁγιώτατον Πάπαν Ρώμης ἀγαγὼν ἀτίμως ἐν Κωνσταντινουπόλει διὰ τὸ ἐλέγχεσθαι ὑπ᾽ αὐτοῦ τὸ Μονοθέλητον αὐτοῦ δόγμα, ἐξώρισεν ἐν Χερσῶνι. καὶ Μαξίμου τοῦ ὁμολογητοῦ τὴν γλῶτταν καὶ τὴν δεξιὰν ἀπέτεμε χεῖρα, καὶ πολλοὺς ἑτέρους τῶν ὀρθοδόξων αἰκίαις καὶ δημεύσεσι, καὶ ἐξορίαις κατεδίκασε διὰ τὴν αὐτὴν αἰτίαν. εἶτα καταλιπὼν τὴν Κωνσταντινούπολιν διὰ τὸ μισηθῆναι ὑπὸ τῶν Βυζαντίων σφοδρῶς μετῴκησεν ἐν Συρακούσαις τῆς Σικελίας, ἔνθα ἐν βαλανείῳ σμηχόμενος μετὰ κάδου παρὰ Ανδρέου τινὸς κατὰ κορυφῆς B λαβὼν ἐτεθνήκει.

Μετὰ δὲ Κώνσταν ἐβασίλευσε Κωνσταντῖνος υἱὸς αὐτοῦ ἔτη ιζ΄. ὃς καὶ Γερμανὸν τὸν γενόμενον Πατριάρχην εὐνούχισεν ἀνελὼν τὸν αὐτοῦ πατέρα. ἐκλήθη δὲ Πωγωνάτης διὰ τὸ ἀγένειον ἀπελθεῖν εἰς Σικελίαν ἐπὶ τὴν τοῦ πατρὸς ἐκδίκησιν, καὶ ἐπανελθεῖν μετὰ πώγωνος. τοὺς δὲ δύο ἀδελφοὺς αὐτοῦ Ηράκλειον καὶ Τιβέριον ἐῤῥινοτόμησεν, ὡς ὑπὸ τοῦ λαοῦ ἀπαγορευομένους, αὐτοῦ τοῦτο μὴ θέλοντος. ἔστεψε δὲ Ιουστινιανὸν υἱὸν αὐτοῦ συμβασιλεύειν αὐτῷ. ἐν δὲ τῷ ιγ΄. ἔτει τῆς αὐτοῦ Βασιλείας σύνοδον οἰκουμενικὴν ἐν Κωνσταντινουπόλει συνήθροισε τῶν ρο΄. ἁγίων πατέρων κατὰ Θεοδώρου τοῦ Φαρὰν ἐπισκόπου, Ονωρίου Ρώμης, καὶ Κύρου Αλεξανδρείας, C Σεργίου τε, καὶ Πύῤῥου, καὶ Παύλου, καὶ Πέτρου Κωνσταντινουπόλεως γεγονότων Επισκόπων, καὶ καθ᾽ ἑτέρων λεγόντων ἓν θέλημα καὶ μίαν ἐνέργειαν κατὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ ἀναθεματίσασα, ἐξεφώνησε δύο θελήματα φυσικά, ἤγουν θελήσεις, καὶ δύο φυσικὰς ἐνεργείας ἐπὶ τοῦ ἑνὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐπιδείκνυσθαι. ὁ δὲ Βασιλεὺς δυσεντερίᾳ ληφθεὶς ἀπεβίω.

Μετὰ δὲ Κωνσταντῖνον ἐβασίλευσεν Ιουστινιανὸς υἱὸς αὐτοῦ ἔτη ι΄. ὃς τὸν Ιουστινιανοῦ λεγόμενον Τρίκλινον ἐν τῷ παλατίῳ ἔκτισεν. ὕστερον δὲ ὑπὸ Λεοντίου ῥινοτμηθεὶς ἐξωρίσθη ἐν Χερσῶνι.

Μετὰ δὲ Ιουστινιανὸν ἐβασίλευσε Λεόντιος ἔτη γ΄. ὃς D τὸν Πατρίκιον Ιωάννην μετὰ Ρωμαϊκοῦ στόλου κατὰ τῶν Αγαρηνῶν ἐκπέμπει ἐν Αφρικῇ. ὃς τοὺς ἐχθροὺς τροπωσάμενος, καὶ τὴν Αφρικὴν ἐλευθερώσας εἰς Βασιλέα ἐπορεύετο. ἀλλ᾽ ὁ στρατὸς ὑπὸ τῶν ἰδίων ἀρχόντων εἰς βουλὴν πονηρὰν ἐκτραπεὶς, καὶ τὸν Πατρίκιον Ιωάννην φονεύσας, καὶ τὸν Βασιλέα ἀναθεματίσας Αψίμαρον Δρουγγάριον τῶν Κυβιῤῥαιωτῶν Βασιλέα ἀνηγόρευσαν, Τιβέριον αὐτὸν μετονομάσαντες. ὃς διὰ τῆς τῶν Βλαχερνῶν πόρτης, προδοσίας γενομένης, ἐν τῇ πόλει εἰσελθὼν, καὶ τὸν Λεόντιον χειρωσάμενος, καὶ ῥινοκοπήσας ἐν τῇ μονῇ τῶν Δαλματῶν περιώρισεν.

Μετὰ δὲ Λεόντιον ἐβασίλευσεν Αψίμαρος, ὁ καὶ E Τιβέριος ἔτη ζ΄. ὁ δὲ Ιουστινιανὸς, ὁ παρὰ Λεοντίου ῥινοκοπηθεὶς ἐκ Χερσῶνος λάθρα τινὰς ἀναλαβόμενος ἀπέπλευσεν ἐπὶ τὸ στόμιον τοῦ Ιστρου, καὶ διασωθεὶς ἀπέστειλε πρὸς Τέρβελον τὸν Βουλγάρων, δοθῆναι οἱ συμμαχίαν τοῦ κρατῆσαι τῆς προγονικῆς Βασιλείας. ὁ δὲ οὐ μόνον συμμαχίαν, ἀλλὰ καὶ ἑαυτὸν ἐπιδίδωσι σὺν αὐτῷ ἐπὶ τὴν

Joelis Chronogr.

A tilatum, & Martinam resecta lingua, regno ejecit, extorresque egit.

Post Heraclonam in Constantem filium Constantini Heraclii nepotem imperium devolutum est, quod gessit annos viginti septem. Hic Martinum sanctissimum Romanum Pontificem Roma ignominiose Constantinopolim advectum, quod ejus sententiam, quæ unam in Christo voluntatem asserebat argueret, solum vertere Chersonem jussit, & Maximi Confessoris linguam manumque dexteram ademit, & multos alios recte sentientium flagellis, proscriptione, exilioque non aliam ob causam multavit. Deinceps Constantinopoli egressus, quod magno in odio apud Byzantinos B esset, Syracusas Siciliæ migravit, ibi ab Andrea nescio quo, dum in balneo lavatur, cado graviter capiti inflicto necatur.

Post Constantem Constantinus filius imperium gessit annos septemdecim. Germanum Patriarcham, prius ejus patre *Edit. Parif.* sublato, ejuravit, dictus est Pogona- *pag. 175.* tus, quod imberbis ad ulciscendam necem patris in Siciliam profectus, promissa barba redierit. Duos fratres tamquam eos, qui a populo Imperatores eo abnuente proclamarentur, naso mutilavit, & filium Justinianum corona condecoravit, ut simul cum eo imperaret. Anno decimo tertio ejus imperii generalis Synodus apud Constantinopolim CLXX Patrum congregata est adversus C Theodorum Pharanum Episcopum, Honorium Romanum, Cyrum Alexandrinum, Sergium, Pyrrhum, Paulum & Petrum Constantinopolitanos, aliosque, qui unam in Christo voluntatem, atque operationem affirmabant, quos anathemate feriit, duasque naturales voluntates, & duas naturales operationes in uno Christo Deo nostro esse, demonstrarique publicavit. Imperator viscerum morbo correptus animam exhalavit.

Post Constantinum imperium administravit Justinianus annum unum. Triclinium, quod dicitur Justiniani in palatio condidit. Tandem a Leontio præcisis naribus Chersonem solum vertere cogitur.

D Post Justinianum Leontius imperio præfuit annos tres. Joannem Patricium cum Romanorum classe adversus Agarenos in Africam mittit, qui hostibus fusis, Africaque in libertatem vindicata, redux sese domum recipiebat, sed exercitus malo Primatum consilio in animum solutum, ac liberum versus Joannem Patricium obtruncat, Imperatorem anathemate ferit, Apsimarumque Cybirræotarum Drungarium, quem Tiberium mutato nomine dici voluit, Imperatorem declarat. Tiberius per portam, quæ apud Blachernas est, proditores nactus, urbem ingressus Leontium captum, & naribus mutilatum in Dalmatarum monasterio ablegat.

E Post Leontium Apsimarus, Tiberius dictus, imperium occupat annos septem. Porro Justinianus opera Philippici naribus truncatus Chersone clanculum nonnullis secum devectis ad fauces Istri navigat. Cum pervenisset ad Terbelum Bulgarorum Ducem, rogatum mittit, ut sibi ad paternum, avitumque imperium recuperandum auxilia suppeditaret. Terbelus non auxilia modo, sed suam ipse operam præstat ad principem urbium us-

que progressus. Justinianus itaque paucis amicis consilio suo credito, cum iisdem per aquæductum, nonnullorum civium proditione, furtim aditum in urbem sibi parat, nec longius a sancta Anna, cui secundæ propter ipsum nomen fuit abiit, sedemque in ædibus Blachernensibus collocavit: eo cognito Apsimarus Apolloniadem cum magna vi pecuniarum aufugit. Verum Justinianus Leuntium & Apsimarum, hunc imperio pulsum, illum carceribus extractum pedibus conculcatos inter ludos Circenses pœna capitis mulctavit.

Edit. Paris. pag. 176.

Post Apsimarum rursus Justinianus imperium administrat annos septem. Tetbelo referens gratiam munera misit ingentia, eumque Romana illa regione, quam nunc Zagoriam vocant, donavit. Heraclium Apsimari fratrem, & omnes qui cum eo consenserant suspendio affecit. Callinicum Patriarcham oculis privatum Romam in exilium egit, & loco illius Cyriacum in insula Amastri degentem, quod imperii recuperationem prædixisset, Patriarcham Constantinopolitanum creavit. Adversus Chersonitas eorum in se dicteria ac contumelias dum imperio dejectus apud illas viveret, animo volvens, classem, cui Patricium Maurum præfecit, instrui, pararique jussit. Chersonitæ Justiniani fræno excusso Philippicum ibi Apsimari jussu exulantem, Nicephori filium cito, & cursim Imperatorem pronunciant. De eo Justinianus certior redditus magis, ac magis furore excanduit, metuque exterritus Sinopem usque procedit, ut res omnes accuratius resciscerct. Verum Philippico cum classiariis militibus ad urbem citius delato, Justinianus a suis omnibus desertus ad Demetrium se contulit: illum captum Philippicus confestim, ignominioseque neci tradit, & caput ejus Scythis misit. Tiberium quoque illius filiam obtruncat.

Post Justinianum Philippicus, qui Bardanes etiam dicebatur, imperavit annos duos. Illum Georgius Patricius cognomento Boraphus, & Theodorus Patricius Myka cum armatorum militum manu repente ex Thracia irruentes arreptum statim excæcant, & die sequenti convocata multitudine in magna Ecclesia Artemium Protasecretem Imperatorem denunciant.

Post Philippicum imperium tenuit Artemius, Anastasius etiam dictus, annos duos. Sub eo Germanus ex metropoli Cizyci in Constantinopolitanam sedem translatus est. Classis, quam ipse contra Agarenos expedierat, seditione facta imperium Artemio abrogant, Ducem suum interficiunt, sicque in dominam urbium gressus dirigunt. Cum Adramyttum pervenissent, Theodosium publicorum vectigalium exactorem, virum impium, rusticumque abreptum, Imperatorem creant. Hic cum in Thracias oras trajecisset, seditiosam civitatem per Blachernarum portam ingreditur. Artemius Nicæam fugiens, & securitate promissa habitum monachi induit, quem Theodosius Thessalonicæ exulare jussit. Cæterum Leo Isaurus Orientalium Dux pro Artemio propugnans Theodosio obedire noluit.

pag. 177.

Post Artemium Theodosius Atramyttenus imperium regit annos duos. Sub eo Leo Isaurus a Masula Saracenorum

A Βασιλείας παραγενόμενος. εἰσῆλθεν οὖν Ἰουστινιανὸς σὺν ὀλίγοις ὁμοφύλοις διὰ τοῦ ἀγωγοῦ προδοσίᾳ τινῶν ἐκ τῆς πόλεως, καὶ ἐξῆλθεν εἰς τὴν Ἁγίαν Ἄνναν τὴν λεγομένην δι' αὐτὸν δευτέραν, καὶ κατεσκήνωσεν ἐν τοῖς παλατίοις τῶν Βλαχερνῶν. ὅπερ μαθὼν ὁ Ἀψίμαρος εἰς Ἀπολλωνιάδα φεύγει, λαβὼν μεθ' ἑαυτοῦ πολλὰ χρήματα. Ὁ οὖν Ἰουστινιανὸς τόν τε Λεόντιον, καὶ Ἀψίμαρον, τὸν μὲν τῆς Βασιλείας, τὸν δὲ τῆς φυλακῆς ἐξαγαγών, καὶ ἀμφοτέρους τοῖς ποσὶν αὐτοῦ ὑποθεὶς, ἐν τῷ Ἱπποδρομίῳ κεφαλικῶς αὐτοὺς ἐτιμωρήσατο.

Μετὰ δὲ Ἀψίμαρον ἐβασίλευσε πάλιν Ἰουστινιανὸς ἔτη ζ΄. δῶρα πολλὰ τῷ Τέρβελι δοὺς, καὶ χώραν Ῥω-
B μαϊκὴν τὴν λεγομένην νῦν Ζαγόρια. Ἡράκλειον δὲ ἀδελφὸν αὐτοῦ, καὶ τοὺς συνασπιζομένους αὐτῷ ἀνεσκολόπισεν. Καλλίνικον δὲ τὸν Πατριάρχην τυφλώσας ἐν Ῥώμῃ ἐξώρισεν. ἀνθ' οὗ προεβάλετο Κυριακὸν τὸν ἐν τῇ νήσῳ Ἀμάστριδος ὄντα, ὡς προαγορεύσαντα αὐτῷ τὴν τῆς Βασιλείας ἀποκατάστασιν. Χερσωνίταις δὲ μνησικακῶν ἀπὸ τῆς ἐξορίας στόλον ἐξώπλισεν κατ' αὐτῶν, καὶ ἀπέστειλε, τῷ πατρικίῳ Μαύρῳ τοῦτον ἐγχειρισάμενος. οἱ δὲ τὸν μὲν Ἰουστινιανὸν καθύβρισαν, τὸν δὲ ἐκεῖσε ἐξόριστον ὄντα ὑπὸ Ἀψιμάρου Φιλιππικὸν υἱὸν Νικηφόρου πατρικίου Βασιλέα θᾶττον ἀνηγόρευσαν. ὅπερ γνοὺς ὁ τύραννος Ἰουστινιανὸς, καὶ ἐπὶ πλεῖον θυμωθεὶς, καὶ φοβηθεὶς ἀνῆλθε μέχρι Σινώ-
C πης ἀκριβέστερον περὶ τούτου μαθησόμενος. τοῦ δὲ Φιλιππικοῦ σὺν στόλῳ καταλαβόντος, Ἰουστινιανὸς πρὸς τὸν Δημήτριον ἀπέδρα, καταλειφθεὶς ὑπὸ πάντων. ὃν αὐτίκα Φιλιππικὸς χειρωσάμενος ἀνεῖλεν αἰσχρῶς, καὶ τὴν κεφαλὴν αὐτοῦ τοῖς Σκύθαις ἐξέπεμψεν. ἀναιρεῖ δὲ καὶ Τιβέριον τὸν υἱὸν αὐτοῦ.

Μετὰ δὲ Ἰουστινιανὸν ἐβασίλευσε Φιλιππικὸς, ὁ καὶ Βαρδάνης, ἔτη β΄. ὃν Γεώργιος πατρίκιος, ὁ ἐπίκλην Βόραφος, καὶ Θεόδωρος πατρίκιος ὁ Μύαξ μετὰ ταξεωτῶν αἴφνης ἐκ τῆς Θρᾴκης ἐλθόντες, καὶ εἰσπηδήσαντες ἁρπάζουσι, καὶ εὐθὺς τυφλοῦσι, καὶ τῇ ἐπαύριον συναχθέντος τοῦ λαοῦ ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ ἔστεψαν Ἀρτέμιον Πρωτασηκρῆ-
D τιν.

Μετὰ δὲ Φιλιππικὸν ἐβασίλευσεν Ἀρτέμιος, ὁ καὶ Ἀναστάσιος, ἔτη β΄ ἐφ' οὗ καὶ Γερμανὸς ἐκ τῆς μητροπόλεως Κυζίκου μετετέθη εἰς Κωνσταντινούπολιν Πατριάρχης. ὁ δὲ κατὰ τῶν Ἀγαρηνῶν παρ' αὐτοῦ σταλεὶς στόλος στασιάσας, καὶ τὸν Βασιλέα ἀνασκάψας, καὶ τὸν οἰκεῖον ἄρχοντα ἀνελὼν, ἀνήρχετο κατὰ τῆς Βασιλίδος πόλεως. ἐλθόντες δὲ ἐν τῷ Ἀδραμύτῳ εὗρον ἐκεῖσε Θεοδόσιον ἐκλήπτορα τῶν δημοσίων φόρων, ἄνδρα δυσσεβῆ, καὶ ἀπράγμονα, καὶ ἀνηγόρευσαν αὐτὸν Βασιλέα. ὃς ἐπὶ τὰ Θρᾳκῷα περάσας μέρη ἐν ὄχλῳ βαρεῖ τὴν πόλιν καταλαμβάνει, καὶ διὰ τῆς τῶν Βλαχερνῶν πόρτης εἰσίει. ὁ
E Ἀρτέμιος ἐν Νικαίᾳ φυγὼν, λόγον τε ἀπαθείας λαβὼν, τὸ μοναδικὸν περιεβάλετο σχῆμα, ὃν Θεοδόσιος ἐν Θεσσαλονίκῃ ἐξώρισεν. Λέων δὲ ὁ καὶ Ἴσαυρος, καὶ τῶν ἀνατολικῶν στρατηγὸς ὑπερμαχῶν Ἀρτεμίῳ οὐχ ὑπετάγη Θεοδοσίῳ.

Μετὰ δὲ Ἀρτέμιον ἐβασίλευσε Θεοδόσιος ὁ Ἀδραμυτηνὸς, ἔτη β. ἐφ' οὗ Λέων ὁ Ἴσαυρος ὑπὸ Μαλσάβα τοῦ τῶν Σαρακηνῶν ἀρχηγοῦ

συγκραπηθεὶς, καὶ παρὰ πάντων εὐφημηθεὶς, μετὰ πλείστης στρατιᾶς καταλαμβάνει τὴν Χρυσόπολιν. ὁ δὲ Θεοδόσιος λόγον ἀπαθείας παρ᾽ αὐτοῦ λαβὼν παρεχώρησεν αὐτῷ τῆς Βασιλείας κληρικὸς σὺν υἱῷ γενόμενος. τὸν αὐτὸν δέ φασιν οἱ ἱστορικοὶ καὶ Χρυσόγραφον εἶναι, καὶ γεγενῆσθαι Ἐπίσκοπον Ἐφέσου ὑπ᾽ αὐτοῦ.

Μετὰ δὲ Θεοδόσιον ἐβασίλευσε Λέων ὁ Ἴσαυρος, ὁ καὶ Κόνων ἔτη κε΄. πολλὰ κακὰ τοῖς Χριστιανοῖς ἐνδειξάμενος διὰ τὴν τῶν ἁγίων εἰκόνων καθαίρεσιν. ἔστεψε δὲ τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον. καὶ νόσῳ δυσεντερίας ὁ παμμίαρος καὶ ἀλάστωρ περιπεσὼν τὴν ψυχὴν αἰσχρῶς ἀπέρραξεν.

Μετὰ δὲ Λέοντα ἐβασίλευσε Κωνσταντῖνος υἱὸς αὐτοῦ ἔτη λδ΄. ἐκ δεινοτάτου λέοντος ποικιλωτάτη πάρδαλις, ἐκ σπέρματος ὄφεως ἀσπὶς δεινὴ, καὶ ὄφις πετόμενος, ὁ ἐκ Δὰν Ἀντίχριστος. οὗτος τὴν πατρῴαν Βασιλείαν ἅμα, καὶ δυσσέβειαν διαδεξάμενος, πλεῖον καὶ μᾶλλον ἐκ Θεοῦ, καὶ τῆς Θεομήτορος, καὶ πάντων τῶν ἁγίων ἐμίσατο. ἀλλ᾽ αἰσχρῶς καὶ οὗτος τὴν ψυχὴν ἀπορρήξας, θνήσκει ψυχῇ, καὶ σώματι, βοῶν ὀδυνηρῶς, καὶ λέγων, ζῶν πυρὶ παρεδόθην διὰ τὴν Θεοτόκον Μαρίαν. ἀλλ᾽ ἀπὸ τοῦ νῦν τιμάσθω, καὶ ἀνυμνείσθω, ὡς Θεοτόκος ἀληθὴς οὖσα.

Μετὰ δὲ Κωνσταντῖνον ἐβασίλευσεν ὁ ἐκ τῆς Χαζάρας υἱὸς αὐτοῦ Λέων ἔτη ε΄. ἔστεψε δὲ καὶ τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον. ὁ οὖν Λέων λιθομανὴς ὑπάρχων ἠράσθη τοῦ στέμματος Μαυρικίου καὶ λαβὼν ἐφόρεσεν αὐτὸ, καὶ προῆλθεν. ὅθεν ἀπηνθρακώθη δεινῶς ἡ κεφαλὴ αὐτοῦ, καὶ σφοδροτάτῳ πυρετῷ συνεχόμενος ἐτελεύτησε τῆς ἱεροσυλίας ἐπίχειρα κομισάμενος.

Μετὰ δὲ Λέοντα ἐβασίλευσε Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ ἔτη ιζ΄. ἐφ᾽ οὗ τὸ τῆς εὐσεβείας δόγμα ἔλαβεν ἀρχὴν παρρησιάζεσθαι. καὶ ὁ Λόγος τοῦ Θεοῦ πλατύνεσθαι. μετὰ δὲ τῆς μητρὸς αὐτοῦ Εἰρήνης ἐβασίλευσεν. ἥτις καὶ τὸ ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς ἀρθὲν στέμμα πάλιν τῇ Ἐκκλησίᾳ προσήνεγκεν ἐγκαλλωπίσασα διὰ μαργαριτῶν. ἐφ᾽ ὧν χειροτονεῖται Πατριάρχης Ταράσιος ὁ ἀπὸ Ἀσηκρητῶν. γέγονε δὲ καὶ ἡ ἑβδόμη Σύνοδος τῶν τν΄. ἁγίων πατέρων συνελθόντων ἐν Νικαίᾳ τὸ δεύτερον κατὰ τῆς πρώην ἀθέσμως συναθροισθείσης παρὰ Κωνσταντίνου ἐφ᾽ ὕβρει καὶ καταστροφῇ τῶν ἁγίων εἰκόνων. ἀναθεματίσασα δὲ τοὺς ταύτης ἐξάρχους τήν τε τῶν σεπτῶν εἰκόνων ἀρχαίαν παραδεδομένην τῇ Ἐκκλησίᾳ τιμὴν ἀνανεώσασα ὥρισε παραπλησίως ταύτας τῷ σταυρῷ προσκυνεῖσθαι. ὁ δὲ Κωνσταντῖνος κατὰ Ἀράβων ἐξελθὼν, καὶ ὑποστρέψας ἐν τῷ παλατίῳ κρατηθεὶς παρὰ τῶν μεγιστάνων, τυφλοῦται βουλῇ τῆς αὐτοῦ μητρὸς Εἰρήνης. ἥτις μετ᾽ αὐτὸν ἐκράτησε τῆς Βασιλείας ἔτη ε΄.

Μετὰ δὲ Εἰρήνην ἐβασίλευσε Νικηφόρος ὁ ἀπὸ γενικῶν ἔτη η΄. ἔστεψε δὲ καὶ τὸν υἱὸν αὐτοῦ Σταυράκιον. ἐφ᾽ οὗ Ταρασίου τελευτήσαντος, Νικηφόρος ὁ ἁγιώτατος χειροτονεῖται. ὁ δὲ Βασιλεὺς Νικηφόρος κατὰ Βουλγάρων ἐκστρατεύσας ὑπ᾽ αὐτῶν ἀναιρεῖται.

Μετὰ δὲ Νικηφόρον ἐβασίλευσε Σταυράκιος υἱὸς αὐτοῦ, ἔτος α΄. καὶ μῆνας δύο.

Joelis Chronogr.

principe seductus, & ab omnibus Imperator salutatus, ingenti copiarum vi Chrysopolim occupat. Cæterum Theodosius imperium cessit Leoni, a quo cum se in posterum tuto vitam agere posse promissum accepisset, Clericorum se albo una cum filio adscripsit. Eumdem & Chrysographum fuisse, & Episcopum Ephesinum creatum ab eodem historia proditum est.

Post Theodosium imperium invasit Leo Isaurus, qui & Cono annos viginti quinque. Hic multis damnis, malisque Christianos affecit, ut venerandarum imaginum cultum aboleret. Filium suum Constantinum Imperatorem proposuit. Verum hæc flagitiosissima execrandaque reipublicæ pestis viscerum morbo correptus, ignominiose vitam abjecit.

Leoni successit Constantinus filius in administratione Imperii per annos triginta quatuor: ex horrendissimo leone versutissimus pardus, ex semine serpentis aspis dira, & fulmineus serpens, ex Dano Antichristus. Hic paterni imperii, atque impietatis hæres magis, ac magis cultum divinum, Dei matris gloriam, Sanctorumque omnium aversabatur. Sed hic quoque turpi letho animam profudit, cum corpore extincto animus quoque æterno supplicio condemnatus. Ideo vivus miserabiliter ejulans, mœrensque conquerebatur. *Vivus igni traditus sum propter Deiparam Mariam, sed ab hoc tempore in honore, ac veneratione esta, cum vere Deipara sit.*

Constantinum secutus est in imperio Leo ex Chazara filius per annos quinque. Is filium Constantinum coronavit. Verum cum gemmarum ardore nimio insaniret, ad coronam Mauritii studio inflammato raptus est, ablataque ab Ecclesia exornatus in publicum prodiit. Hinc caput illius carbunculorum vehementissimo morbo exarsit, ipse rabidissime hærenti febri jactatus vitæ finem posuit, sacrilegii pœnis persolutis.

Leoni Constantinus filius successit, tenuitque imperium annos septemdecim. Sub eo veræ pietatis dogmata radicibus actis propagari, verbumque Dei laxius, numerosiusque dilatari cœpit. Cum matre Irene imperium administravit. Ea coronam a marito sublatam unionibus exornatam rursus Ecclesiæ restituit. Sub his Tarasius a secretis Patriarcha eligitur, & septima trecentorum quinquaginta sanctorum Patrum apud Nicæam secundum congregatorum Synodus adversus primam contra jus, fasque a Constantino in contumeliam abolitionemque sacrarum imaginum coactam, celebrata, illius auctores anathemate ferit, venerandarum imaginum antiquum avitumque honorem in Ecclesia restitutum, eas quemadmodum & Crux adorari decrevit. Constantinus porro cum in Arabas exercitum duxisset, regressus in Palatium a primatibus consilio matris Irenes oculis privatur; quæ post eum imperium tenuit annos quinque.

[*Edit. P. rif. pag. 178.*]

Post Irenem imperavit Nicephorus ex Genicis annos octo, Stauracium filium coronavit. Ejus imperio Tarasio vita functo sanctissimus Nicephorus eligitur. Imperator a Bulgaris, adversus quos duxerat exercitum, obtruncatur.

Post Nicephorum Stauraclus filius imperium rexit annum unum & menses duos.

Stauracio successit pissimus Michael Nicephori gener, cognomento Raogabe, imperavit annum unum, menses novem, a Nicephoro Patriarcha coronatus.

Michaelem secutus est Leo Armenius, qui postea perduellis fuit, imperavit annos septem, menses quinque. Coronatur a Nicephoro Patriarcha, cum prius scripto rectam de fide sententiam confirmasset, quam postmodum violavit, & adversus Imagines vir contumacissimus rabide desæviens sanctissimum Nicephorum solum vertere jussit, & plurimos alios veræ pietatis adsertores innumeris malis afflixit. Sed divino tandem judicio pœnas, quas meruit, dedit: ipso enim Nativitatis nostri Servatoris die in templo discerptus in membra, impiam, ac miseram animam exhalavit.

Post hunc Michael Amorræus regnavit annos octo & menses novem, filium Theophilum coronavit. Tandem urinæ difficultatibus, renumque doloribus malus male periit. Illi in imperio successere Theophilus filius cum matre Euphrosyna,

Post Michaelem imperium administravit Theophilus filius, novus Baltasar in res sacras injuriosus, ac facinorosus, moribus profligatissimis annos duodecim, menses tres. Dysenteria excessit. Mater ejus Euphrosyna sponte Palatio cedens in monasterium proprium, quod Gastria cognominatum, sese recepit, ibi quieti operam dabat. Imperator Michaelem filium in magna Ecclesia Imperatorem coronat. Verum, ut dictum est, dysenterico morbo male ac miserabiliter extincti, infelix cadaver in templum sanctorum Apostolorum delatum est.

Edit. Paris. pag. 179.

Post Theophilum imperavit Michael filius Methystas, hoc est Temulentus dictus, cum matre Theodora annos quatuordecim, solus annos decem, cum Basilio annum unum, menses quatuor. Hic paterni imperii hæres, paterna, eaque execranda hæresi de medio sublata, jam a suo principio piam, rectamque fidem promulgat, sanctumque Methodium Patriarcham designat. Is cum in Domino obdormisset, loco illius Ignatius Michaelis Curopalatæ filius sufficitur; illum Bardas Cæsar cum ab eo ob scelus, in quod provolvebatur reprehenderetur, vi ab Ecclesia ejecit. Ejus in locum Patriarcham Photium substituit, Michael vero jussu Basilii occiditur.

Basilius Macedo cognomento Cephalas, cum Michaele imperium rexit annum unum, menses quatuor, solus annos novemdecim. Photio, quod ab eo propter Michaelis cædem reprehenderetur, pulso, sanctum Ignatium secundo Patriarcham designat. Ignatio mortuo rursus sufficitur Photius. Tandem cum isset venatum, immanem cervam alicunde venientem persequebatur, illa conversa Imperatorem cornibus medium arreptum de equo projicit. Interim quidam occurrens ense cingulo perrupto Imperatorem periculo liberat. Verum ex illa cervæ laceratione in ægritudinem incidens vitam finit, Leone, & fratre Alexandro Imperatoribus propositis.

Leo imperavit annos viginti quinque, & menses octo. Stephanus illius frater Clericorum, Syncellorumque albo adscriptus apud Patriarcham Photium educabatur, & scientiis erudiebatur. Sed Photio nonnullas ob causas solio ejecto Im-

A Μετὰ δὲ Σταυράκιον ἐβασίλευσεν ὁ εὐσεβέστατος Μιχαὴλ, καὶ γαμβρὸς αὐτοῦ, ᾧ Ῥαγγαβὲ ἦν ἡ προσηγορία, ἔτος α΄. καὶ μῆνας θ΄. στεφθεὶς ὑπὸ Νικηφόρου Πατριάρχου.

Μετὰ δὲ Μιχαὴλ ἐβασίλευσε Λέων ὁ Ἀρμένιος, ὃ καὶ παραβάτης γεγονὼς ὕστερον ἔτη ζ΄. καὶ μῆνας ε΄. στεφθεὶς ὑπὸ Νικηφόρου Πατριάρχου, βεβαιώσας πρότερον ἐγγράφως περὶ τῆς ἑαυτοῦ ὀρθοδοξίας, ἣν ὕστερον ἀθετήσας, καὶ κατὰ τῶν ἁγίων εἰκόνων λυττήσας ὁ παμβέβηλος τόν τε ἁγιώτατον Νικηφόρον ἐξώρισε, καὶ πολλοὺς ἄλλους τῶν τῆς εὐσεβείας προμάχων μυρίοις δεινοῖς περιέβαλεν. ὃν ἡ θεία δίκη μετῆλθε κατὰ τὴν ἑορτὴν τῶν γενεθλίων τοῦ Σωτῆρος ἡμῶν ἔνδον τοῦ ναοῦ
B μεληδὸν κατακοπέντα. καὶ ὑπὸ τὴν ἀνόσιον αὐτοῦ καὶ ἀθλίαν ψυχὴν ἀπορρήξαντα.

Μετὰ δὲ ταῦτα ἐβασίλευσε Μιχαὴλ ὁ Ἀμορραῖος ἔτη η΄. καὶ μῆνας θ΄. ἔστεψε δὲ καὶ τὸν υἱὸν αὐτοῦ Θεόφιλον· ὃς ὕστερον ἐκ δυσουρίας, καὶ τῆς τῶν νεφρῶν ἀλγηδόνος κακῶς ἀπηλλάγη τοῦ ζῆν. ἔσχε δὲ τὴν ἀρχὴν ἀντ᾽ αὐτοῦ Θεόφιλος ὁ υἱὸς αὐτοῦ μετὰ τῆς μητρὸς αὐτοῦ Εὐφροσύνης.

Μετὰ οὖν Μιχαὴλ ἐβασίλευσε Θεόφιλος ὁ υἱὸς αὐτοῦ, ὁ νέος Βαλτάσαρ τῶν ἁγίων ὑβριστὴς, καὶ καθαιρέτης, καὶ βέβηλος, ἔτη ιβ΄. καὶ μῆνας γ΄. καὶ ἀπέθανε δυσεντερικῶς. ἡ δὲ τούτου μήτηρ Εὐφροσύνη ἑκουσίως κατελθοῦσα τοῦ παλατίου ἐν τῇ μονῇ αὐτῆς, τῇ ἐπώνυμον τὰ Γάστρια, ἡσύχαζεν. αὐτὸς δὲ στέφει τὸν υἱὸν αὐτοῦ Μι-
C χαὴλ ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, ἡ δυσεντερικῇ νόσῳ, ὡς εἴρηται, κακῶς, καὶ ἀθλίως τὴν ψυχὴν ἀπορρήξαντος, ἀπεκομίσθη τὸ δύστηνον αὐτοῦ σῶμα εἰς τὸν ναὸν τῶν ἁγίων Ἀποστόλων.

Μετὰ δὲ Θεόφιλον ἐβασίλευσε Μιχαὴλ ὁ υἱὸς αὐτοῦ, ὁ λεγόμενος Μεθυστὴς, σὺν τῇ μητρὶ αὐτοῦ Θεοδώρᾳ ἔτη ιδ΄. μόνος δὲ ἔτη ι΄. σὺν τῷ Βασιλείῳ δὲ ἔτος α΄. καὶ μῆνας δ΄. ὃς τὴν πατρῴαν Βασιλείαν διαδεξάμενος, τὴν δυσσεβῆ αὐτοῦ αἵρεσιν ἀποσεισάμενος τὴν ἔκπαλαι Θεοφίλου, καὶ ὀρθὴν πίστιν ἀνεκήρυξε, καὶ τὸν ἐν Ἁγίοις Μεθόδιον Πατριάρχην προεβάλετο. τούτου δὲ πρὸς Κύριον ἐκδημήσαντος, χειροτονεῖται ἀντ᾽ αὐτοῦ Ἰγνάτιος υἱὸς Μιχαὴλ τοῦ Κουροπαλάτου, ὃν ὁ Καῖσαρ Βάρδας, ὡς παρ᾽ αὐτοῦ
D ἐλεγχόμενος ἐπί τινι μύσει παρ᾽ αὐτοῦ πραττομένῳ, βίᾳ τῆς Ἐκκλησίας ἐξέωσεν ἀντ᾽ αὐτοῦ δὲ χειροτονεῖ Πατριάρχην τὸν Φώτιον. ὁ δὲ Μιχαὴλ ἀναιρεῖται βουλῇ Βασιλείου.

Βασίλειος ὁ Μακεδὼν, ὁ λεγόμενος Κεφαλᾶς, ἐβασίλευσε μετὰ Μιχαὴλ μὲν ἔτος α΄. καὶ μῆνας δ΄. μόνος δὲ ἔτη ιθ΄ οὗτος Φώτιον τοῦ θρόνου ἐξώσας, ὡς ἐλεγχθεὶς ὑπ᾽ αὐτοῦ διὰ τὸν τοῦ Μιχαὴλ φόνον, προχειρισάμενος τὸν ἐν ἁγίοις Ἰγνάτιον Πατριάρχην τὸ δεύτερον. τούτου δὲ τελευτήσαντος, πάλιν Φώτιος προχειρίζεται. τοῦτον τὸν Βασιλέα ἐξελθόντα πρὸς τὸ κυνηγῆσαι, καὶ ἔλαφον παμμεγέθη ἀναφανεῖσαν ποθὲν καταδιώκοντα, ἐπιστραφεῖσα γὰρ τοῦτον μετὰ τῶν κεράτων αὐτῆς τοῦ ἵππου ἐκ τῆς ζώνης. φθάσας δέ τις καὶ σπάθῃ τὸ ζωνίον ἐκκόψας ἐρρύ-
E σατο αὐτόν. ἐκ τοῦ τραύματος οὖν τοῦ ἐλάφου σπαράγματος νοσηλευθεὶς, τελευτᾷ Λέοντα καταλιπὼν Αὐτοκράτορα, καὶ τὸν αὐτοῦ ἀδελφὸν Ἀλέξανδρον.

Ὁ δὲ Λέων ἐβασίλευσεν ἔτη κε΄. καὶ μῆνας η΄. Στέφανος δὲ ὁ αὐτοῦ ἀδελφὸς κληρικὸς ὢν καὶ Σύγκελλος, ἦν μετὰ Φωτίου Πατριάρχου ἀνατρεφόμενος παρ᾽ αὐτῷ, καὶ παιδευόμενος. τὸν οὖν Φώτιον διά τινας αἰτίας ὁ Βασιλεὺς τοῦ θρόνου κα-

παραγαγὼν, Στέφανον τὸν ἑαυτοῦ ἀδελφὸν Πατριάρχην προβάλλεται. τούτου δὲ τῇδε μεταστάντος, ὁ ἀντ' αὐτοῦ χειροτονεῖται Ἀντώνιος ἐπιλεγόμενος Καυλέας, ἡ δὲ Αὔγουστα Θεοφανὼ τελευτᾷ βασιλεύσασα ἔτη ιβ΄. ἀντ' αὐτῆς δὲ στέφει ὁ Βασιλεὺς Ζωὴν τὴν θυγατέρα Ζαούτζα, καὶ εὐλογεῖται μετ' αὐτῆς. Ἀντωνίου δὲ τοῦ Πατριάρχου τελευτήσαντος, χειροτονεῖται Νικόλαος Πατριάρχης, Μυστικὸς χρηματίσας τοῦ Βασιλέως. οὗ διὰ τὸ μὴ συνθέσθαι τῇ τοῦ Βασιλέως πολυγαμίᾳ, βίᾳ τοῦ θρόνου καταβιβασθέντος, χειροτονεῖται ἀντ' αὐτοῦ Πατριάρχης Εὐθύμιος Σύγκελλος, ὅν φασιν ἐκ θείας ἀποκαλύψεως τοῦτο δέξασθαι, ὡς τοῦ Βασιλέως βουλομένου αἵρεσιν, καὶ νόμον θεῖναι, τὸ μέχρι τριῶν μὲν ἀνδρῶν, τεσσάρων δὲ γυναικῶν τὸ γάμον γίνεσθαι. στέφει οὖν ὁ Βασιλεὺς Λέων τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον. κοιλιακῷ δὲ νοσήματι περιπεσὼν τελευτᾷ, προχειρισάμενος Ἀλέξανδρον τὸν αὐτοῦ ἀδελφόν, πολλὰ δεηθεὶς αὐτοῦ φυλάττειν τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον.

Ἀλέξανδρος οὖν ἐβασίλευσεν ἔτος α΄. καὶ ἡμέρας κθ΄. σὺν Κωνσταντίνῳ υἱῷ Λέοντος, ὃς ῥομφαίᾳ θεηλάτῳ πληγεὶς αἵματος πολλοῦ ἐκ τε τῶν ῥινῶν, καὶ τῶν αἰδοίων ἐκφερομένου, μετὰ δύο ἡμέρας κακῶς ἐτελεύτησε, ἐάσας τὴν Βασιλείαν Κωνσταντίνῳ υἱῷ Λέοντος, καὶ ἐπιτρόπους αὐτῷ καταλιπών.

Κωνσταντῖνος δὲ ὁ πρῶτος Πορφυρογέννητος, τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος Λέοντος, παῖς ἔτι τυγχάνων. ἕβδομον γὰρ ἦν αὐτῷ τῆς ἡλικίας ἔτος ὑπὸ Ἀλέξανδρον θεῖον αὐτοῦ ἐν τῇ Βασιλείᾳ καταλέλειπτο, ὑπὸ ἐπιτρόπους πολλῶν. ἐβασίλευσεν οὖν σὺν τῇ μητρὶ αὐτοῦ Ζωῇ, τῇ Καρβωνοψίνᾳ ἔτη ζ΄. ἅμα δὲ Ῥωμανῷ πενθερῷ αὐτοῦ, ὢν ἐν ὑποταγῇ, ἔτη κε΄. μονοκράτωρ ἔτη μ΄. ὡς εἶναι τὰ πάντα τῆς βασιλείας αὐτοῦ ἔτη ξε΄. ὃς τὴν οἰκείαν μητέρα ὡς ἐπιβουλεύουσαν Ῥωμανῷ διὰ πεφαρμαγμένων βρωμάτων φωράσας, ταύτην μὲν τοῦ παλατίου καταβιβάζει, Ῥωμανὸν δὲ τὸν Λακαπηνόν, τὸν καὶ Ἀβάστακτον, τῇ τοῦ Καίσαρος ἀξίᾳ τιμᾷ, εἶτα καὶ τὸ τῆς Βασιλείας αὐτὸν στέφει διαδήματι, ὃς μετ' οὐ πολὺ τὸν βασιλέα Κωνσταντῖνον διά τινων ἐπιβουλὴν αὐτῷ κατασκευάζοντα μαθών, καὶ προφάσεως λαβόμενος αὐτὸν μὲν ὑποβιβάζει, καὶ δεύτερον καθιστᾷ, ἑαυτὸν δὲ ἄγει εἰς τὸ ἔμπροσθεν. μετὰ ταῦτα δὲ καὶ τὸν υἱὸν αὐτοῦ Θεοφύλακτον τῷ πατριαρχικῷ θρόνῳ ἐγκαθιδρύει. ἐπὶ τῆς αὐτοῦ Βασιλείας καὶ τὸ τοῦ Χριστοῦ ἅγιον ἐκμαγεῖον ἐξ Ἐδέσσης ἐν Κωνσταντινουπόλει ἀνεκομίσθη. ἀλλ' ὕστερον τὸν Βασιλέα Ῥωμανὸν οἱ τούτου παῖδες τοῦ παλατίου καταγαγόντες, ἐν τῇ Πρώτῃ νήσῳ ἐξώρισαν, ἔνθα καὶ τελευτᾷ. οὓς πάλιν ὁ τούτου γαμβρὸς Κωνσταντῖνος, μήπως καὶ κατ' αὐτοῦ τὰ ὅμοια διαπράξωνται, λογισάμενος, ἀναρπάσας τοῦ παλατίου καταγαγών, καὶ ἐν ταῖς πλησιαζούσαις νήσοις περιορίσας κληρικοὺς ἀπέκειρε σὺν αὐτοῖς βασιλεύσας ἡμέρας μγ΄. Κωνσταντῖνος ὁ τοῦ Λέοντος υἱὸς ὁ πρῶτος Πορφυρογέννητος τὰ ὕποπτα ἐκ μέσου περιελών, καὶ μόνος τὴν Αὐτοκράτορα περιζωσάμενος ἀρχὴν τὸ δεύτερον κατὰ τὸ θεῖον πάσχα, καὶ τῷ υἱῷ Ῥωμανῷ περιτίθησι διάδημα, Θεοφυλάκτου τοῦ Πατριάρχου τὰς εὐχὰς τελέσαντος, εὐνούχισε δὲ καὶ Ῥωμανόν, τὸν τοῦ Στεφάνου υἱόν, ἔτι δὲ καὶ Βασίλειον τὸν ἐκ δούλης Βουλγάρας ἀποτεχθέντα Ῥωμανῷ τῷ γέροντι. Μιχαὴλ δὲ τὸν υἱὸν Χριστοφόρου τοῦ Βασιλέως ἀπέκειρε κληρικόν. Θεοφύλακτος δὲ ὁ Πατριάρχης ιγ΄. μὲν ἐτῶν ὢν ὅτε διάκονος ἐχειροτονήθη, ις΄. δὲ ὅτε εἰς τὸν Πατ-

A perator Stephanum fratrem Patriarcham creat. Quo defuncto in locum ejus sufficitur Antonius cognomento Cauleas, Augusta item Theophano cum regnasset annos duodecim, morbo extinguitur: in locum illius Zoem, Tzautzæ filiam Imperator coronat, & titu Ecclesiæ sacro sibi matrimonio jungit. Cum ex hac vita decessisset Antonius, Nicolaus Patriarcha secretioris consilii Senator Patriarcha eligitur. Is cum pluribus imperatoriis nuptiis adversaretur, Throno extruditur, substituiturque Euthymius Syncellus, Eum divino consilio tantum munus subiisse tradunt, cum Imperatori novam condere legem, hæresimque suscitare in animo esset, ut videlicet nuptiæ ad tertium B usque virum, ad quartam vero uxorem protendi possent. Interea Leo Constantinum filium imperatoria corona donat. Tandem imperator cœliaco morbo correptus Alexandrum fratrem Imperatorem designat, multis prius deprecatus, ut Constantinum filium servaret incolumem, & sic moritur.

Edit. Paris. pag. 180.

Alexander una cum Constantino Leonis filio annum unum & dies viginti novem regnavit, qui divina framea percussus sanguine multo ex naribus, pudendisque effluente, post duos dies letho malo emoritur, Constantino Leonis filio imperium, necnon curatores relinquens.

Constantinus primus Porphyrogenneta, cum illius pater Leo diem obiisset, C puer adhuc, namque septimum ætatis annum agebat, ab Alexandro avunculo in imperio relinquitur curatoribus obnoxius. Imperavit itaque cum matre Zoe Carbonopsina annos septem cum Romano socero, illius voluntati asserviens annos viginti quinque, solus annos quadraginta, ut imperii illius anni simul omnes fuerint sexaginta quinque. Hic deprehensam matrem venenatis cibis vitæ Romani insidiari, regia pellit: Romanum Lecapenum, cui & Abastacto nomen, Cæsaris dignitate exornat, deinceps & imperii diademate coronat, qui non multo post Constantinum Imperatorem sibi insidias parare ab aliquibus edoctus, occasione arrepta de gradu dejicit, & se- D cundo post se loco collocat, sibi primas arrogans: postea Theophylactum filium in sedem Patriarchalem promovet. Sub eius imperio sancta Christi imago Edessa Constantinopolim advehitur. Tandem Romanus a propriis filiis Palatio ejectus ad Protem insulam exulatum mittitur, ubi excessit e vita; quos rursus illius gener Constantinus, ne contra se similia auderent, raptos e regia pellit, & vicinas insulas ablegatos comis detonsis, Clericorum albo adscripsit, postquam cum illis regnasset dies quadraginta tres: Constantinus itaque Leonis filius, & primus Porphyrogenneta, suspicione omni de medio sublata, & secundum solus imperio potitus, sacro die Paschatis Romano filio, Patriarcha Theophylacto preces fundente, E diadema imponit, Romanumque Stephani filium evirávit, necnon & Basilium ex serva Bulgara, Romano seniore progenitum, & Michaelem Christophori filium, ablata coma Clericum fecit. Verumtamen Theophylactus Patriarcha annos natus tredecim, Diaconus ordinatur, anno vero ætatis decimo sexto, in Patriarchale solium promovetur per annos viginti tres & dies viginti quinque, ma-

le indigneque Patriarchatu administrato animam exhalat, & in ejus locum sufficitur Polyeuchus monachus. Constantino imperante Joannis Præcursoris veneranda manus Antiochia advehitur, & corpus S. Gregorii Theologi. Hic ergo Constantinus, ut fassi sumus, solus imperio administrato per annos quindecim in morbum incidens diem obit.

Edit. Paris. pag. 181.

Post Constatinum ad Romanum illius filium, qui & puer dicebatur, imperium delatum est, qui morbo conflictatus ex hominum vita migravit, annorum viginti quatuor, imperii anno tertio, mense quarto, die quinto.

Post Romanum, imperium accipiunt Basilius, & Constantinus filii cum Theophanone matre, imperarunt menses quinque cum Josepho Bringa, qui tum plurimum apud eum valebat.

His successit in imperio Nicephorus Phocas a Polyeucho Patriarcha coronatus, qui & Theophanonem sibi legitimo matrimonio copulat, & particulam vestis Joannis Baptistæ Berrœæ inventam, Constantinnpolim asportavit. Advexit item tegulam, in qua erat imago Christi Dei nostri, non humana arte, nec manu expressam Hierapoli, dum urbem diripit, repertam, & capillorum Joannis Baptistæ cincinnum unum, adhuc sanguine madidum. Hic cum regnasset annos sex, cnnsilio Imperatricis Theophanonis a Tzimisce, & conjuratis in Palatio obtruncatur.

Post hunc imperium occupat Joannes Tzimisces, quo cum simul imperabant Basilius, & Constantinus Romani filii. Tzimisces sibi matrimonio copulat Theodoram Romani sororem, Constantini Porphyrogenneti filiam, a Polyeucho Patriarcha imperatoriis insignibus donatur cum prius illi obtemperasset, Nicephorique parricidas de medio sustulisset, Theophanonem palatio ejecisset, solumque vertere jussisset, Tomum præterea, quem Nicephorus Phocas, ut res Ecclesiasticas transversas ageret, conscripserat, dilacerasset. Post hujus electionem cum triginta quinque tantum dies superviaisset Polyeuchus vitam posuit: in locum ejus successit Basilius Scamandrenus, qui nonnullorum criminum reus a Synodo convocata pellitur, & Antonius Studita substituitur. Tzimisces cum imperasset annos sex & dies triginta, Basilii Accubitoris insidiis veneno extinguitur, Successoribus Basilio & Constantino Romani filiis.

Post Tzimiscem imperium tenuerunt Basilius, & Constantinus Porphyrogenneta annos quinquaginta. Basilius ætatis annum vigesimum, Constantinus decimum septimum agebat. quapropter solo nomine erant Imperatores. Basilius

pag. 182.

vero Accubitor rem omnem pro libidine gubernabat. Hic eorum matrem ab exilio in regiam revocavit. Nicolaus Chrysoberges per annos duodecim & menses octo rebus Ecclesiasticis administratis obiit, illique succedit Sisinnius Magister, vir insignis, & Medicæ artis instructissimus, & legibus exponendis nemini secundus. Hic item per tres tantum annos rebus Ecclesiæ moderatis, e corpore excessit, substitutusque est Sergius monasterii Manuelis Abbas, qui genus ad Photium Patriarcham referebat, qui ad viginti annos integros Ecclesia Dei gubernata de vita ad Domi-

A τριαρχικὸν ἀνεβιβάσθη θρόνον ἐπ' ἔτη ιγ'. καὶ ἡμέρας κε'. κακῶς καὶ ἀναξίως ἀρχιερατεύσας τὸν βίον κατέλιπεν. ἀντ' αὐτοῦ δὲ προβάλλεται ὁ μοναχὸς Πολύευκτος. ἐπὶ τῆς τούτου βασιλείας ἤχθη ἐξ Ἀντιοχείας καὶ ἡ τιμία χεὶρ τοῦ προδρόμου, καὶ τὸ λείψανον τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου. οὗτος οὖν ὁ Βασιλεὺς Κωνσταντῖνος μονοκρατήσας, ὡς ἔφημεν, ἔτη ιε'. νόσῳ περιπεσὼν τελευτᾷ.

Μετὰ δὲ τὸν Κωνσταντῖνον ἐβασίλευσε Ρωμανὸς ὁ τούτου υἱὸς, ὁ λεγόμενος παιδίον, ὃς νόσῳ περιπεσὼν ἐτελεύτησεν, ἐτῶν ὑπάρχων κδ'. βασιλεύσας ἔτη γ'. μῆνας δ'. ἡμέρας πέντε.

Μετὰ δὲ τὸν Ρωμανὸν διαδέχονται τὴν βασιλείαν Βασίλειος, καὶ Κωνσταντῖνος οἱ παῖδες αὐτοῦ σὺν Θεοφανοῖ τῇ
B μητρὶ, Βασιλεύσαντες μῆνας ε'. σὺν Ἰωσὴφ τῷ Βρίγγα, τότε παραδυναστεύοντι.

Μετὰ δὲ τούτους Νικηφόρος ὁ Φωκᾶς βασιλεύει, στεφθεὶς παρὰ Πολυεύκτου τοῦ Πατριάρχου. εἶτα καὶ τὴν Θεοφανὼ νόμιμον γαμετὴν ἄγεται. ὃς καὶ μέρος τι τοῦ ἱματίου τοῦ Βαπτιστοῦ Ἰωάννου εἰσήγαγεν ἐν τῇ πόλει, ὅπερ εὗρεν ἐν Βεῤῥοίᾳ. ἤγαγε δὲ καὶ τὴν κέραμον τὴν ἔχουσαν τὸ ἀχειρότευκτον ἐκτύπωμα τῆς μορφῆς τοῦ Χριστοῦ, καὶ Θεοῦ ἡμῶν. ὃν εὗρεν ἐν Ἱεραπόλει, ταύτην πεπορθηκὼς, καὶ τῶν τριχῶν τοῦ Βαπτιστοῦ Ἰωάννου βόστρυχον ἕνα πεφυρμένον αἵματι. ἔτος βασιλεύσας ἔτη ς'. φονεύεται ἐν τῷ παλατίῳ βουλῇ τῆς Βασιλίσσης Θεοφανοῦς παρὰ τοῦ Τζιμισκῆ, καὶ τῶν αὐτοῦ συνωμοτῶν.

C Μετὰ δὲ τοῦτον βασιλεύει Ἰωάννης ὁ Τζιμισκῆς, συμβασιλεύοντας ἔχων αὐτῷ Βασίλειον καὶ Κωνσταντῖνον τοὺς υἱοὺς Ρωμανοῦ. ἄγεται δὲ γυναῖκα Θεοδώραν τὴν ἀδελφὴν Ρωμανοῦ, θυγατέρα δὲ τοῦ Πορφυρογεννήτου Κωνσταντίνου. στέφεται δὲ τῷ τῆς βασιλείας διαδήματι παρὰ Πολυεύκτου Πατριάρχου, πρότερον αὐτῷ πεισθεὶς, καὶ τοὺς Νικηφόρου αὐτόχειρας ἐκ μέσου ποιήσας, καὶ τὴν Θεοφανὼ τοῦ παλατίου καταβιβάσας, καὶ ἐξορίσας, καὶ τὸν τόμον διαῤῥήξας, ὃν ἐπὶ συγχύσει τῶν ἐκκλησιαστικῶν ὁ Φωκᾶς Νικηφόρος ἐξέθετο. μετὰ δὲ τὴν τούτου ἀναγόρευσιν λε'. μόνας ἡμέρας ὁ Πολύευκτος ἐπιβιοὺς, κατέλυσε τὴν ζωὴν, καὶ προχειρίζεται ἀντ' αὐτοῦ Πατριάρχης Βασίλειος ὁ Σκαμανδρηνὸς, ὃς ἐπ' αἰτίαις τισὶ διαβληθεὶς, συνοδικῶς καθῃρέθη.
D προεβλήθη δὲ ἀντ' αὐτοῦ Ἀντώνιος ὁ Στουδίτης. ὁ δὲ Τζιμισκῆς βασιλεύσας ἔτη ς'. καὶ ἡμέρας λ' φαρμάκῳ κατεργασθεὶς παρὰ Βασιλείου τοῦ Παρακοιμωμένου, θνήσκει διαδόχους καταλιπὼν Βασίλειον, καὶ Κωνσταντῖνον τοὺς παῖδας Ρωμανοῦ.

Μετὰ οὖν τὸν Τζιμισκῆ κρατοῦσι τῆς βασιλείας Βασίλειος καὶ Κωνσταντῖνος ὁ Πορφυρογέννητος ἔτη ν'. ὧν ὁ μὲν Βασίλειος τὸν κ'. ἦγεν τῆς ἡλικίας χρόνον. τὸν ιζ'. δὲ ὁ Κωνσταντῖνος. διὸ καὶ τὸ τῆς βασιλείας ὄνομα μόνον τούτων ἐχόντων πᾶσαν τὴν τῶν πραγμάτων μεταχείρησιν Βασίλειος ὁ Παρακοιμώμενος ἐνήργει. ὃς ἅμα καὶ τὴν τούτων μητέρα πέμψας ἀπὸ τῆς ὑπερορίας ἄγει εἰς τὰ Βασίλεια. Νικολάου δὲ τοῦ Χρυσοβέργου ἐπὶ χρόνοις ιβ'.
E καὶ μῆνας η'. τὴν ἐκκλησίαν ἰθύναντος, καὶ λύσαντος τὴν ζωὴν, χειροτονεῖται Σισίννιος Μάγιστρος, ἀνὴρ ἐλλόγιμος, καὶ ἰατρικῆς, καὶ νομικῆς τέχνης ἥκων εἰς τὸ ἀκρότατον. καὶ οὗτος δὲ ἐπὶ τρεῖς μόνους ἐνιαυτοὺς τὴν ἐκκλησίαν ποιμάνας ἐξέστη τῆς ζωῆς, καὶ προεβλήθη Σέργιος ἡγούμενος ὢν τῆς μονῆς τοῦ Μανουὴλ, καὶ τὸ γένος ἀναφέρων εἰς Φώτιον τὸν Πατριάρχην, ὃς ἐπὶ κ'. ὅλους ἐνιαυτοὺς τὴν τοῦ Θεοῦ ποιμάνας ἐκκλησίαν, πρὸς Κύριον

ἐξεδήμησε. καὶ προβλήθη Πατριάρχης Εὐστάθιος πρῶτος ὢν τῶν πρεσβυτέρων τῶν ἐν βασιλείοις ναῶν. ἀνεκαίνισε δὲ ὁ Βασιλεὺς Βασίλειος καὶ τὸν ἀγωγὸν Οὐάλεντος τοῦ Βασιλέως, ὡς ἂν ἔχοιεν οἱ ἐν τῷ Βυζαντίῳ ἀφθονίαν ὕδατος. οὗτος αἰφνιδίῳ νόσῳ ληφθεὶς ἀπεβίω. πρότερον ἡμερῶν τῆς αὐτοῦ τελευτῆς, καὶ Εὐσταθίου τοῦ Πατριάρχου ἀποθανόντος. οὗ διάδοχον ὁ Βασιλεὺς Ἀλέξιον μοναχὸν ἐποιήσατο, Ἐκκλησιάρχην ὄντα ἐν τῇ τῶν Στουδίου μονῇ. τοῦ οὖν Βασιλέως Βασιλείου τελευτήσαντος καὶ ἐν τῷ κατὰ τὸ Ἕβδομον ναῷ τοῦ Εὐαγγελιστοῦ, καὶ Θεολόγου ταφέντος, ὁ τούτου ἀδελφὸς Κωνσταντῖνος μόνος τὸ τῆς Βασιλείας ἀνεδήσατο κράτος. ὃς ζήσας μὲν τὸν ἅπαντα τῆς ζωῆς αὐτοῦ χρόνον ο΄. ἔτη, ἐπὶ τρεῖς δὲ ἑνὸς δέοντος μηνὸς Αὐτοκράτωρ γεγονώς, αἰφνιδίῳ νόσῳ ληφθείς, καὶ παρὰ τῶν ἰατρῶν ἀπαγορευθεὶς ἀντ᾽ αὐτοῦ Βασιλέα προχειρίζεται Ῥωμανὸν τὸν Ἀργυρόν, συζεύξας πρότερον αὐτῷ τὴν ἰδίαν θυγατέρα Ζωήν, ὡς τῆς αὐτοῦ γυναικὸς ἑκουσίως τὴν τρίχα κειραμένης, διὰ τὸ κινδυνεύειν τὸν αὐτῆς ἄνδρα Ῥωμανὸν πηρωθῆναι παρὰ τοῦ Βασιλέως, καὶ διὰ τοῦτο σὺν τῇ ὄψει καὶ τὴν Βασιλείαν τῷ συζύγῳ χαρισαμένης. οὕτω παρὰ πᾶσαν ἐλπίδα τὸν τῆς πηρώσεως κίνδυνον διαδρὰς ὁ Βασιλεὺς Ῥωμανὸς Αὐτοκράτωρ ἅμα Ζωῇ, τῇ τοῦ Κωνσταντίνου ἀναγορεύεται θυγατρί. οὐκ ὀλίγας ἀγαθοεργίας ἅμα τῷ βασιλεῦσαι ποιήσας. ἐξέκοψε δὲ καὶ τὸ Ἀλληλέγγυον, ὃ παρὰ Βασιλείου τυπωθέν, ἐμελέτα μὲν ὁ Κωνσταντῖνος ἐκκόψαι, οὐκ ἔφθασε δέ. ἐπὶ τῆς τούτου βασιλείας καὶ Γεώργιος ὁ Μανιάκης τὴν Ἔδεσαν ἑλών, ἐν ταύτῃ εὑρὼν τὴν πρὸς Αὔγαρον πεμφθεῖσαν ἰδιόγραφον ἐπιστολὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ Βασιλεῖ Ῥωμανῷ ἐν Βυζαντίῳ ἀπέστειλεν. οὗτος νόσῳ χρονίᾳ βάλλεται, καὶ τριχορρυεῖ, γένειόν τε καὶ τὴν κόμην κατεργασθείς, ὥς φασιν, ὑπὸ Ἰωάννου Ὀρφανοτρόφου. πρὸς γὰρ τὸν τούτου ἀδελφὸν Μιχαὴλ ἔρωτα δαιμονιώδη ἔχουσα ἡ Βασιλὶς Ζωή, καὶ τούτῳ κρυφίως συμμιγνυμένη, τὸν Βασιλέα φαρμάκοις οὐκ ὠκυμόροις, ἀλλὰ χαλαρωτάτοις, καὶ βραδεῖαν ἐπάγουσι θάνατον κατειργάσατο. ὃς κατὰ τὴν μεγάλην πέμπτην κατὰ τὸ ἐν τῷ μεγάλῳ παλατίῳ βαλανεῖον λουόμενος, ὑπὸ τῶν περὶ τὸν Μιχαὴλ τῇ κολυμβήθρᾳ τοῦ λουτροῦ οἰκτρῶς ἀπεπνίγη βασιλεύσας ἔτη ε΄. καὶ μῆνας ς΄. θάπτεται δὲ ἐν αὐτῇ τῇ παρ᾽ αὐτοῦ νεουργηθείσῃ τῇ Περιβλέπτου μονῇ κατ᾽ αὐτὴν τὴν ἁγίαν μεγάλην παρασκευήν.

Η Ζωὴ δὲ τὸν Παφλαγόνα Μιχαὴλ ἐπὶ τὸν Βασίλειον ἱδρύσασα θρόνον, ᾤετο μὲν ἀντὶ ἀνδρὸς καὶ Βασιλέως δοῦλον καὶ διάκονον ἕξειν. ἀπέβη δὲ ταύτῃ πάντα εἰς τοὐναντίον. ὁ δὲ Βασιλεὺς δαίμονι ληφθείς, καὶ ὑπὸ τούτου κατατεινόμενος, καὶ πάντα ποιῶν, ὥστε ἐλευθερίας τούτου εὑρεῖν, οὐδὲν ὤνησεν. μᾶλλον γὰρ ἐπετείνετο τὸ κακὸν συνεπιλαμβανομένης καὶ νόσου ὑδερικῆς. τῇ δ᾽ οὖν κατεχούσῃ νόσῳ ἐκτρυχωθείς, καὶ πάντοθεν τῆς οἰκείας ἀπογνοὺς σωτηρίας, ἀποκείρεται παρὰ τοῦ μοναχοῦ Κοσμᾶ, τοῦ Τζιντζιλουκίου. ὃς διὰ παντὸς συνῆν αὐτῷ, καὶ ὑπετίθει τὰ δέοντα, καὶ θερμοτάτῃ μετανοίᾳ, καὶ ἐξομολογήσει τὴν εἰς τὸν Βασιλέα Ῥωμανὸν ἁμαρτίαν ἀποκλαιόμενος, βασιλεύσας ἔτη ζ΄. καὶ μῆνας η΄.

Τοῦ δὲ Παφλαγόνος Μιχαὴλ θανόντος τὸ πᾶν κράτος περιέστη εἰς κληρονόμον τὴν Βασιλίδα Ζωήν,

A num migrat, eligiturque Patriarcha Eustathius Sacerdotum templi, quod in regia erat, Primas. Basilius vero Imperator Valentis Imperatoris conductum restituit, ut Byzantinis aquæ abundantius fluerent. Is repentino morbo correptus cessit e vita. Paucis vero diebus antequam moreretur, extremum obiit diem Patriarcha Eustathius, cujus successorem Alexium monachum in Studitæ monasterio Ecclesiæ Præfectum designat. Emortuo itaque Imperatore Basilio, & in templo Joannis Evangelistæ & Theologi, quod in Ebdomo est, sepulto, Constantinus frater universam imperii provinciam in se contulit, qui cum annos septuaginta vixisset, trien-
B nium mense minus solus imperasset, subito morbo arreptus, desperatusque a Medicis, sui loco Romanum Argyrum Imperatorem enunciat, cum propriam filiam Zoem prius in matrimonio copulasset. Uxor quippe Romani sponte comam posuerat, ut cæcitatis periculum, qaod marito ab Imperatore imminebat, averteret. Sic lumen ocalorum, imperiumque viro elargita est. Hoc modo præter spem omnem, atque expectationem cæcitatis periculo Imperator Romanus ereptus, rerum omniam moderator cum Zoe Constantini filia salutatur, in ipso imperii exordio plerisque hominibus proficuis rebus perpetratis. Abolevit & Allelengium, tributum scilicet, quod pauperum vice divites persolve-
C bant a Basilio institutum; id abolere quidem Constantinus in animo habuit, sed morte præventus non potuit. Sub ejus imperio Georgius Maniaces Edessa direpta ad Abgarum epistolam Domini nostri Jesu Christi manu exaratam in ea inventam, Imperatori Romano Byzantium transmisit. Interim Imperator lento morbo corripitur, capitis & barbæ pilis defluentibus a Joanne pupillorum curatore circumventus. Imperatrix etenim Zoe Michaelis Romani fratris amore mirum quantum insaniens, ejusqae se clanculam libidinibus tradens, non rapido & veloci veneno, sed blando, torpentique læserat. Is ergo magna feria quinta in balneo apud magnum Palatiam
D se lavans, in ipso solio balnei a Michaelis sociis miserabiliter suffocatur, cum imperasset annos quinque & menses sex. Sepelitur vero in eo, quod ipse sub Peribleti nomine, hoc est *Spectabilis*, ædificaverat monasterio, ipso magnæ Parasceves die.

Edit. Paris. pag 183.

Zoë Michaele Paphlagone in Imperatoris solio collocato, sperabat se loco mariti & Imperatoris, mancipium, ac famulum habituram. Sed votis exitus minime responderunt. Porro Imperator malo genio obnoxius cum nimium afflictaretur, nihil intentatum, ut ab hac se ærumna liberaret, reliquit, sed omnia cassa in vota vocata sant. quinimo magis, ac magis cruciatus augebantur aquæ
E intercutis accessione. Itaque continao morbo confectus, propriaque salute desperata, a monacho Cosma Tzintzilucio, qui illi semper aderat, agendaque demandabat, detondetur, pœnitensque exacta delictorum confessione, facinusque in Romanum Imperatorem deplorans occumbit, cum regnasset annos septem & menses octo.

Michaele Paphlagone defuncto universa imperii cura in Imperatricem Zoem

tamquam hæredem devoluta est. Hæc Imperatoris ex fratre nepotem, illique cognominem Cæsarem creatum, audacem & temerarium, rebusque gerendis peropportunum, prius horrendissimo jurejurando devinctum se per omne vitæ tempus, quasi dominam, ac heram, & matrem pertractaturum, in locum filii assumit, & Imperatorem salutat. Verum is pactis cum Zoe initis violatis, universæ multitudinis odium incurrit, & populi incontinentem impetum timens, in Studii monasterium confugit, statimque monachi habitum induit. Sed nec sic iram evitavit; multitudo namque populi commota eum a monasterio abreptum in locum, qui dicitur Sigma, transferunt, subitoque excæcant: ille cassus luminibus solum vertere cogitur in monasterium Elegmorum, postquam regnasset menses quatuor & dies quinque.

Itaque rursus imperium ad Zoem devolvitur, Theodora sorore una cum ea imperium administrante: tunc ab exilio accersitur Constantinus Monomachus, cui nubit, ceremoniis rite peractis a Primate Novæ sacerdote, dieque subsequenti a Patriarcha Alexio coronatur, qui sub ejus imperio vitam finit, & in Thronum ejus substituitur Michael Cerularius, die Annuntiationi sacro. Imperator consueto morbo podagræ correptus novi symptomatis accessione in Manganorum monasterio ab ipso de integro extructo moritur, ibidemque sepelitur, cum regnasset annos tredecim. Zoe item jamdudum mortua.

Edit. Paris. pag. 184.

En decedente Theodora Porphyrogenneta paternum imperium recuperat, & cum regnasset annos duos, menses sex, tenuis intestini morbo extinguitur.

Ejus autem Eunuchi, & Leo Syncellus, ipsa adhuc etiam animam agente, in imperatoria sede collocant Michaelem Patricium Stratioticum. Hic cum regnasset annum unum, licet invitus Comneno imperium cedit.

Isaacius Comnenus cum imperii pondus subiisset, subito in regio numismate se ensem ferentem excudi jussit, tamquam qui non Deo, sed proprio robori, & circa rerum bellicarum usum experientiæ omnia accepta referret. Abduxit ex Oriente uxorem Caterinam, eamque Imperatricem creavit. Verum cum Patriarcha Michael Cerularius occubuisset, in ejus locum Licudem Constantinum substituit. Imperator cum isset venatum igne fulmineo perculsus, equoque dejectus, spumans humi circumvolutabatur. Itaque eum consilii pœnituit, nec morbo remittente, sed intime misereque vexante, sceptro, rerumque moderamine deposito, ad Studii monasterium se confert, monasticam vitam amplexus, ad hoc Augusta Caterina suam opem conferente. Imperavit annos duos, menses tres. his minus supervixit in habitu monastico. adeo monasterii Præsidi fuit obediens, ut & ostiarius factus sit aliisque ministeriis pro sua ingenti moderatione inservierit: in vicem vero suam Constantinum Ducam Imperatorem elegit.

Post Comnenum Constantinus Ducas absque sanguine, sine ullo rerum discrimine, ac molestia sceptrum occupat. Licude Constantino emortuo, Joannes monachus cognomento Xiphilinus sufficitur. Imperatorem autem obortus mor-

A ἡ τῆς τοῦ βασιλέως ἀνεψιὸν, καὶ ὁμώνυμον Καίσαρα ὄντα, καὶ δραστήριον δοκοῦντα, καὶ περὶ τὰ πράγματα δεξιὸν, ὅρκοις πρότερον φρικωδεστάτοις καταλαβοῦσα, ὡς κυρίαν αὐτὴν ἕξει διὰ βίου, καὶ δέσποιναν, καὶ μητέρα, εἰσποιητὸν προσλαμβάνει υἱὸν, καὶ Βασιλέα Ῥωμαίων ἀναγορεύει. ὃς τὰς πρὸς αὐτὴν ἀθετήσας συνθήκας, καὶ διὰ τοῦτο μισηθεὶς παρὰ παντὸς τοῦ πλήθους τῆς πόλεως, καὶ τὴν τοῦ δήμου ἀκατάσχετον δειλιάσας κίνησιν, φυγὰς ᾤχετο εἰς τὴν τοῦ Στουδίου μονὴν, καὶ εὐθὺς τὸ μοναχικὸν περιβάλλεται σχῆμα. ἀλλ' οὐκ ἀπέδρα. τὸ γὰρ πλῆθος τοῦ λαοῦ κινηθὲν, καὶ τοῦτον τῆς μονῆς ἁρπάσαν, ἄγουσι κατὰ τὸν τόπον, τὸν λεγόμενον Σίγμα, καὶ εὐθὺς ἐκτυφλοῦσι. τυφλωθεὶς οὖν ἐξορίζεται εἰς τὴν μονὴν τῶν Ἐλεγμῶν. βασιλεύσας μῆ- B νας δʹ. καὶ ἡμέρας πέντε.

Τῆς οὖν ἀρχῆς πάλιν εἰς τὴν Ζωὴν μετακυλισθείσης, συμβασιλεύουσαν ἐχούσης καὶ τὴν ἀδελφὴν Θεοδώραν μεταστέλλεται ἀπὸ τῆς ἐξορίας Κωνσταντῖνος ὁ Μονομάχος, ᾧ καὶ συνάπτεται εἰς κοινωνίαν γάμου ἡ Βασιλὶς, τῆς ἱερολογίας γενομένης παρὰ τοῦ πρώτου τῶν πρεσβυτέρων τῆς Νέας. στέφεται δὲ τῇ ἐπαύριον παρὰ τοῦ Πατριάρχου Ἀλεξίου, ὃς ἐπὶ τῆς τούτου Βασιλείας θνήσκει. ἀνάγεται δὲ εἰς τὸν θρόνον Μιχαὴλ ὁ Κηρουλάριος κατὰ τὴν ἡμέραν τοῦ Εὐαγγελισμοῦ. ὁ δὲ Βασιλεὺς τῇ συνήθει νόσῳ τῆς ποδαλγίας κατάσχετος γεγονὼς, ἐπακολουθήσαντος καὶ ἑτέρου συμπτώματος, ἐν τῇ παρ' αὐτοῦ νεουργηθείσῃ μονῇ τῶν Μαγγάνων κείμενος θνήσκει, καὶ ἐν αὐτῇ θάπτεται Βασιλεύ- C σας ἔτη ιγʹ. καὶ τῆς Ζωῆς ἤδη προτελευτησάσης,

Τούτου δὲ τελευτήσαντος, Θεοδώρα ἡ Πορφυρογέννητος τὴν προγονικὴν βασιλείαν ἀναδέχεται. καὶ ἔτη βʹ. καὶ μῆνας ζʹ. βασιλεύσασα, εἰλεοῦ νοσήματι περιπεσοῦσα θνήσκει.

Οἱ δὲ ταύτης Εὐνοῦχοι σὺν τῷ Συγκέλλῳ Λέοντι, ἔτι ταύτης ψυχορραγούσης, ἀνάγουσιν εἰς τὸν Βασίλειον θρόνον Μιχαὴλ Πατρίκιον τὸν Στρατιωτικόν. ὃς ἔτος αʹ. βασιλεύσας, καὶ ἄκων τῆς βασιλείας τῷ Κομνηνῷ ὑπεξίσταται.

Ὁ οὖν Κομνηνὸς Ἰσαάκιος τὴν βασιλείαν ἀναζωσάμενος, αὐτίκα τῷ βασιλικῷ νομίσματι ξιφηφόρος ἐγχαράττεται, οἷα μὴ τῷ Θεῷ τὸ πᾶν ἐπιγράφων, ἀλλὰ τῇ D ἰδίᾳ ἰσχύϊ, καὶ τῇ περὶ πολέμους ἐμπειρίᾳ. ἤγαγε δὲ καὶ τὴν ἑαυτοῦ γυναῖκα Αἰκατερίναν ἐκ τῆς ἀνατολῆς, καὶ ταύτην ἀνηγόρευσεν. Ἐπεὶ δὲ καὶ ὁ Πατριάρχης Μιχαὴλ ὁ Κηρουλάριος ἀπεβίω, προχειρίζεται ἀντ' αὐτοῦ Πατριάρχης ὁ Λειχούδης Κωνσταντῖνος. ὁ δὲ βασιλεὺς εἰς κυνήγιον ἐξελθὼν, καὶ φωτὶ ἀστραπηβόλῳ βλαβεὶς, τοῦ ἵππου τε ἀπεσφαιρίσθη, καὶ πρὸς τῇ γῇ ἀφρίζων ἐκυλίετο. γνωσιμαχήσας οὖν ἐφ' ἡμέρας τινὰς, εἴπως ἀνεθείη τῆς νόσου, ἐπείπερ ἔγνω κατάκρας ταύτῃ ἁλοὺς, τὴν βασιλείαν ἀποθέμενος, τὴν τοῦ Στουδίου καταλαμβάνει μονὴν, καὶ τὸν μοναχικὸν ἀσπάζεται βίον, πολλὰ καὶ τῆς Αὐγούστης Αἰκατερίνας συμβαλλομένης αὐτῷ πρὸς τὸ προσκείμενον, βασιλεύσας μὲν ἔτη βʹ. καὶ μῆνας γʹ. ἐπιζήσας δὲ τούτων E ἐλάττονα τῷ μοναχικῷ, πᾶσαν ὑπακοὴν πρὸς τὸν ἐν τῇ μονῇ ἡγουμενεύοντα ἐνδεικνύμενος, ὡς καὶ θυρωρὸς γενέσθαι, καὶ τὰς ἄλλας ὑπηρετῆσαι διακονίας διὰ πολλὴν μετριοφροσύνην καταδεξάμενος. προχειρίζεται δὲ ἀντ' αὐτοῦ εἰς Βασιλέα Κωνσταντῖνον τὸν Δούκαν.

Μετὰ δὲ τὸν Κομνηνὸν Κωνσταντῖνος ὁ Δούκας ἀναιμωτὶ δίχα πραγμάτων καὶ ταραχῆς τῶν σκήπτρων ἐπιλαμβάνεται. τοῦ δὲ Πατριάρχου Κωνσταντίνου τοῦ Λειχούδη θανόντος,

τος,

νος, Ἰωάννης μοναχὸς, ὁ ἐπίκλην Ξιφιλῖνος, προχειρίζεται. τῷ δὲ Βασιλεῖ νόσος ἐνσκήψασα οὐ μικρῶς αὐτὸν κατέτρυχεν. ὡς δὲ ἔγνω ἤδη τέλεον τῇ νόσῳ κατεργασθεὶς, τοὺς ἐξ Εὐδοκίας τῆς βασιλίσσης αὐτοῦ τρεῖς παῖδας Μιχαὴλ, Ἀνδρόνικον, καὶ Κωνσταντῖνον, ἐξ ὧν Πορφυρογέννητος ἦν ὁ Κωνσταντῖνος, πάντας βασιλεῖς ἀνηγόρευσε. Καίσαρα δὲ τὸν αὐτοῦ ἀδελφὸν Ἰωάννην. ἦσαν δὲ καὶ θυγατέρες τρεῖς Ἄννα τε, καὶ Θεοδώρα, καὶ Ζωή. μέλλων δὲ τελευτᾷν ἔγγραφον ἀπῄτησεν ἐκ πάντων, ὡς οὐκ ἄν ποτε παρὰ τοὺς αὐτοῦ παῖδας Βασιλέα ἕτερον δέξαιντο, ἐν ᾧ καθυπέγραψαν ἅπαντες. ἀλλὰ μὴν καὶ ἡ βασιλὶς Εὐδοκία, ὡς οὐκ ἂν, οὐδὲ αὐτὴ πρὸς δεύτερον ἐλεύσεται συνοικέσιον. ὃ καὶ ἀπαρτισθὲν τῷ Πατριάρχῃ φυλάττειν δεδώκασι. τελευτᾷ οὖν ὁ Βασιλεὺς ἐτῶν ὢν ξ. καὶ μικρόν τι προσβασιλεύσας χρόνους ζ΄. καὶ ἥμισυ, ταφεὶς εἰς τὸ Μολιβωτόν.

Κατέσχον οὖν τὰ σκῆπτρα τῆς βασιλείας ἡ σύζυγος αὐτοῦ Εὐδοκία, καὶ οἱ παῖδες σὺν τούτοις οὖν μῆνας ζ΄. καὶ μικρόν τι προσβασιλεύσασα ἀνάγει τὸν Ῥωμανὸν Διογένην εἰς τὰ Βασίλεια, καὶ τούτῳ προσζεύγνυται, καὶ βασιλέα εὐθὺς ἀναγορεύει.

Τὴν οὖν Βασιλείαν ὁ Διογένης λαβὼν, εἶθ᾽ ὕστερον ἐπιβουλευθεὶς παρὰ τῶν οἰκείων ἐκτυφλοῦται, καὶ οὕτω θνήσκει, καὶ ἐν τῇ νήσῳ Πρώτῃ θάπτεται βασιλεύσας ἔτη γ΄. καὶ μῆνας η΄.

Διεδέξατο τὴν Βασιλείαν ὁ τοῦ Δούκα υἱὸς Μιχαὴλ, ὁ λεγόμενος Παραπινάκης. τοῦ δὲ Πατριάρχου Ἰωάννου τοῦ Ξιφιλίνου κοιμηθέντος, ὁ Βασιλεὺς ἕτερόν τινα προχειρίσατο Κοσμᾶν μοναχὸν, τῆς ἁγίας μὲν πόλεως ἀφικόμενον, μεγίστῃ δὲ τιμῇ διὰ τὴν αὐτοῦ ἀρετὴν παρὰ Βασιλεῖ τιμώμενον. οἱ δὲ πολῖται διὰ τὸ τὸν Βοτανειάτην ἐξ ἀνατολῆς ἤδη ἀναγορευθῆναι, τά τε ἀνάκτορα κατασχόντες, καὶ φύλακας αὐτοῖς ἐπιστήσαντες, καὶ τὸν Βασιλεύοντα Μιχαὴλ καθαιρήσαντες, πρὸς τὴν τοῦ Στουδίου μονὴν παραπέμπουσι. μετ᾽ εὐτελοῦς ὑποζυγίου σὺν τῇ Αὐγούστῃ Μαρίᾳ, τῇ ἐξ Ἀλανῶν, καὶ τῷ τούτου παιδὶ Κωνσταντίνῳ τῷ Πορφυρογεννήτῳ, καὶ πρὸς τὴν μονήρη μεταλλάττουσι βίον κατὰ τὸ σάββατον τοῦ ἁγίου Λαζάρου, βασιλεύσαντα χρόνους ζ΄.

Οὕτως οὖν ὁ Βοτανειάτης Νικηφόρος παρὰ πᾶσαν προσδοκίαν ἀναίμακτον ἀπέλαβε τὴν Αὐτοκράτορα ἀρχὴν κατ᾽ αὐτὴν τὴν μεγάλην τρίτην, καὶ ταῖς τοῦ Πατριάρχου χερσὶ τῷ Βασιλικῷ ταινιοῦται διαδήματι, καὶ γυναικὶ συζεύγνυται τῇ ἐξ Ἀλαμανῶν Μαρίᾳ, τῇ τοῦ Μιχαὴλ συμβίῳ. ἐβασίλευσε δὲ ἔτη γ΄.

Ἀλέξιος ὁ Κομνηνὸς ἐβασίλευσεν, ἔτη λζ΄. μῆνας δ΄.

Ἰωάννης ὁ τούτου υἱὸς, ἔτη κδ΄.

Μανουὴλ ὁ τούτου υἱὸς, ἔτη λη΄.

Ἀλέξιος ὁ τούτου υἱὸς μειράκιον, ἔτος α΄.

Τοῦτον φονεύσας Ἀνδρόνικος ὁ πρὸς πατρὸς θεῖος αὐτοῦ, ἐτυράννησεν ἔτη γ΄.

Τοῦτον φονεύσας ὁ ἀνεψιὸς αὐτοῦ Ἰσαάκιος ὁ Ἄγγελος ἐκράτησεν ἔτη θ΄.

Τοῦτον ἐκτυφλώσας ὁ ἴδιος ἀδελφὸς Ἀλέξιος ἐκράτησε καὶ αὐτὸς ἔτη θ΄.

Τοῦτον ἐκδιώξας τῆς Βασιλείας, καὶ Κωνσταντινουπόλεως ὁ ἀνεψιὸς Ἀλέξιος μειράκιον ὢν, ὁ υἱὸς αὐτοῦ Ἰσαακίου ἐκράτησε, μῆνας ϛ΄.

Τοῦτον φονεύσας ὁ ἐξάδελφος Ἀλέξιος ὁ Δούκας, ὁ καὶ Μούρτζουφλος, ἐκράτησε μῆνας β΄.

Joelis Chronogr.

bus vehementissime vexabat. Ut cognovit se ægritudine confectum, tres liberos, quos ex Eudocia Imperatrice susceperat Michaelem, Andronicum, Constantinum, inter quos Constantinus erat Porphyrogenneta, Imperatores creat, Cæsarem vero fratrem Joannem. Illi fuerunt & tres filiæ Anna, Theodora, Zoe. Morti proximus fidem ab omnibus scripto exposcit, neminem post se alium Imperatorem, quam filios excepturum, subscripsere omnes. Quinimo & ipsa Imperatrix Eudocia nequaquam se secundas nuptias celebraturam scripto promisit. Absolutum scriptum Patriarchæ tradidit, ut conservaret. Obit ætatis annorum sexaginta, annos plus minus septem & dimidium regnavit, in Moliboto sepelitur.

Edit. Paris. pag. 185.

Imperii habenas conjux illius Eudocia, filiique tenuere. Cum vero una cum liberis menses septem, vel paulo plus imperasset, Romanum Diogenem in regiam accitum sibi matrimonio jungit, Imperatoremque pronunciat.

Occupavit imperium Diogenes, qui deinceps a familiaribus dolis circumventus, luminibus privatur, mortuusque in insula Prote sepelitur, cum regnasset annos tres & menses octo.

Ducæ filius Michael Parapinaces dictus, imperium suscipit. Patriarcha Joanne Xiphilino vita functo, Imperator Cosmam quemdam monachum, qui e sancta Civitate advenerat, maximoque ab se propter eximias virtutes in pretio habitum elegit. Cives Botaniatem in Oriente Imperatorem creatum audientes, regiam occupant, custodes illi imponunt, imperantem Michaelem solio pulsum, vili vehiculo cum Augusta Maria ex Alanorum genere, & filio Constantino Porphyrogenneta in Studii monasterium ablegant, & Monachorum albo adscribunt, Sabbato, qui dicitur Lazari. Imperio præfuit annos sex.

Hac ratione Nicephorus Botaniates præter omnem expectationem, magna feria tertia imperium occupavit minime sanguinolentum. Diademate imperatorio Patriarchæ manibus insignitur, jungitque sibi matrimonio Alamannam Mariam, Michaelis conjugem. Regnavit annos tres.

Alexius Comnenus imperium tenuit annos triginta septem, menses quatuor.

Joannes ejus filius annos viginti quatuor.

Manuel ejus filius annos triginta octo.

Alexius hujus filius infans adhuc annum unum.

Eo trucidato, Andronicus patruus imperium invasit annos tres.

Andronico necato, Isaacius Angelus fratris filius imperium obtinuit annos novem.

Isaacium oculis spoliavit proprius frater Alexius, qui regnavit & ipse annos novem.

Alexio imperio, atque Constantinopoli pulso filius Isaacii Alexius puerulus adhuc, regnum obtinuit menses sex.

pag. 186.

Hunc cum occidisset patruelis Alexius Ducas, qui & Murtzuphlus dictus est, imperio præfuit menses duos. Heu nos miseros! & maxime cum simus Chri-

T

ſtiani, talia in Chriſtianos machinamur. Et quanam ratione divinum judicium tot ſcelera laturum eſſet, & non eſſe nos captivitati, & internecioni traditurum. Quod & factum eſt, & ſpectatiſſima urbs Conſtantini ob ſimilia facinora, impietateſque Italis tradita eſt.

A φῶ καὶ ταῦτα Χριστιανοὶ Χριστιανούς. καὶ πῶς ἐμελλεν ἡσυχάσαι ἡ δίκη, καὶ μὴ παραδοῦναι ἡμᾶς εἰς αἰχμαλωσίαν, καὶ ἐξολοθρεύσειν. ὃ καὶ γέγονε· καὶ ἡ περίβλεπτος Κωνσταντίνου διὰ τὰς τοιαύτας ἀνοσιουργίας παρεδόθη τοῖς Ἰταλοῖς.

F I N I S.

ΙΩΑΝΝΟΥ

ΤΟΥ ΚΑΝΑΝΟΥ

ΔΙΗΓΗΣΙΣ

ΠΕΡΙ ΤΟΥ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

γεγονότος πολέμου, κατὰ τὸ ,ϛϡλʹ ἔτος.

ΟΤΕ Ο ΑΜΟΥΡΑΤ ΠΕΙΣ ΠΑΡΕΠΕΣΕ ΤΑΥΤΗ *μετὰ δυνάμεως βαρείας, καὶ παρολίγον ταύτην ἐκράτει, εἰ μὴ ἡ ὑπέραγνος μήτηρ τοῦ Κυρίου ταύτην ἐφύλαξε.*

JOANNIS CANANI NARRATIO

DE BELLO CONSTANTINOPOLITANO

anni ab orbe condito VICIↃDCCCCXXX.

Christi CIↃCCCCXXII.

CUM AMURAT-BEIS FORTISSIMORUM MILITUM exercitu in eam irrupit, quam & expugnasset utique, nisi immaculatissima Dei Mater conservasset.

ΜΥΣΤΗΡΙΟΝ Βασιλέως κρύπτειν καλόν· τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακηρύττειν ἔνδοξον. εἶπε γὰρ ὁ ἄγγελος τῷ Τωβίτ. Τοῦτο καὶ ἐμὲ νῦν λίαν ὠθεῖ, καὶ θαῤῥύνει καὶ τολμηρὸν ποιεῖ κήρυκα, ὅπως τὸ πανθαύμαστον θαῦμα τῆς Παναγίας μου διηγήσομαι. ἐκκόπτει δέ με ἡ ἀπειρία τοῦ λόγου. ἀντωθεῖ δέ με πάλιν καὶ ἕλκει τὸ ἴδιον τῆς ὀρέξεως, τὸ ἀνθρώπινον πάθος. καὶ ἥττημαι, καὶ τὴν ἧτταν ὁμολογῶ, καὶ ἀπὸ τούτων τὴν ἱστορίαν ἠρξάμην. καὶ δέομαι τοὺς ἀναγινώσκοντας ταύτην, καὶ τῶν γραμμάτων τὴν πεῖραν ἔχοντας, μήτε τὸν κόρον τοῦ λόγου ἀκηδιάσωσι, μήτε τὴν σολοικοβάρβαρον καταγνώσονται φράσιν. ἐπεὶ κἀγὼ τῆς ἀπειρίας μου τῶν γραμμάτων ὁμολογῶ τὴν ἀσθένειαν. ἀλλὰ οὐδὲ τοῖς σοφοῖς, ἢ λογίοις ἔγραψα ταῦτα, ἀλλὰ τοῖς ἰδιώταις καὶ μόνον ὡς καὶ ἐγὼ ἰδιώτης, ἵνα οἱ ἰδιῶται, ὡς ἰδιῶται ἀπεριέργως, καὶ ἀκαταγνώστως ἀναγινώσκωσι ταύτην. Διὰ δὲ δὴ ταῦτα πάντα τολμηρὸς ἐγενόμην γραφεύς τε καὶ κήρυξ, καὶ τὸ πολυθρύλλητον θαῦμα τῆς Παναγίας, καὶ τὴν καθ' ἡμῶν τῶν Αγαρηνῶν ἐπιδρομήν, καὶ τὴν πολιορκίαν τῆς πόλεως ἱστόρησα κατὰ τὴν τοῦ λόγου μου δύναμιν, καὶ ἀπὸ τούτων ἠρξάμην.

Ἐν ἔτει τριακοστῷ δευτέρῳ τῆς ἡγεμονίας τῶν Βασιλέων Μανουὴλ τοῦ Παλαιολόγου καὶ τοῦ υἱοῦ αὐτοῦ Ιωάννου ἐν τῷ ἑξακισχιλιοστῷ, ἐννακοσιοστῷ τριακοστῷ ἔτει Ινδικτιῶνος πεντεκαιδεκάτης, δεκάτῃ μηνὸς Ιουνίου ἡμέρᾳ, τρίτῃ, τῆς ἡμέρας ὥρᾳ δευτέρᾳ, κατέδραμεν αὖθις ἄφνω στρατιὰ καθ' ἡμῶν Μουσουλμάνων δὶς πέντε τὸν ἀριθμὸν χιλιάδες, ἔχοντες καὶ στρατάρχην ἄνδρα μανὸν καὶ αἱματοβόρον, καὶ τὸ ὄνομα τούτου Μιχάλπαεῖς ἐκαλεῖτο, καὶ πᾶσαν πόλιν, καὶ

Joan. Can. Narrat.

A SACRAMENTUM *regis abscondere bonum est: opera autem Dei revelare honorificum est*, dixit Angelus Tobiæ. Hoc itidem nunc me compellens, animos addit, & audacem præconem efficit, ad maxime admirandum miraculum sanctissimæ meæ enarrandum. Veruntamen inscitia orationem interrumpit; sed rursus me concitat, trahitque desiderium, humanus scilicet affectus. Victus sum, & victoriam confiteor, & ex his historiam ordior; rogoque Lectores meos, qui litterarum usu satis imbuti sunt, ne satietatem orationis fastidiant, neque dicendi formulas solœcis ac barbariæ plenas condemnent: cum ipse inscitiæ meæ imbecillitatem profitear: immo ipse hæc B neque doctis, neque eruditis, sed imperitis, mihi imperito similibus, scribam, ut imperiti imperitorum more injuriose, & absque eo quod criminis notam inferant, perlegant. Propter hæc omnia audax Scriptor factus est præco, omnium ore decantatum, ac concelebratum sanctissimæ Virginis miraculum, & adversum nos Agarenorum irruptionem, & urbis obsidionem, pro orationis meæ modulo scripto tradidi: & ab his exorsus sum.

Edit. Paris. pag. 187. *pag. 188.*

Anno trigesimo secundo imperii Manuelis Palæologi, & Joannis illius filii, Orbis conditi sexmillesimo nongentesimo trigesimo, Indictione decima quinta, decimo mensis Junii, feria tertia, diei hora secunda rursus adversum nos Musulmanorum exercitus ad decem millia hominum numeratus, Ductore viro vesano, & sanguivoro Michalpei nuncupato, extemplo irru

pit, & universas urbes, totamque regionem, imperio obnoxiam, momento temporis sibi subegit, spoliavitque nos omnibus circa hanc urbem locis adjacentibus, bonisque evertit, partim rebus deletis, partim præda surreptis, partim in servitutem abactis; ex hominibus hos quidem neci tradidit, alios longe, & ultra Iconium, & Aratzapetas Cyphas transmisit, mulieribus vero ad impuritates omnes, & turpia sibi expositis, ad vota quisque sua quantum libido tulit, abutitur, pueros ac circumcidendos Moametho offerunt, animalia tum jugum ferre nata, tum injugata trucidata penitus abolevit; damna etiam quæ ex concisis fruticibus, & vineis devastatis consecuta sunt, quis umquam, aut quæ oratio consequi poterit? Nam statim atque urbs concludi cœpta est, præter expectationem impetu facto nos obseravit, omniaque, quæ extra erant, in potestatem suam redegit. Tantæ vero calamitatis, internecionis, & atrocissimorum infortuniorum, quibus miseri, ac infelices Romani oppressi sunt, modum, originem, & causam silentio præterire satius esse duxi, enarrare vero necessarium pugnæ illius acerbissimæ, & horridissimi conflictus exitum. Primæ etenim Musulmanorum copiæ, ut diximus, decimo Junii die irruentes, nos in urbe occlusere, vigesimo ejusdem alia Musulmanorum manus adveniens, veluti nubes grandinis plena, & perniciose perstrepens universam Romanis obedientem regionem devastavit, & veluti flamma ardens fulguris omnia incendit, & funestavit, & omne lignum fructiferum, & arborem lætos & uberes fructus ferentem, & vitium truncos radicitus effodit, reliquaque atrocia, ac perniciosa in nos exaggeravit: sed primarius copiarum Dux, eorumque Ameras, & dominus tandem pervenit: pervenit vero furens, efferatus, superbus, tumens, inflatus, & jactabundus. Supercilium in cælum extollens, super omnes eminere existimabat, & a se gubernari omnia suspicabatur, totum denique orbem sibi obnoxium reputabat. Quinimo quampluriminis machinis, aliisque bello apprime necessariis advectis, murorum civitatis partem disjicere, indeque ingressus eam suo dominatu subjicere, Romanos in captivitatem adducere, & Christi nomen abolere confidebat. Hic innumeris fultus exercituum phalangibus, nationumque omni genere constipatus, & numerosissima tum peditum, tum equitum multitudine fretus, omnia ea loca contegebat. Tunc mandato, hortatuque Turcarum domini Murat-Bei agger extruitur, plures alios, eosque maximos superans: quippe ab extremitate una urbis, Chrysiæ nempe portæ, ad aliam Xiloportæ extendebatur, non plus sagittæ jactu a mœnibus distans, valide undique constructus, ac firmissimus, lignis ingentibus, crassis tabulis, & complicatis virgis, ac viminibus anteriore sui parte communitus, ut sagittæ arcuum, tzagrorumque a Romanis emissæ, saxaque bombardarum exciperentur. In aggeris posteriore parte, ut ille præceperat, milites omnis generis ex exercitu selecti, audaces, fortesque permanebant, tum, ut pro more aggerem defenderent, tum ne ab eo defenderen-

Edit. Paris. pag. 189.

A χώραν τὴν ὑπὸ τὴν βασιλείαν ἐξουσίαν ἐν μιᾷ καιροῦ ῥοπῇ ὑπὸ τὴν ἑαυτῶν ἐποιήσαντο, καὶ ἡμᾶς ἀπεστέρησαν πεδίου τῆς πόλεως, πάντα τὰ πλησίον, καὶ πάντας ἔφθειραν, ἐληλάτησαν, ᾐχμαλώτευσαν, καὶ τοὺς μὲν τῶν ἀνδρῶν κατέσφαξαν, τοὺς δὲ καὶ πόρρω τοῦ Ἰκονίου, καὶ Ἀρατζάπετας Κύφας διεβιβάσαντες, τὰς δὲ γυναῖκας ἀσελγῶς αἰσχρουργήσαντες, τὰ δὲ βρέφη εἰς περιτομὴν τῷ Μωάμεθ προσέφερον, καὶ πᾶν ζῶον ὑπὸ ζυγὸν, καὶ ἄζυγον διέφθειραν, καὶ ἠφάνισαν. τὴν δὲ ζημίαν τῶν γεννημάτων, καὶ τῶν ἀμπελώνων τὴν λύμην τίς ἄρα καὶ ποία δυνήσεται γλῶσσα ταύτην ἐξιχνιάσαι; καὶ γὰρ ἐν τῷ καιρῷ τῆς συγκλείσεως ἀπαραπροσδοκήτως κατέδραμον, καὶ B ἡμᾶς ἀπέκλεισαν, καὶ ὑπὸ τὴν δεσποτείαν αὐτῶν πάντα τὰ ἔξω ἐγένοντο. τὸ δὲ καὶ πῶς, καὶ πόθεν, καὶ δι' ἣν αἰτίαν ἡ συμφορὰ, καὶ φθορὰ, καὶ ταῦτα τὰ δεινότατα χαλεπὰ τοῖς δυστυχέσι, καὶ ἀθλίοις ἐπέβη Ῥωμαίοις σιωπᾷν ἡμῖν ἄμεινον ἔδοξε. τῆς δὲ πικροτάτης μάχης ἐκείνης, καὶ τοῦ φρικωδεστάτου πολέμου τὸ πέρας χρὴ διηγήσασθαι. Τὸ μὲν γὰρ πρῶτον στράτευμα τῶν Μουσουλμάνων ἐκείνων τῇ δεκάτῃ τοῦ Ἰουνίου κατέδραμε, καὶ ἡμᾶς ἀπέκλεισεν, ὡς προείρηται, τῇ δὲ εἰκοστῇ τούτου ἑτέρα ἐφάνη στρατιὰ Μουσουλμάνων, ὡς νέφος χαλάζης πλήρης, καὶ πτερυγὸς, ὀλέθριος, καὶ πᾶσαν, καὶ παντοίαν τὴν ὑπὸ τῶν Ῥωμαίων ἠμαύρωσαν γῆν, καὶ ὡς φλὸξ ἀστραπῆς καιομένης πάντα C κατέκαυσε, καὶ ἐνεπύρισε, καὶ πᾶν ξύλον κάρπιμον, καὶ δένδρον εὔκαρπον, καὶ τὰς κουρβούλας τῶν ἀμπελώνων ἐκ ῥίζης ἀπέτεμον. καὶ πᾶν ἄλλο δεινὸν, καὶ ὀλέθριον καθ' ἡμῶν ἐποιήσαντο. ὁ δὲ στρατάρχης ὁ μέγας, καὶ πάντων ἐκείνων Ἀμηρᾶς καὶ δεσπότης ἔφθασεν, ἦλθε μανὸς, καὶ ἠγριωμένος, ἀλαζὼν, ἐπηρμένος, ὑπέρογκος καὶ γαυριωμένος, καὶ τὴν ὀφρὺν εἰς οὐρανὸν αἴρων, καὶ ὑψηλὸς παρὰ πάντας ἐνόμιζεν εἶναι, καὶ ὑπελάμβανε παρ' αὐτοῦ διοικεῖσθαι τὰ πάντα, καὶ ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ ἄγεται ἅπας ὁ κόσμος. ἀλλὰ καὶ πάμπολλα ἄγων μηχανικώτατα, καὶ μαχιμώτατα ἔργα, προσεδόκων δὲ αὐτῶν μέρος τοῦ τοίχου χαλάσαι τῆς πόλεως, καὶ ἀπὸ D τοῦ τόπου ταύτην καταπατῆσαι, καὶ τοὺς Ῥωμαίους αἰχμαλωτίσαι, καὶ τὸ τοῦ Χριστοῦ τὸ ὄνομα ἀποσβέσαι, ἀλλὰ καὶ στρατιὰς στρατιῶν, καὶ γενεὰς γενεῶν, καὶ πλήθη πληθῶν, πεζῶν, καὶ ἱππέων, εἶχε τοσοῦτον, ὥστε ἅπας ὁ κόσμος ἐκεῖνος ἐσκέπετο ὑπ' ἐκείνων. Τότε δὲ αὐτοῦ τῇ κελεύσει τοῦ Μουρὰτ Πεῆ, τῇ κλήσει τε τοῦ δεσπότου τῶν Τούρκων ποιοῦνται κασίαν μίαν. ἀλλ' αὕτη ἡ μία πολλὰς ὑπερέβη μεγίστας. καὶ γὰρ ἀπὸ τὸ ἓν ἄκρον τῆς πόλεως τῆς Χρυσίας ἕως τὸ ἕτερον ἄκρο τῆς Ξυλοπόρτης ἐκράτει. καὶ ἦν δὲ ἡ κασία πλησίον τοῦ κάστρου, ὅσον τόξου βολὴν, καὶ οὐ πλέον. καὶ ἦν δὲ πᾶσα στερεὰ, καὶ ὀχυρωτάτη ἀπὸ ξύλων μεγίστων, καὶ χονδρῶν σανίδων, καὶ πλεκτὰς ἀπὸ βέργας ἔ- E θηκαν ἔμπροσθεν τῆς κασίας, ἵνα δέχωνται τὰς σαγίττας τῶν τόξων καὶ τῶν τζαγρῶν τῶν Ῥωμαίων, καὶ τῶν κυμπάρδων τὰς πέτρας. ὄπισθεν δὲ ταύτης ἐθέσπισεν, ἵνα ἵστανται στρατιῶται ἐκ πασῶν γενεῶν τοῦ στρατεύματος τούτου τολμηροὶ, καὶ ἀνδρεῖοι. τὸ μὲν, ὡς τὸ ἔθος, εἰς προσοχὴν τῆς κασίας, τὸ δὲ ἵνα φυλάσσωνται δι' ἐκείνης, οἱ δὲ ἵνα μάχωνται ἐξ ἐκείνης, ὄπισθεν μὲν ζαγρῶν τε, καὶ τόξων, καὶ τῶν σκαλιῶν τῶν μεγάλων, καὶ τῶν μι-

ἀρῶν τῶν ἀπείρων, ὡς ἔφερον διὰ τοῦτο. τὰς δὲ σκευὰς τὰς A μεγίστας ἐκείνας ὁποίας εἶχον τὰς ἐλπίδας, ὅτι δι' ἐκείνας τὰ τείχη τῆς πόλεως θέλουσι χαλάσειν, καὶ ἀπὸ τούτου τὴν πόλιν αἰχμαλωτίσαι, ἔστησαν περιέργως εἰς τόπον ἐν ᾧ σοῦδα οὐκ εἶχον ὁμοίαν σουδῶν τῶν ἑτέρων, ἀλλὰ κεχαλασμένη ὑπῆρχεν καὶ ἐκπαλαι γέμουσα χώματα, καὶ ἀντικρὺς ταύτης πύργος εὑρέθη ἐκ συμβάσματος λίαν σεσαθρωμένος, καὶ ἐσχισμένος, ἀπὸ ἄνωθεν ἕως κάτω. καὶ προσδοκῶντες οἱ Τοῦρκοι, ὅτι τῶν μεγίστων βουμπάρδων αἱ πέτραι τὸν σεσαθρωμένον πύργον ἐκεῖνον θέλουσι χαλάσειν. καὶ ἐπεὶ ὁ τόπος σοῦδαν οὐκ ἔχει τοὺς Τούρκους νὰ ἐμποδίσῃ, ἀκωλύτως εἰς τὸ ἔξω κάστρον θέλουσι φθάσειν, καὶ ἐκ τοῦ χαλάσματος τοὺς Ῥωμαίους θέλουσι διώξειν, καὶ τὴν πόλιν θέλουν δουλώσειν. πλὴν εἰς κενὸν ἐκατέντησε τέ- B λος ἡ τῶν ἀσεβῶν προσδοκία, ἐπεὶ ἑβδομήκοντα βολαία τῆς βολῆς τῆς μεγίστης ἐκείνης τὸν σεσαθρωμένον ἐκεῖνον ἔκρουσε πύργον, καὶ οὐδεμίαν βλάβην τοῖς Ῥωμαίοις τοῦτο ἀπήξενεν, ἀλλ' οὐδὲ τοῖς Τούρκοις ὠφέλειαν. πλὴν γὰρ ὁ τόπος καὶ σοῦδα, καὶ πύργος πλησίον Κυριακῆς τῆς ἁγίας μέσον Ῥωμανοῦ τοῦ ἁγίου καὶ τῆς Χαρσῆς τῆς πύλης, καὶ πλησιέστερον τούτων εἰς τὸν ποταμὸν, τὸν ἐπονομαζόμενον Λύκον. καὶ ταῦτα μὲν περὶ τῶν βουμπάρδων τὴν ἀπραξίαν· περὶ δὲ τῶν ἄλλων τῶν κατασκευῶν τῶν μαχίμων, τῶν παντοίων ἐκείνων τῶν κατὰ τῆς πόλεως εἰργασμένων εἰς πολιορκίαν ἐκείνης, καὶ ἀφανισμὸν τῶν Ῥωμαίων τίς διηγήσεται ἄρα; πλὴν ἐκ τῶν πολλῶν ὀλίγας διηγήσομαι ἄρτι. πύργους ξυλίνους μεγίστους μετὰ τροχοὺς σιδηροδεσμευμένους πολ- C λοὺς ἐπήξαντο τότε, ὅσον τὸ ὕψος τῶν πύργων τῆς πόλεως, μᾶλλον καὶ ὑπερεῖχον ἐκείνους, καὶ ζεύγη βοῶν, καὶ βουβαλίων ἀπείρων εἶχασιν ἐξ ἑτοίμου, ἵνα τοὺς πύργους ταυρέσουσι μετὰ σχοινίων, καὶ πλησίον τῆς σούδας φέρουσιν. καὶ ἐξ ἐκείνων τὸ ἔξω κάστρον πολεμήσωσι, καὶ ἀφανίσωσιν. ἀλλὰ καὶ φαλκώνια ἐποιήσαντο, καὶ χελώνας, καὶ ἀρκουδάμαξα, καὶ ἄλλα πολλὰ ξύλινα, καὶ μηχανικώτατα ἔργα, καὶ ἑλεπόλεις ἐκατεσκεύασαν, καὶ μηχανικὰς ἀγκάλας μετὰ τροχοὺς μικρούς, καὶ μεγάλας σκεπαστάς, καὶ μεσέας ὑπὲρ ἀριθμὸν διεπράξαντο, καὶ κατέναντι τῶν πορτῶν τῆς πόλεως τεράστια μεγάλα εἰργάσαντο, κάστρη ξύλινα ὑπερμεγέθη ἐποιήσαντο μετὰ τροχοὺς σιδηροδεσμευμένους, ὥστε τοὺς θεωροῦντας ἐκεῖνα, καὶ ἀγνοοῦντας τῶν κάστρων τοὺς πολέμους, D καὶ τὸ ἀχρησίμευτον τῶν ἐκείνων, καὶ λίαν ἐξέπληξε, καὶ μέγα ἐθρόησε. ἀλλὰ καὶ τὴν γῆν ἄλλοι ἔσκαπτον ἐκ τῆς ταφρίας ὄπισθεν, καὶ εἰς βάθος πολὺ ἐκατέβησαν, ὥστε ἵνα κάτωθεν ἀπὸ τὴν κάτω ὄψιν τῆς σούδας περάσωσιν ἀθεώρητοι τῶν ἐκεῖσε ἄνω ἱσταμένων Ῥωμαίων, καὶ μαχομένων, καὶ φθάσωσιν εἰς τὰ τείχη τοῦ καθολικοῦ καὶ μεγίστου κάστρου τῆς πόλεως, καὶ κόψωσι τοῦτο λαθραίως πάντων. καὶ ποντελειάσωσι κατὰ τὸ ἔθος τῶν πολεμούντων. εἶτα πῦρ εἰς τὰ ξύλα τῶν ποντελείων ἀνάψωσιν, ὅπως τὴν ξυλίνην κατασκευὴν τὴν κρατοῦσαν τὸ κάστρον καταφλέξωσι, καὶ ἄφνω πεσοῦνται τὰ τείχη τῆς πόλεως. καὶ ἅμα εὐθὺς τῶν Τούρκων τὰ στρατεύματα θρασέως κατὰ τῶν Ῥωμαίων ἐμβάλλουσι, καὶ ἐκ τοῦ E χαλάσματος ἐκείνου διώξουσι, καὶ τὴν πόλιν κρατήσουσιν. ἄλλοι τοὺς ἀγωγοὺς ἐγύρευον τοὺς ἐκ πάλαι τὸ νερὸν εἰς τὰς στέρνας τῆς πόλεως ἔφερον· ὅπως τινὰ ἐξ αὐτῶν ἐπιτύχωσι, καὶ λαθραίως τῶν Ῥωμαίων διὰ τοῦ ἀγωγοῦ ἐντὸς γενῆθαι τῆς πόλεως νυκτός, ἀπαραπροσδοκήτως ταύτην κρατήσουσι, καὶ αἰχμαλωτίσουσι. πλὴν καὶ κήρυκας ἐξαπέστειλε

Joann. Can. Narrat.

A tur, indeque pugnam retro stantes, cum tzagris, & arcubus, aliisque machinis, & parvis, & ingentibus prope innumeris, hanc ob causam advectis, conferèrent. Apparatus vero reliquos, eosque ingentissimos, quibus se sperabant mœnia urbis posse disjicere, indeque civitatem capere accurate eo in loco erexere, in quo nulla fossa, aliis consimilis erat; cum ruinis convulsa ab antiquo tempore terra oppleretur. Everterat quoque, ut turris illi adversa maxime putris, & ruinosa ab ima sede ad verticem summum diffinderetur. Hinc Turcæ sperabant ingentissimarum bombardarum saxis putrem illam, ac fragilem turrim facili se se negotio in planum effusuros, & cum nulla esset fos- B sa, quæ retardaret impetus, ex facili in exteriorem urbem illapsuros, deque illa ruina Romanum militem repulsuros, civitatemque debellaturos. Verumtamen impiorum confidentiæ exitus non respondit: namque licet turris putrida machinæ maximæ septuaginta ictibus contusa fuisset, nulla inde Romanis noxa, nullum hostibus emolumentum accessit. Erat vero locus, & fossa prope templum sanctæ Cyriacæ, inter sanctum Romanum, & portam Charsæ, proximiusque flumini, cui Lyco nomen. Et hæc quidem de bombardarum irritis, & sine profectus ictibus. De reliquo vero apparatu bellico, vario equidem illo ac multiplice ad obsidendam C urbem, Græcosque dissipandos congesto quis enarraverit? Ipse ex multis pauca admodum in medium proferam. Turres ligneas maximas rotis ferro colligatis, multas eo tempore compegerunt ad altitudinem urbis turrium, quas etiam superabant; juga boum, ac bubalorum innumera ad trahendas cum funibus, & ad fossas evehendas cum opus fuisset, congesserant, ut illis munimenta urbis exteriora oppressa disjicerent. Item phalcunia, testudines, arcudamaxa, diversaque alia lignea ex abdita mechanicorum disciplina instrumenta, & obsidionalia fabricarunt: necnon ancalas cum rotis parvis, ingentes etiam, & coopertas, & medias D supra numerum confecerunt, & adversus urbis portas, monstrosas, magnasque machinas condiderunt, castella lignea quam maxima rotis ferro circumligatis innixa; ita ut ea intuentes, & urbium violentas invasiones ignorantes, licet etiam ex illis nulla consequeretur utilitas, in stuporem acti præ metu occiderent. Alii terram post aggerem suffodientes in profundum ingens sese immerserant, ut subterraneo gressu infra aggerem invisi nocte, Romanis sursum confligentibus, ad muros ingentis Castri urbis pervenirent, illudque clanculum effoderent, & pro more obsidentium, stipitibus suffulcirent, tum facibus illatis incenderent, ut apparatu ligneo castrum sustinente deflagrato, E subito civitatis muri corruerent, sicque illico, audacterque Turcarum exercitus in Græcos irruerent, & ex ruina illa, fugatis hostibus, urbe potirentur. Alii conductus, qui antiquo ævo in civitatis cisternas aquam deferebant, seduli conquirebant, ut per eos, si sors se obtulisset, clanculum noctu in urbem ingressi, inexpectati cives adorirentur, & servitute opprimerent. Misit præter-

Edit. Paris. pag. 190.

Edit Parif. pag. 191. ea ad omnes Turcarum princeps præconem, qui ita voce declararet, & jurejurando firmaret, *urbis divitias omnes, & universum populum Ameras prædam, rapinamque Mufulmanis concedit; ad pulchram itaque prædam alacres accedite.* Et hæc quidem ille eo fcopo, ut una fimul omnes Mufulmanorum exercitus, quod & factum eft, concurrerent. Namque ut nuncium illud ad Mufulmanorum nationes perlatum eft, reginam urbium in prædam effe datam & ferviturem, fere ex universæ terra, & Mufulmanorum nationibus ad lucrum propofitum advolarunt, non tantum bellandi prædandique gnavi, fed & inexperti, aliufque generis, ac artificii homines veluti mercatores, nummularii, unguentarii, calceolarii, fed ex Turcis etiam, qui fe folitariæ vitæ aftrinxerant, ob hanc eamdem caufam omnes accurrerunt; milites prædandi caufa, alii ut prædam fervituti addictam, alii mulieres, alii viros, alii pueros, alii animalia, alii fupellectilem redimerent: folitarii Moniales noftras prædam, rapinamque fibi concedi a Turcarum principe impetrarent. Hac expectatione ex univerfo terrarum orbe innumera prope Mufulmanorum multitudo recollecta eft; ut quicumque copias affluentes intueretur, obftupefceret. Tum & fagittarum abundantiæ tanta cumulata eft, ut prope incredibilis de ea rumor nobis videretur, donec tempore belli id experti credidimus. Hoc vero modo ea abundantia procurata eft. Singulæ domus cujufcumque hominis, qui fub poteftate, & ditione Turcarum erant, five is in Oriente, five Occidente habitaret, fagittas arcuum non minus decem ad viginti etiam propinavit, & plures etiam bis, cum prælium iniretur, vifæ funt, quas Turcarum armamentarium, & exercitus pharetræ continebant. Convehebat una fecum eo tempore Imperatoris Oratores ferro miferis modis compeditos, quos ipfe pro ineunda pace, ac fœdere poftulaverat. Sed tum veluti barbarus, immitis, atque immifericors, vinculis ferreis aftrictos in cuftodiam dederat, innoxiofque tamquam noxios condemnaverat, quibus etiam mortem minitabatur, caufatus infulfe admodum: ajebat fiquidem, *Græci me impudenter, atque irreverenter allocuti funt, propterea que eos in carcerem, & vincula conjeci.* Tum porro quidam ex Mufulmanis procero, grandique corpore, & apud illos terribilis, quod de progenie & de profapia Mahometis ef-
pag. 192. fet, hunc illi veluti Patriarcham colebant, & veluti Prophetam venerabantur, æqualemque illi cultum ac Mahometo præftabant. Hic tanta apud eos auctoritate pollebat, ut Ameræ Turcarum principis filiam virginem, præter illius fententiam raptam devirginaverit, fecumque retinuerit, & licet cum ea in cubiculo, lectuloque confuefceret, nemo eum vel reprehendere, vel aliquid enunciare aufus fuerit. Immo potius Ameras, & puellæ frater dixerunt, *Concubitus Patriarchæ Mahomethi confanguinei eam fanctificavit, & quod nafcetur ex ea fanctum erit, tamquam quod ex fanguine Mahomethi, fecundum legem, fanctificationemque Rafulis Mahomethi.* Hic itaque maximus, & maxima apud eos auctoritate præditus nobilis Patriarcha,

A πανταχόθεν ὁ δεσπότης τῶν Τούρκων, καὶ ἐδιαλάλησαν οὕτω, καὶ εἶπον ἐνόρκως· ὅτι τῆς πόλεως τὸν πλοῦτον, καὶ τὸν λαὸν ἅπαντα ὁ Ἀμηρᾶς εἰς ἐξάγγελμον παραδίδει, καὶ κοῦρσος τοῖς Μουσουλμάνοις, καὶ φθάσετε εἰς τὸ κέρδος. ταῦτα μὲν εἶπε, μετὰ τεχνάσματος δὲ τοιούτου, ὅπως νὰ συναχθῶσι τὰ στρατεύματα πάντα τῶν Μουσουλμάνων, ὁποῖον καὶ ἐγένετο τότε. ὡς γὰρ ἐξεχύθη ἡ φήμη εἰς τὰ ἔθνη τῶν Μουσουλμάνων πῶς ἐπαραδόθη ἡ πόλις εἰς ἐξάγγελμον, καὶ αἰχμαλωσίαν, σχεδὸν ἐκ πάσης γῆς, καὶ γενεὰς Μουσουλμάνων ἔφθασαν πρὸς τὸ κέρδος μὴ μόνον οἱ ἐπιστήμονες εἰς τὰ κοῦρση, καὶ τοὺς πολέμους, ἀλλὰ καὶ οἱ ἀνεπιστήμονες, καὶ σαρλίδες τεχνῖται πραγματευταὶ, καταλλάκται, μυροψοὶ,
B καὶ τζαγκάροι, ἀλλὰ καὶ Τούρκων πολλοὶ καλογέροι ὑπ' αἰτίας τοιαύτης ἐσυνάχθησαν πάντες. οἱ μὲν στρατιῶται διὰ τὸ κοῦρσος, οἱ δὲ σαρλίδες ἵνα ἀγοράσωσι τὰ κουρσιμαῖα, ἤγουν τοὺς αἰχμαλώτους. καὶ οἱ μὲν τὰς γυναῖκας, ἄλλοι τοὺς ἄνδρας, ἄλλοι τὰ βρέφη, καὶ ἄλλοι τὰ ζῶα, καὶ ἄλλοι τὰ πράγματα. οἱ δὲ Τουρκοκαλογέροι τὰς καλογραίας ἡμῶν κέρδος, καὶ κοῦρσος ἐζητήσαν νὰ ἔχωσι παρὰ τοῦ δεσπότου τῶν Τούρκων. Διὰ γοῦν τὴν προσδοκίαν ταύτην ἐσυνάχθησαν ἐκ πάσης τῆς γῆς Μουσουλμάνων ἀναρίθμητα πλήθη, ὥστε ἐκατεθαύμαζον πάντες οἱ θεωροῦντες τὴν πλησμονὴν τοῦ φωσάτου. τότε δὴ καὶ σαγίτας συνῆξαν τοσοῦτον ἀναρίθμητον πλῆθος, ὥστε ἐδυνατισοῦ-
C μεν τὸ πρῶτον τὴν φήμην τοῦ λόγου, ἕως τοῦ πολέμου τὴν ὥραν. ἡ δὲ συναγωγὴ τούτων ἐγένετο οὕτω. πᾶσα οἰκία παντὸς ἀνθρώπου τοῦ εὑρισκομένου εἰς τὴν δεσποτείαν τῶν Τούρκων ἀνατολῆς, καὶ δύσεως πάσης δέδωκε τούτων ἑκάστη ἀπὸ δέκα ἕως εἴκοσι σαγίττας τῶν τόξων, ἀλλὰ καὶ πλείονας τούτων ἐδόξασαν τοῦ πολέμου τὴν ὥραν, ὁποίας τὸ ἁρματοφυλάκιον εἶχε τῶν Τούρκων, καὶ τὰ ταρχάσια τοῦ φωσάτου. εἶχε δὲ μετ' αὐτοῦ τότε σιδηροδεσμωμένους τοὺς ἀποκρισιαρίους τοῦ βασιλέως, οὓς αὐτὸς ἠτήσατο, μᾶλλον ἵνα πέμψῃ περὶ εἰρήνης τε, καὶ ἀγάπης. αὐτὸς δὲ ὡς βάρβαρος ὠμὸς, καὶ ἀπάνθρωπος σίδηρα, καὶ φυλακὰς αὐτοὺς κατεδίκασε, καὶ τοὺς ἀναιτίους, ὡς ὑπαιτίους ἠ-
D πείλει εἰς θάνατον. προβαλλόμενος δὲ τάχα καὶ αἰτίαν, ἀλλὰ ψυχράν. ἔλεγε γὰρ διότι με οἱ Ῥωμαῖοι ἀναισχύντως συνέτυχον. Διὰ τοῦτο αὐτοὺς εἰς φυλακὴν κατεδίκασα. ἀλλὰ καὶ τότε τίς τῶν Μουσουλμάνων ὑψηλός τε, καὶ μέγας, καὶ φοβερὸς παρ' ἐκείνοις, ὡς ἔτι ἐκ σειρᾶς τε καὶ γένους τοῦ Μεχουμὲτ κατήγετο. τοῦτον καὶ ὡς Πατριάρχην αὐτὸν ἐτιμοῦσαν, καὶ ὡς προφήτην αὐτὸν προσεκύνουν, καὶ ἐσέβοντο τοῦτον, ὡς αὐτὸν τὸν Μωάμεθ. τοσοῦτος καὶ τοιοῦτος μέγιστος ἦν ἐκεῖνος, ὅτι τὴν θυγατέρα τοῦ Ἀμηρᾶ, καὶ δεσπότου τῶν Μουσουλμάνων παρθένον οὖσαν ἥρπαξε παρὰ γνώμην ἐκείνου, καὶ ἔφθειρε, καὶ ἐκράτησε, καὶ ἔχων ἐκείνην, ἐν τῷ κοιτῶνι, καὶ τῷ κλινιδίῳ ἐκείνου, καὶ
E οὐδεὶς ἐτόλμησεν αὐτὸν σκῶψαι, ἤτοι εἰπεῖν πρὸς ἐκεῖνον. ἀλλὰ καὶ μᾶλλον ὁ Ἀμηρᾶς, καὶ ἀδελφὸς ὁ τῆς κόρης εἶπεν. ἡγίασε ταύτην ἡ συνουσία τοῦ Πατριάρχου τοῦ συγγενοῦς τοῦ Μωάμεθ, καὶ τὸ γεννηθὲν ἐξ ἐκείνης ἅγιον ἔσται ὡς ἐξ αἵματος τοῦ Μωάμεθ κατὰ τὸν νόμον, καὶ ἁγιασμὸν τοῦ Ῥασοὺλ Μαχουμέτη. αὐτὸς δὲ ὁ μέγιστος καὶ πολὺς παρ' ἐκείνοις ὁ εὐγενὴς Πατριάρχης, ὃν εἶχον προαν-

ρατικὸν, καὶ προφήτην τοὔνομα Μυρσαΐτης τῇ Περσικῇ διαλέκτῳ ἀπέστειλεν ἀποκρισιαρίους ἀπὸ τῆς Προύσης, ἧς ἐκατοίκει πρὸς τὸν δεσπότην τῶν Τούρκων, καὶ εἶπεν. ὅρα μήπω συνάψῃς πόλεμον, μετὰ τῶν Ρωμαίων, καὶ τὸν στρατὸν ἀπολέσῃς, καὶ τὰ γένη τῶν Μουσουλμάνων, ἕως ὅτι ἐγὼ νὰ φθάσω, καὶ δηλώσω τὴν ὥραν τῆς συμπλοκῆς τοῦ πολέμου, ὡς ὁ μέγας ἡμῖν διδάσκει Ρασοὺλ ὁ προφήτης. καὶ γινώσκω δὲ τοῦτο ὡς προορατικὸς, καὶ προφήτης. Ταῦτα δὲ ἀκούσας τῶν Τούρκων ὁ δεσπότης ἔπραξεν ὡς ὠρίσθη, καὶ ἀνέμενε τὸν ψευδοπροφήτην. καὶ μεθ᾽ ἡμέρας ὀλίγας ἔφθασεν. ἦλθεν ὁ Μυρσαΐτης, καὶ Πατριάρχης τῶν Τούρκων μετὰ πεντακοσίους Τουρκοκαλογέρους ἐπὶ ἡμιόνου καθήμενος, καὶ τῷ σχήματι σοβαρώτατος, καὶ τὸ μεγαλεῖον δεινότατος. τὰ δὲ πλήθη τῶν Μουσουλμάνων εἰς ὑπαπάντησιν ἐξέδραμον τὴν ἐκείνου, καὶ ὡς ἄγγελον ἐξ οὐρανοῦ καταβάντα τὰ μωροθαύμαστα γένη τῶν Τούρκων ὑπεδέξαντο τοῦτον. καὶ μὴ μόνον τοὺς πόδας ἐκείνου κατεφίλουν καὶ τὰς χεῖρας, ἀλλὰ καὶ τῆς ἡμιόνου τοὺς χαλινοὺς, καὶ τοὺς πόδας οὗ ἐποχεῖτο. ὁμοίως καὶ ὁ δεσπότης τῶν Τούρκων δουλοπρεπῶς ὑπεδέξατο τοῦτον. αὐτὸς δὲ σοβαρὸς, καὶ μεγαλοϋπέροχος ἑωρᾶτο τοῖς πᾶσιν. πλὴν δὲ ἐπηρμένος, καὶ γεγαυριαμένος ὡς ὑψηλός τε, καὶ μέγας, καὶ ὡς ἀπόγονος τοῦ Μωάμεθ ἐκαπεδέξατο μόλις, καὶ ἐφθέγξατο ταῦτα. Γινώσκετε Μουσουλμάνοι, καὶ σὺ αὐτὸς ὁ πάντων τούτων δεσπότης, ἐγὼ μὲν ἀπεστάλην παρὰ τοῦ μεγάλου προφήτου Ρασοὺλ Μαχουμέτη, ἵνα ὑμῖν εἴπω τοῦ πολέμου τὴν ὥραν, ὡς προορατικὸς καὶ προφήτης, ὅπως δουλώσωμεν τοὺς Ρωμαίους, καὶ αἰχμαλωτίσωμεν καὶ τὴν πόλιν. ἑτοιμάζεσθε δὲ πρὸς τοῦτο ἕως ὅτι νὰ φθάσῃ ἡ ὥρα, ἣν ποίαν ἐγὼ γινώσκω. καὶ ταῦτα εἰπόντος ἀπέβη τῆς ἡμιόνου, οὗ ἐποχεῖτο, καὶ εἰσῆλθεν εἰς τὴν τένταν τὴν ἱσταμένην ἀπὸ κεντούκλων. καὶ ἤρξατο ἀναγινώσκειν τὰς βίβλους τοῦ Μωάμεθ, καὶ τὰ Ράμπλια πράττειν. μετὰ ὑποκρίσεως δὲ ταῦτα ἐποίει, ὡς ἵνα ἀπατῶνται οἱ Τοῦρκοι καὶ προσκυνῶσι καὶ δοξάζωσιν ὡς προφήτην ἐκεῖνον, καθὼς καὶ ὁ δεσπότης τῶν Τούρκων καὶ πάντες οἱ Μουσουλμάνοι ἀληθῆ καὶ βέβαια κρατοῦσι πάντα τὰ λαληθέντα ἐκείνῳ, καὶ πάντες τὴν κέλευσιν ἔμενον τὴν ἐκείνου, ἵνα προστάξῃ τοῦ πολέμου τὴν ὥραν, καὶ δράμωσι πάντες, καὶ κρατήσωσι τὴν πόλιν, καὶ τοὺς Ρωμαίους αἰχμαλωτίσωσι πάντας. αὕτη δὲ ἡ κενὴ καὶ ματαία ἐλπὶς μέγα θράσος, καὶ τόλμην, καὶ εὐφροσύνην τοῖς Τούρκοις ἐνέπλησεν τότε, καὶ ἀπὸ τότε ἔχαιρον, καὶ ἐσπατάλουν. ἀλλὰ καὶ καθ᾽ ἡμέραν καὶ νύκτα τὰς παλάμας ἐκρότουν, καὶ τοῦ Μυρσαΐτη τὴν φωνὴν ἀνέμενον, ὡς ἀγγέλου ἀληθεστάτου, ὡς ἵνα αἰχμαλωτίσωσι τοὺς Ρωμαίους. ἀλλὰ καὶ καθ᾽ ἡμέραν, καὶ νύκτα, καὶ ὥραν τὴν γλῶσσαν αὐτῶν καθ᾽ ἡμῶν ὡς δίστομον ξίφος ἠκόνιζον. καὶ φωνὰς ἀγρίους καὶ ἀνημέρους ἔλεγον ἀναιδῶς, καὶ ὑβριστικῶς. μὴ μόνον κατὰ Πατριαρχῶν τε, καὶ Βασιλέως αἰσχροτάτας φωνὰς ἀνέπεμπον, ἀλλὰ καὶ κατὰ τῆς πίστεως ἡμῶν τολμηρῶς ὀνειδίζοντες, καὶ ἀναιδῶς βλασφημοῦντες ἔλεγον. Ποῦ ὁ Θεός σας, ὦ σκοτεινοὶ Ρωμαῖοι; ποῦ ὁ Χριστός σας; ποῦ εἶναι οἱ ἅγιοί σας νὰ σᾶς βοηθήσουν; αὔριον τὴν πόλιν ἐπέρνομεν, καὶ ἐσᾶς αἰχμαλώτους, καὶ σκλάβους ἔχομεν, καὶ τὰς γυναῖκας σας, καὶ τὰ παιδία σας ἔμπροσθεν ὑμῶν ἀτιμάσωμεν. καὶ τὰς καλογραίας σας μὲ τοὺς Τουρκοκαλογέρους νὰ πανδρέψωμεν. μὰ τὴν πίστιν μας ἀλήθεια ὁ προφήτης μας

quem illi rerum futurarum prospectorem, & præcentorem reputabant, *Mersaita* dialecto Persica nuncupatus, misit Prusa, in qua sibi domicilium elegerat, ad Turcarum principem Legatos, qui dicerent, *Cave, ne cum Romanis pugnam ineas, & exercitum, gentemque perdas Musulmanorum, donec ipse advenero, indicaveroque tempestatem conflictus, ut magnus nos docet Rasulus Propheta; hoc vero cognosco, tamquam qui divina mente res prospiciam, & prædicem.* Hæc audiens Turcarum princeps jussibus obediit, & Pseudoprophetam expectabat, qui non multos post dies advenit. Accessit Mersaita, & Patriarcha Turcarum cum quingentis Turcis solitarium institutum professis, mulæ assidens, figura insolentissimus, astu, ac fastu vehementissimus. Musulmanorum copiæ illi obviæ factæ sunt, & tanquam Angelum de cælo nationes illæ Turcarum, quibus res ineptissimæ, stultissimæque admirationem movent, proni admittunt, neque manus illius, pedesque tantummodo deosculantur, sed & mulæ qua vehebatur, fræna, & pedes. Eadem ratione & Turcarum princeps serviliter excipit. Ille gravis, aliosque maximo intervallo supereminens omnes, necnon superbia tumens, & magnifice sese jactans, atque ostentans, veluti procerus, & magnus, & de prosapia Mahometi, vix tandem sermonem in se assumpsit, dixitque, *Scitote Musulmani, & tu qui omnibus præes, me a magno Propheta Rasule Mahometo missum fuisse ad constituendum tempus, tamquam qui futura prænosco, & Vates sum, prænuntiandum, ut Græcos in servitutem, urbem in captivitatem dedamus. Accingite ergo vos, & præparate quousque quod ipse novi tempus advenerit.* His dictis, mula, qua vehebatur descendit, & in tentoriam introit ex centumculis confectum, cœpitque libros Mohameti percurrere, & Ramplia conficere, sed cum simulatione, ut Turcæ decepti ipsum tamquam Prophetam venerarentur, & adorarent: quemadmodum Turcarum princeps, & reliqui Musulmani vera, firmaque tenebant, quæ ille edixerat, jussaque illius expectabant, ut tempus pugnæ præciperet; tum enim ipsi convolantes urbe potirentur, Græcosque omnes in captivitatem abducerent. Hæc vana spes ac futilis magnam Turcis eo tempore vim, & audaciam, necnon lætitiam abunde conciliavit, & ex eo tempore gaudio gestiebant, & deliciose vitam agebant, imo die noctuque palmas percutiebant, vocemque Mersaitæ expectabant, tamquam veracissimi Angeli ad Græcos captivandos. Singulis quoque diebus, ac noctibus, imo horis linguam adversus nos, veluti utrinque præacutum ensem divertebant, voces efferas, atque inhumanas, impudenter, injurioseque emittentes: non tantum Patriarcham, & Imperatorem, sed fidem etiam nostram audacter improperantes, & inverecunde blasphemantes. *Ubi est Deus vester? o tenebricosi Romani! ubi Christus vester? ubi sunt Sancti vestri, qui vobis opem tulerunt? Cras urbe potiemur, & vos servos, captivosque conducemus, uxoribus vestris, & filiis vestris, vobis inspectantibus convicium faciemus: vestras moniales cum Turcarum monachis desponsabimus, per fidem nostram vere hæc Propheta noster prædicat.* Hæc

E lib. Paris. pag. 193.

Ἡ δόξα δὲ πολλοῖς ἐπὶ τῷ Βλεμμύδῃ) Gregoras. *ἐπαίρματα τοίνυν καὶ λόγοι προὐτίθεντο περὶ τοῦ Πατριαρχείου ἀναδεξαμένου τινὸς οἴακας. καὶ ἦσαν ἐπὶ γλώττης πολλοί τε τῶν ἐπιδόξων, ἄλλοι ἄλλους. ἐν τοῖς πάντων δ' ἔκειτο στόμασι μᾶλλον ἁπάντων ὁ σοφίᾳ καὶ ἀρετῇ περιώνυμος Νικηφόρος ὁ Βλεμμύδης, ὃς ἐτύγχανε παρὰ τὴν ἑαυτοῦ μονὴν, ἀθόρυβον ποιούμενος τότε τὴν δίαιταν, καὶ ἀσκήσει τραχείᾳ συντείνων τὸν βίον.* Acropolita Manuelem vocat Patriarcham demortuum, Gregoras Germanum: sed de his nos alibi egimus.

Μοναχὸν τινα εἶναι μηδὲν ἐν τῇ τοῦ Ἀπολλωνιάδος) Gregoras. *οὕτω μὲν δεξαμένου προὐκρίθη τῶν ἄλλων ὁ μοναχὸς Ἀρσένιος, ὃς τηνικαῦτα τὸν ἀσκητικὸν εἶχε δίαυλον περί τινα τῶν ἀσκητηρίων, ὃ κατὰ τοὺς τῆς Ἀπολλωνιάδος ἵδρυται χώρους. ἀνὴρ περιφανὴς μὲν οὐ κατ' αὐτὸν ἀρε-*

Edit. Paris. pag. 258.

τήν, τὴν δὲ τρόπων ἁπλοῖς, καὶ μὴ πολλοῖς ἐξελίσσειν εἰδὼς τὰς λαβυρίνθους περὶ τῶν λογισμῶν. ἱερᾶται τοίνυν οὗτος, ἐκ Πατριάρχης χειροτονεῖται κοινῇ τῶν τε Ἀρχιερέων γνώμῃ καὶ ψήφῳ, καὶ τὰ βασιλέως τὰ μέγιστα συναινούντος, καὶ ἐπικυροῦντος ὡς ἔθος τὴν ἀρχιερατικὴν ψῆφον ἀπαιτεῖν.

Ἐν μιᾷ ἑβδομάδι Διάκονον καὶ ἱερέα) Hujus ordinationem per hebdomadam absolutam, uti non ita usitatam in ea Ecclesia narrat Acropolita, de qua nos egimus in tractatu de ordinationibus Græcorum.

CAPUT LIV.

Ἐξορμήσας τὸ Αἷμον, καὶ τὸν Εὖρον) Gregoras lib. 3. *ἀκούσας γὰρ ὁ τῶν Βουλγάρων ἀρχηγὸς, ὅτι ὁ βασιλεὺς ἐτεθνήκει, πρὸς ἀδίκους ἐβλάψεν αὐτίκα τῶν μετ' ἐκείνου σπονδῶν, καὶ συνεχεῖς. λοιπὸν ἐπῄει τοῖς ὁρμαῖς κατὰ τῶν ἐν Θρᾴκῃ Ῥωμαϊκῶν πολιχνίων, ὡς καὶ ἐν ὀλίγῳ τῶν περί γε Ῥοδόπην τὰ ὄρη ποιήσασθαι ὑποχείρια. τὸ δ' αὐτὸ καὶ ὁ δεσπότης περὶ Θετταλίαν ἐπεποιήκει Μιχαὴλ κατὰ τῶν ὁμορούντων αὐτῷ χωρῶν, καὶ πόλεων, ὁπόσαι Ῥωμαίοις τηνικαῦτα ἦσαν ὑπήκοοι. ἀλλὰ γὰρ πρῶτον ὁ βασιλεὺς*, &c.

CAPUT LXI.

Πολλὴν συλλεξάμενος στρατιάν) Gregoras lib. 3. *ἀπηγάγετο δὲ στρατιὰν πολλῷ τῷ μέτρῳ τὴν τοῦ πατρὸς ὑπερβαίνουσαν. οὐ γὰρ μόνον ἐξ ὧν εἶχε συνεκρότει στρατόν. ἀλλὰ καὶ ὅσοι περὶ τὴν τῶν κυνηγεσίων ὑπηρεσίαν ἐσχόλαζον, πάντας κοινὸν καὶ ὀρνέων ἀποδείξας, στρατιᾷ συνέλεξεν.*

Ὡς δὲ καὶ τὸν Περσάρχην μὴ πράγματα ἔχειν) Gregoras ait fœdus cum Turcis, quod pater percusserat, renovasse: *ἀλλὰ γὰρ πρῶτον ὁ βασιλεὺς, ἃς μετὰ τῶν Τούρκων ὁ πατὴρ ἐπεποιήκει σπονδάς, ταύτας ἤδη καὶ αὐτὸς ἀνανεωσάμενος ἐπεκύρωσεν, ἵν' εἴη φροντίδος ἀπάσης ἐκτὸς τῶν ἑῴων χάριν πραγμάτων. εἶτα διέβαινε τὸν Ἑλλήσποντον ἐν τούτῳ τοῦ χρόνου, ἐν ᾧ καὶ Πλειάδες ἄρχονται ἐπιτέλλειν.*

Ἐκπεπλήχθησαν γὰρ καὶ αὐτοί) Gregoras. *ἐπεὶ δ' ὁ τῶν Βουλγάρων ἄρχων τὴν τοῦ βασιλέως ἠκηκόει βαρεῖαν ἔφοδον, φόβον οὐδὲ μεγάλοις καρδίαν ταράττεσθαι ἤρχετο, συχνοῖς τε ἐβάλλετο ἄλλοτ' ἀλλοίοις τοῖς λογισμοῖς.*

CAPUT LXII.

Ὁ μὲν τῶν Βουλγάρων ἄρχων) Gregoras. *ἐπεὶ δὲ καὶ τέλειον τὸν τῶν πραγμάτων διδόναι κρίσιν, ἄπορον ἦν αὐτῷ σφόδρα τῶν ἀδυνάτων. τοῦτο μὲν ὅτι στρατὸς ἀντίρροπος οὐκ ἦν αὐτῷ, οὐδ' ἱκανὸς ἀντιπαρατάξασθαι πολεμίων τοσούτῳ πλήθει, καὶ ἅμα βαρείᾳ καὶ λαμπρᾷ κατωχυρωμένῳ τῇ ὁπλίσει, τοῦτο δ' ὅτι καὶ βασιλέα ἑώρα νέον, καὶ λαμπραῖς ταῖς φιλοτιμίαις ἀνθοῦντα, καὶ τελεσιουργοῖς ταῖς ὁρμαῖς χρώμενον ἐς τὰ πράγματα, ὅγε τὸ συνεῖσαι ὀξὺ, καὶ τὰς προτέρας ἀνεκαλεῖτο σπονδάς. ἦν γὰρ ἐν ἐλπίσιν αὐτῷ ῥᾷστα τυχεῖν τῆς βασιλικῆς ἁρμονίας, ὅτι γαμβρὸς ἦν ἐπ' ἀδελφῇ τούτῳ ὁ βασιλεύς. καὶ ἅμα ἤδει ὡς καὶ ὁ ἐκ Θετταλίας φήμη τοῦ δεσπότου Μιχαὴλ, βιαίως αὐτὸν ἀθέλκουσα ἵστατο, τὰ ἐκεῖσε τὴν ταχίστην ἀπελθόντα καταστήσασθαι, πρὶν ὑπὸ χεῖρα γενέσθαι πάντα τῷ Μιχαὴλ. ὡς γὰρ οὐ μακρὸν οὐδὲ τοῦτο, δεηθεὶς πάσας σπείσασθαι αὐτῷ. καὶ μέντοι καὶ πρέσβεις ἀποστείλας ἐν βασιλέα, ῥᾷστα κατὰ τὰς ἐλπίδας ἔτυχε τῶν σπονδῶν, ἀποδοὺς πάνθ' ὅσα μετὰ τὴν παραπορευθεῖσαν εἶχε Ῥωμαίων ὑποτελῆ φρούρια.*

CAPUT LXIII.

Στρατιάν, ἣν καὶ πάλιν κινουμένην) Et ante Theodorum Anna Comnena Alexiad. lib. 13. *δεῖν ἐλογίσατο σύνταξιν ποιῆσαι εἰς πολέμου χεῖρα διανυσαμένην, καὶ αὐτίκα κατὰ λόχους αἱ φάλαγγες ἵσταντο, καὶ οἱ λοχαγοὶ προὐβέβληντο, καὶ τῶν οὐραγῶν αἱ τάξεις ἐφίσταντο, καὶ οἱ τὸ μέσον τῆς φάλαγγος ἀναπληροῦντες ἀνεῖλκυσαν ἄπαντες τοῖς ὅπλοις μαρμαίροντας. καὶ ἦν φοβερόν.* pag. 259.

θέαμα ἐκεῖνο τὸ σύνταγμα καθάπερ τὶ πόλεως τεῖχος ἔμψυχον συνηρμοσμένον. εἶπες ἂν χαλκοῦς ἀνδριάντας ὁρᾶν, καὶ αὐτολύτους ἐπὶ πεδίου τινὰς στρατιώτας συμπεπηγότας ἀτρεμεῖν, μόνων τῶν δοράτων κραδαινομένων, καὶ ὥσπερ ἐπιθυμούντων χρωτὸς ἅψασθαι. lib. 13. ὁ δὲ τὴν καινὴν ἐκείνην αὖθις παράταξιν ἐκτυπωσάμενος, καὶ μέσον τοὺς δορυφόρους ἅπαντας γυναιξὶ καὶ παιδίοις εἰσελάσας τὴν αὐτὴν ἀτραπὸν ᾔει, δι' ἧς ἐληλύθει ὁδοῦ. καὶ ἐφ' οὓς ἂν προσπελάσοι τόπους μετ' ἀσφαλείας ἁπάσης ἐπορεύετο, καὶ εἶπες ἂν ἰδὼν πόλιν τινὰ ἔμψυχον πεπυργωμένην πορεύεσθαι κατὰ τὴν εἰρημένην ἐκείνην κινουμένην σύνταξιν. &c. ἀλλ' αὕτη ἡ παράταξις καινή τις καὶ παράδοξος ἅπασι κατεφαίνετο, καὶ ὁποίαν οὐδείς πω ἄνθρωπος τεθέαται, οὐδ' ἱστορικοῖς τισὶν ἄνωθεν παραπέμψαντο. Ἐπεὶ γὰρ τῆς πρὸς τὸ Ἰκόνιον ᾔχετο συντεταγμένος τε ἐπορεύετο, καὶ ῥυθμὸν αὐτῷ τὴν κίνησιν τοῦ συντάγματος ἐπεποίητο, εἶπες ἂν τὴν φάλαγγα πᾶσαν ἰδὼν, καὶ κινουμένην ἀκίνητον μένειν, καὶ ἱσταμένην πορεύεσθαι. τῷ μὲν γὰρ συνασπισμῷ καὶ τῇ ἀλληλουχίᾳ τῆς παρατάξεως ταῖς ἀσαλεύτοις ὄρεσιν ἐῴκει, ταῖς δὲ μεταβάσεσι κινεῖσθαι, ὥσπερ ζῷόν μέγιστον ἦν, ἡ σύμπασα φάλαγξ ὑπὸ μιᾶς κινουμένη καὶ μεταβαίνουσα ψυχῆς.

Ἐπεὶ δὲ καὶ ὁ Σεπτέμβριος ἐφειστήκει μὴν) Gregoras. ὥρτι τοῦ ἡλίου περὶ τροπὰς τυγχάνοντος φθινοπωρινὰς ὑπολαβὼν τὰ Ῥωμαϊκὰ στρατεύματα, διὰ Θετταλίας ὁ βασιλεὺς ἐπορεύετο. ἀλλὰ γὰρ ὅτι ἐν Μακεδονίᾳ τὰ βασιλικὰ στρατόπεδα ὑπεδέχετο, καὶ Θεοδώρα ἡ τοῦ αὐτοκράτορος Μιχαὴλ γυνὴ ἐφοίτα πρὸς αὐτὸν, ἐκτελέσουσά τε τοὺς γάμους τοῦ τε υἱοῦ Νικηφόρου, καὶ Μαρίας τῆς τοῦ βασιλέως θυγατρὸς, καὶ ἀποδώσουσα, ὅσα παρέξειν ὁ ἀνὴρ αὐτῆς ἐν λόγοις τρόπῳ ὑπηγάγετο μέρη τῆς τῶν Ῥωμαίων ἐπικρατείας. καὶ δὴ ταῦτα μετὰ μικρὸν ῥᾳδίως τῷ βασιλεῖ τελεσθέντα, καὶ ἡ Θεοδώρα ἀπῄει πρὸς τὸν ἄνδρα Μιχαὴλ, καὶ Μαρίαν ἤδη μεθ' ἑαυτῆς ἐπαγομένη τὴν ἐπὶ τῷ υἱῷ νύμφην.

CAPUT LXIV.

Ὡς Μιχαὴλ ὁ Κομνηνὸς Παλαιολόγος) Gregoras. ἐν ταύταις δ' ὠχολουμένῳ τῷ βασιλεῖ γράμματα ἐφοίτα περὶ τῶν Νικαίων τὴν τοῦ Παλαιολόγου Μιχαὴλ ἐς τοὺς Τέρκας φυγὴν ἀπαγγέλλοντα. αὐτῷ γὰρ ἐξ ἴσου τὴν τῶν Νικαίων ἡγεμονίαν ἐπέτρεψεν, ἕως ἂν ἐκ τῆς ἐκστρατείας αὖθις ἐπανέλθῃ πρὸς αὐτήν.

Ἐταράχθη γοῦν ἐπὶ τούτοις ὁ βασιλεύς) Gregoras. ὁ δὲ καὶ ἀμετρίαις τὴν βασιλέα λελύπηκε, καὶ εἰς ταραχὴν ἐνέβαλε λογισμούς.

Ὅτι περ ἔβλω, οἶσθα, ὦ βασιλεῦ) Gregoras. ὁ δὲ φράσας τῆς φυγῆς τοιαύτῃ τις ἐλογίζετο. ὑμεῖς φησὶ, ἀναρριπτοῦντες πολλῷ πολλαχόθεν τὸν φθόνον, καὶ λόγους φθονερὰς λάθρα τὴν ἀκοὴν αὐτοῦ ἐπεμπαλίζοντες, καὶ κολάσεις κατ' αὐτοῦ περὶ τοῦ βασιλέως μελετωμένας, καὶ ψιθυρίζοντας, οἷαι αὐτοὺς ἐχθραὶ ὑπόδικας ἐπαράσσαιτε, μόνον ὅλως ἐφ' ἡσυχίᾳ μὴ ἔχειν. ἀλλ' ἀνάγκῃ καὶ ἀεὶ ταῦτα φερόμενοι, μεσοῖ ὧν λογισμῶν πολεμίων τὴν ψυχὴν, ἅπερ ἀσχάλλουσι ἀγνώστων τε καὶ φανέντων, καὶ ἀγεννῶς ὑπερεττόντων. οὐδὲν γάρ τι τοῦ βασιλέως πρὸς τὰς τιμωρίας ἀποτομόν τε ξανθεῖς, καὶ ὀξύρροπον, καὶ ἀμαυροῦσθαι, εἰ δέοι πλατυνθεὶς ἐνίστη πρὸς τὸ βασιλέως αὐτῷ γενησόμενον. ἐπεὶ καὶ ἀγγελίαι διέβαλλε, καὶ ἐς ὕψος κεκορυφῶσθαι μακρὸν, αἷς οἱ φθάνοντες κατ' αὐτοῦ συνεκίνησαν. καὶ τὰς τοῦ βασιλέως χεῖρας ἐκπεπτώκασιν, ἑώρα δὲ ἂν ἔβλεπεν αὐτῷ ἀπολέσθαι ἐν βραχεῖ. ταῦτ' ἄρα καὶ ἀπογνοὺς φυγῇ τοῖς σωτηρίοις ἐπεσχάζεσθαι βέλτιον πάσης ἐπιθέσεως. Nec diversa sunt quæ Phranza commemorat.

Ταῦτα ἐκεῖνος ἐμάνθανε) Georgius Pachymeres
Edit. Parif. pag. 260. lib. 1. cap. 9. τότε δὴ καὶ τοῦ Παλαιολόγου εἰς κεφαλὴν τεταγμένης μεσοθυνίας, καὶ αὐτοῖς ὑπτιασμάτων ἐκεῖνο προσπεξάντας, καὶ τὰ παλαιὰ κατ' Ἰταλοὺς πρέποντας, πρὸς τὸν τοῦ παλατίου Κόττοις ἐπώνυμον τῷ ἀνδρὶ, καὶ ἐς τὰ μάλιστα οἱ τῶν φίλων ἂν, καὶ δῆλοι εἶεν περὶ τοῦτο ἀγωνιῶν, ἐξ ὧν πρὸς αὐτὸν διεξῄει, καὶ εἰ μὴ φυγαδεύσειεν, ἔλεγεν ἡμερῶν ὀλίγων ὡς μεγάλης συμφορᾶς τὰ κατὰ σὲ προσβήσεται. ἀλλ' οὐδ' ἐμοὶ τοιοῦτόθεν ἀκίνδυνον μένειν, ἀλλ' αὐτομολητέον πρὸς Πέρσας ἀμφοτέροις, εἴ σοι μέλει τῶν ὀφθαλμῶν. Ταῦτα λέγει καὶ πεῖσθαι πληροφορεῖν φίλοις ὡς τὴν ἀεὶ περὶ αὐτῷ δοθεῖσαν τῶν ὑποτρεχόντων τῆς ἀρχῆς ὑποψίαν. οὐδὲ γὰρ οὐδὲ τὴν δίκην ταύτῃ εἰς μάχην Χαρτουλαρίου τεταγμένον Παλαιολόγου Μιχαὴλ, καὶ αὐτὸν ἀκούοντα ἀκίνδυνον εἶναι ἀνύποπτον. ἀλλὰ περὶ τῆς ἀρχῆς ἐρωτηθέντα ἁπλοϊκῶς φάναι λέγεται, ὡς εἰ ἀσχημονήσειε τῷ πρὸς Θεῷ τὸ ἄρξαι ἀνυπαιτίως ὁ καλούμενος, ἢ δὲ χεῖρον καὶ νεμεσηθεὶς, οἷον παρὰ τοῦ κρατοῦντος, εἰ τοιοῦτος μετασωρεύζει τὰ νομοῦ τῇ φυλακῇ δίδοσθαι δεσμοῖς. Τοῦτο τοίνυν μαθὼν, καὶ εἰς ἀνὰς δύσαι, ἐμμένων μὲν κινδυνεύειν, δεινὸν ἡγεῖτο, καὶ λίαν ἐλεεινόν. τὸ δ' αὐτομολεῖν αὖθις πρὸς ἀλλοτρίους, σωτήριον μὲν ἀλλ' ἐπίμωμον ἔκρινε. τοῖν δὲ δυοῖν νομιζομένοιν κακοῖν, τὸ φόβῳ προστεθέντι, αἱρεῖται τὸ ἔλαττον. καὶ δὴ ἐκ τοῦ ἀεὶ ἔχει προσπαθησάμενος τὸ ἀφαίμακτον παραλαβὼν, καί τινας τῶν οἰκείων, καὶ τὸν ποταμὸν περαιωθεὶς Σαγγάριον, τῆς ἄλλης Περσίδος ἀνὰ κράτος ἵεται, καὶ τῷ Σουλτὰν προσχωρεῖ.

CAPUT LXV.

Ὁ δὲ ὡς κατὰ νόμον φυγάδα τοῦτον ἐδέξατο) Gregoras lib. 3. ἐπεὶ δὲ καὶ ἀπιὼν παρὰ τὸ Ἰκόνιον, ἅμα τῷ πυθέσθαι τὸν Σουλτὰν πάσῃ σπουδῇ τὰς ἑαυτοῦ συγκροτοῦντα δυνάμεις, ἐν ἐπελαύνοντα κατὰ πλῆθος τὰ Σκυθικὰ στρατεύματα δέξατο, ὥσπερ τι μέγιστον ἕρμαιον ἔδοξεν ἐκείνῳ καὶ μάλα τι καίριον. Georgius Pachymerius. ὁ δὲ ἀσμένως δέχεται τοῦτον καὶ τιμᾷ ταῖς προσηκούσαις τιμαῖς, ἔργῳ χρῆν τῇ ἀλλοδαπῇ συμμαχίᾳ βαρβαρικαῖς παραταξάμενος συνεκλεῖσαι κατὰ τῶν ἐχθρῶν τοῦ Σουλτὰν ἀριστεῦσαι.

Τὸν μὲν δὴ Μιχαὴλ τὸν Κομνηνὸν εἰς ἡγεμόνα) Gregoras. ἐπεὶ γὰρ εἴσαντό τ' αὐτῷ πάλαι δεδουλωμένοι Ῥωμαῖοι συχνοὶ, τούτους εἰς μοῖραν καταλέξας στρατοῦ, ὑπὸ στρατηγῷ τῷ Παλαιολόγῳ τάττεσθαι προτετάχει, Ῥωμαϊκὴν καὶ ξένην, ὁ κατὰ τὴν ἐκείνου ἐγχώριον περικείμενος στολήν τε καὶ ὅπλισιν, ἵνα ταῖς Σκύθαις κατάπληξις τὸ πρᾶγμα γένηται, λογισαμένοις χεῖρα συμμαχικὴν ἐκ Ῥωμαίων ἄρτι ἐληλυθέναι. ὃ δὴ καὶ ξυνέβη. φασὶ γὰρ τοὺς Σκύθας, ὁπότε ξυνιέναι εἰς χεῖρας τοῖς Τούρκοις, στολήν τινα καὶ δέος οὐ μετρίαν σχεῖν. ἀλλόκοτον ἐξαίφνης ἰδόντας στρατὸν κατ' αὐτῶν ἐπιόντα. καὶ τάχα ἂν σὺν οὐδενὶ κόσμῳ φεύγοντες ᾤχοντο κατὰ νώτου λαβόντες διώκοντας, &c. Ex Gregora sua habuit Phranza lib. 1. cap. 2.

Ἀνὴρ δέ τις τῶν ἐν Πέρσαις περιφανὴς) Gregoras. καὶ τάχα ἂν σὺν οὐδενὶ κόσμῳ φεύγοντες ᾤχοντο κατὰ νώτου λαβόντες διώκοντας, οὐδ' ἀπεῖπον χειρώσασθαι ἐλπίσαι, εἰ μή τις τῶν τοῦ Σουλτὰν κατὰ γένος προσηκόντων τινὰ προλαβοῦσαν ὑπέχθεσαν, πολλὴν ἐπαγόμενος στρατιὰν, ὑπὸ προαιρέσει τοῖς Σκύθαις, ῥυσάμενος αὐτὸ τῆς μάχης. οὕτω γὰρ τὰ τῶν Τούρκων ῥῆστα ἀνέτρεψε πράγματα, καὶ τὴν πλείονα χώραν αὐτοὺς τῷ τῶν Σκυθῶν ὑπέθηκεν αἰχμῇ.

CAPUT LXVII.

Κατὰ ταῦτα δὲ καὶ τὰ τοῦ Δυρραχίου) Anna Comnena Alexiad lib. 12. ἀλλὰ περὶ ὧν εἰς αὐτὴν ἐκείνην τὴν ἐπὶ τῷ Δυρραχίῳ μάχην τοῦ τυράννου Βαϊμούνδου, ἀναγκαῖον ἐστὶν εἰπεῖν ὅπως ἔχει θέσεως ἡ πόλις. κεῖται μὲν ἐπ' αὐταῖς ᾐόσι τοῦ Ἀδριατικοῦ πελάγους, ἐν τῷ μέσῳ δὲ ἐκτέταται πέλαγος πολὺ καὶ μακρὸν, καὶ κατὰ πλάτος μὲν παρατείνεται εἰς τοὺς περάτας τῶν Ἰταλῶν. κατὰ μῆκος δὲ αὐτοῦ, καὶ ἐπικάμπτει πρὸς ἀνατολάς τε καὶ πρὸς βορρᾶν. πρὸς τοὺς Οὐεττούας βαρβάρους ὧν κατεντικρὺ κλίνεται τῶν Ἀπουλίων ἡ χώρα. καὶ καθόλου μὲν ὁ Ἀδρίας οὗτος περατοῦται. τὸ μέντοι Δυρράχιον ἡ Ἐπίδαμνος, ἀρχαία πόλις καὶ Ἑλλήνων, κατωτέρω μὲν κεῖται τοῦ Ἐλισσοῦ καὶ πρὸς τὰ ἀριστερὰ μέρη ταύτης. ἀνωτέρω δὲ ὁ Ἐλισσὸς, καὶ δεξιώτερος. οὗτος δὲ ὁ Ἐλισσὸς εἴτε ἀπὸ τοῦ ποταμοῦ Ἐλισσοῦ ὀνομαζομένου, συμμιγνυμένου τῷ Δρίμωνι μεγίστῳ ποταμῷ, εἴτε ὅπως ἁπλῶς τὸ πολίχνιον ὠνόμασαι, ἰσχυροτάτου ἐστὶν. Ὁ δὲ Ἐλισσὸς μετέωρόν ἐστι πολίχνιον, καὶ πάντῃ δυσάλωτον. κάτω καὶ περὶ τὰς πεδιάδας pag. 261. ὁρᾶται τὸ Δυρράχιον, ὡς λέγουσι, τοιοῦτον δὲ ἀσφαλὲς ἔστι καὶ ἠπείρου καὶ ἐκ θαλάττης πολλὴν ὠφέλειαν ποιεῖ Δυρραχίῳ, τὸ πολίχνιον τοῦ Ἐλισσοῦ. καὶ ἀποχρησάμενος ὁ Αὐτοκράτωρ Ἀλέξιος εἰς βοήθειαν τῆς πόλεως Ἐπιδάμνου ἀπό τε τοῦ ποταμοῦ Δρίμωνος ναυσιπόρου τυγχάνοντος, καὶ ἀπὸ τῆς ἠπείρου τὴν πόλιν Δυρραχίου κατησφαλίσατο, τὰ χρειώδη ἐκ γῆς καὶ θαλάττης εἰσάγων, ὥστε εἰς τροφὰς τῶν

αὐτόθι στρατιωτῶν τε, καὶ ἀκοντόρων, καὶ ὅσα πρὸς ὅπλα καὶ μάχας ἦν ἐπιτήδεια· ὁ δὲ Δρυμὼν αὐτὸς ὁ ποταμὸς, ὅτι τὰ καὶ περὶ τὸ ῥεῦμα τοῦτο προσιστορῆσαι μικρὸν μὲν ἄνωθεν ἀπὸ τῆς Λυχνίτιδος λίμνης, ἣν ἡ νῦν γλῶττα ἐκβαρβαρώσασα Ἀχρίδα προσηγόρευσεν ἀπὸ Μάκρου τοῦ Βουλγάρων βασιλέως τὰ πρῶτα καὶ τὰ ἔσχατα Σαμουὴλ τοῦ ἐπὶ τῶν βασιλέων Κωνσταντίνου καὶ Βασιλείου τῶν πορφυρογεννήτων γεγονότος, ἀπὸ σταδίων τάφρων ἑκατὸν, ὡς γεωγραφεῖς ἐπονομάζομεν. καὶ γὰρ ὑπορρέουσιν ὥσπερ ἀπὸ τινων ἀρχῶν ἀπὸ τῆς λίμνης διαμερίζονται ποταμοὶ, ὧν οἱ ἐκεῖ ἥκοντες οὐ λέγουσιν. καθ᾽ ὅσον τῷ ποταμῷ τῷ κατὰ τὸν Δαίβρην ἑνούμενος, ἐξ οὗ καὶ Δρυμὼν ἐπονομάζεται, καὶ συνεχεῖς αὐτῷ γινόμενοι πλατύνουσί τε αὐτὸν, καὶ μέγιστον ἐξεργάζονται, δι᾽ τῶν ἐσχάτων τῶν Δαλματῶν παραμείβων, καὶ πρὸς βορρᾶν ἰὼν, ἔπειτα ἐπικάμπτει πρὸς νότον, καὶ περὶ τὰς ῥίζας τοῦ Ἐλισσοῦ γενόμενος, εἰς τὸν Ἀδριατικὸν ἐκδίδωσι κόλπον· ταῦτα μὲν περὶ τε τῆς θέσεως Δυῤῥαχίου καὶ Ἐλισσοῦ καὶ τῆς ἀσφαλείας ἑκατέρων τῶν τόπων γεγράφθω. Et lib. 13. ἀλλὰ δεῖ μοι πρότερον ὀλίγα περὶ τοῦ χώματος Δυῤῥαχίου ἀφηγήσασθαι. τὸ μὲν τεῖχος ταύτης ὑπερχαλάσαι τοῖς πύργοις, οἱ δὲ πύργοι κυκλόθεν ταύτης ἐξανεστήκασιν, ὅσον εἰς δέκα πόδας ὑψούμενοι διὰ κοχλίου τινὸς τὴν ἄνοδον ἔχοντες, ἐπάλξεσί τε ὠχυρωμένοι· οὕτως ἔχει χώματός τε καὶ ἀσφαλείας ἡ πόλις. τὸ δὲ πάχος τοῦ τείχους εἰς ἀξιόλογον πάχος ἐκτέταται, καὶ τοσοῦτον, ὥστε ἐπ᾽ αὐτῷ ἱππότας ἄνδρας καὶ πλείους τῶν τεσσάρων τοὺς ἅμα συμμίξαντας, διϊππάσασθαι ἀσφαλῶς. οὕτω μὲν ἐν ἐκτιθέσθω μοι τὰ περὶ τὰ τείχη ὡς ἐν παραδρομῇ τοῦ σαφηνείας τῶν μελλόντων ῥηθῆναι προπαρεσκευασμένα.

CAPUT LXVIII.

Τοὐντεῦθεν εἰς ἀποστασίαν φανερὰν ὁ Μιχαὴλ ἐξορμήσας) Gregoras lib. 3. jejune admodum; τὸ δ᾽ αὐτὸ καὶ ὁ ἀποστάτης περὶ Θετταλίαν ἐπεποιήκει Μιχαὴλ, κατὰ τοῦ ἐμπρησθέντος αὐτῷ χώρων, καὶ πόλεων, ὁπόσαι Ῥωμαίοι πάλαι ταῦτα ἦσαν ὑπήκοοι. Fusius Pachymerius lib. 1. cap. 30.

CAPUT LXIX.

Ὁ δὲ Κομνηνὸς Μιχαὴλ ὁ Παλαιολόγος) Gregoras, ἀλλ᾽ οὕτω πολὺς παρεῤῥύη χρόνος, καὶ γράμματα πολλὰ τῆς βασιλικῆς ἐξουσίας μεστὰ, καὶ πολλὴν ὑπισχνούμενα τὴν εὐνοίαν καὶ τιμὴν ἔσεσθαι παρὰ βασιλέως, ἀνακαλούμενα τὸν Παλαιολόγον, ἐπορίσατο ἔχοντα τὴν ἀσφάλειαν, ὧν ὑπισχνοῖτο. καὶ αὖθις ὁ Ῥωμαίων γε τὸν Παλαιολόγον αὖθις ἐλάμβανον, τὸ πρότερον μὲν παρ᾽ αὐτοῦ καὶ αὐτοῖς δοῦναι τὴν ἀσφάλειαν τῆς αὐτοῦ πρὸς τὸν βασιλέα πίστεως βεβαίαν δι᾽ ὅρκων φρικωδεστάτων, ὥστε ἐμμένειν ταῖς ὅροις αἰεὶ τῆς ὑποταγῆς, καὶ μὴ ζητεῖν ἐθέλειν ἑαυτῷ βασιλείαν ποτὲ, καὶ ἐπανιέναι πρὸς τὰ πρότερον αὐτῷ καταληφθέντα, καὶ βεβαιοῦν αὖθις διὰ τῶν ἔμπροσθεν ἔργων ὃ ἔδει πεπονθέναι ὑποψίαν, ἀλλὰ τηρεῖν καὶ διαβιβάζειν ὁμοίως αἰεὶ τὴν αὐτὴν εὔνοιαν καὶ τιμὴν πρός τε δὴ τὸν βασιλέα Θεόδωρον, καὶ πρὸς τὸν αὐτοῦ γεννηθέντα Ἰωάννην, καὶ τοὺς ἐφεξῆς διαδέχεσθαι ταύτῃ γένους αὐτοῦ καὶ τῆς βασιλείας· καὶ μὲν δὴ ἐπὶ τούτοις αὖθις τῷ τοῦ μεγάλου τετιμημένον ἀξιώματι Κονοσταύλου, καθὰ καὶ τὸ πρότερον, καὶ ἦν τοῦ λοιποῦ λαμπρᾶς τῆς βασιλικῆς κηδεμονίας ἀπολαύων καὶ ἀμέμπτως. Ex Gregora sua hausit Phranza lib. 1. cap. 2. Georgius Pachymeres lib. 1. cap. 9. εἶτα μεταμεληθεὶς οἷον καὶ παλινδρομεῖν προαιρούμενος τῷ τηνικάδε Ἰκονίου προσέρχεται, καὶ ὡς μεσίτῃ χρᾶται πρὸς βασιλέα, ὥστε τὰ περὶ γράμμασι δόντος ἐκείνου, ὁ μὲν τὴν ὀργὴν καθαιρεῖ ἀναχεῖν αὐτῷ καὶ πάλιν ἐπανελθεῖν γένοιτο. τοῦ δ᾽ ἱεράρχου γράμμασι χρήσαντος τὴν πρεσβείαν, ὁ κρατῶν κατένευσε τὴν συμπάθειαν, καὶ βασιλικαῖς συλλαβαῖς ἐπ᾽ ἀσφαλείᾳ τοῦ μήτε παθεῖν ἀνήκεστον ἐξ ὀργῆς ἐπαγγελλομένου καὶ δέχεται τοῦτον ἀφόρμως ἐπανελθόντα, καὶ ἀγκαλίζεται προσιόντα, καὶ ὁμολογοῦντα, ὡς ἑαυτῷ συνειδεῖ πταίσας ἀσύγγνωστα, συμπαθεῖ, καὶ ἐπὶ τῆς προτέρας ἔχειν τιμῆς.

CAPUT LXX.

Edit. Paris. pag. 262. Δὶς αὐτῷ καὶ στρατάρχῃ ἐκ Μακεδονίας) Georgius Pachymeres Histor. lib. 1. cap. 10. ἐπεὶ καὶ τῆς κατὰ τὴν δύσιν Ἐπιδάμνου κατειλημμένης πρὸς τῶν ἡμετέρων ἠγγέλλετο τὸ συμβὰν, καὶ τοῖς ἐκεῖσε ἦσαν μὲν Ἀρχιερεῖς, ἦσαν δὲ ἡγεμόνες, καὶ στρατιωτῶν τάξεις, Ἀρχιερέως ἐπικυρωθέντος τῷ Χαλκίστζῃ, δι᾽ καὶ τῷ τῷ μεγάλῳ Σκευοφύλακι ἐπὶ τῆς μεγάλης ἐκκλησίας ἀρχῆς τιμῇ, τούτῳ συνεκπέμπει κρυφίων ἡγεμόσι τοῖς ἐκεῖ, προστάξας συμπράττειν τὰ δόξαν, καὶ ἄλλοις μὲν ἀρχηγοῖς τοῖς ἐκεῖ, μάλιστα δέ γε τῷ ἱερεῖ. εἰς γοῦν Θετταλίας διὰ ταχέων ἐπιβάντων, καὶ ἤδη πρὸς τὸ περαιοῦσθαι τὸν ποταμὸν Βαρδάριον ἦσαν, περαιοῦνται μὲν ὁ ἡγεμὼν σὺν τοῖς τάξεσι πρότερον. διαβαίνει δὲ τὰ τῆδε συγκεχυμένα, καὶ πρὸς ἀποστασίαν κλίνοντα.

Κἀκεῖθεν διαβὰς τὸν Βαρδάριον) Ἄξιον, non Ἀξιὸν, neque Ναξιὸν scribendum nota ex Joannis Tzetzes Chil. 10. χ. 186.

Παίονες δὲ οἱ Βούλγαροι, μὴ πείθεσθε Βεβαίως
Ἄλλοι τινὰ τοὺς Παίονας νομίζειν παρὰ τούτοις,
Οἱ Ἄξιον νομίζουσιν ἕτερον τοῦ Βαρδάρου,
Καὶ Ἀξιὸν οὐκ Ἄξιον φασὶ γραφῇ διφθόγγῳ.
Ὥσπερ μηδὲ ἀκούσαντες ἐπῶν τῶν Ὁμηρείων
Αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους,
Τηλόθεν ἐξ Ἀμυδῶνος ἀπ᾽ Ἀξίου εὐρυρέοντος.

CAPUT LXXI.

Τὸ ἀποστάτου Μιχαὴλ νόθος υἱὸς Θεόδωρος) Pachymeres ibidem vocat Manuelem: ὅτε καὶ ὁ τοῦ δεσπότου Μιχαὴλ ἐκ νοθείας σκότιος παῖς Μανουὴλ τυχὼν ἐκεῖσε σὺν ἱκανῷ στρατεύματι καὶ συνεπλάκη τῷ πολέμῳ, τὰ πρῶτα μὲν ὁμόσε χωρήσας τῷ ἡγεμόνι τῷ κατὰ συνουσίαν ἐρίζει. ἔπειτα δὲ συντάντος καὶ ἐπικαθιστάντος τοῦ ἵππου, παρ᾽ ἐκείνου καταρριφθεὶς βαλεῖται μὴ λαβὼν ἴσως.

CAPUT LXXIII.

Ἐπεὶ δὲ ἐντεῦθεν ἐκληρώσατο γνησίως τῶν Βουλγάρων) Gregoras lib. 3. ἦν δέ τις ἐν Βουλγάροις ἐπίσημος τηνικαῦτα, Κωνσταντῖνος ὄνομα, Τοίχος ἐπίκλην, φρονῆσαι ἐμβριθὴς καὶ ῥωμαλέος σώματος τοῖς πολλοῖς προέχων. ὃς πλημμελήσαντας ἰδὼν τὴν ἀρχὴν τῶν Βουλγάρων ἐπανίσταται κατ᾽ αὐτῆς, καὶ προσεταιρισάμενός τι δημοτικὸν, καὶ ὅσον ἐν ἐπισήμοις τοῦ ἔθνους καὶ ἐκκρίτοις, καὶ παρ᾽ ἑκόντων ἁπάντων αὐτοῖς τὴν τοῦ κράτους δεξάμενος ἀναγόρευσιν, ἐπολιόρκει τὴν Τέρνοβον, ἐν ᾗ τὰ βασίλεια ἦν τῶν Βουλγάρων. ὡς ἀναγκασθῆναι καὶ ἄκοντα Μυτζῆν φυγεῖν ἅμα γυναικί τε καὶ τέκνοις ἐς ὀχυρόν τι καὶ περίκλειον φρούριον Μεσημβρίαν καλούμενον.

Ἵνα δὲ καὶ ἀπρόσωποι αὐτῷ ἡ ἀρχὴ γένοιτο) Gregoras. ὁ γοῦν Κωνσταντῖνος ὁ Τοίχος τῆς Βουλγαρικῆς ἀρχῆς ἐγκρατὴ καταστήσας ἑαυτὸν, διαπρεσβεύεται πρὸς τὸν βασιλέα, φίλος εἶναι καὶ σύμμαχος ὁμολογῶν, εἰ λάβοι πρὸς κοινωνίαν γάμου μίαν τῶν αὐτοῦ θυγατέρων. ἐζήτει δὲ ταύτην, οὐχ ὅτι γυναικὸς ἐδεῖτο, ἦν γὰρ αὐτῷ καὶ γυνὴ καὶ παῖδες, ἀλλ᾽ ἐπειδήπερ ἀπὸ γένους δὲ οὐκ ἦν, οὐδὲν αὐτῷ πρὸς τὴν Βουλγαρικὴν ἀρχὴν, ᾤετο νόθος κατ᾽ αὐτὴν δοκεῖν ὁμοῦ τε καὶ λέγεσθαι. Τὸν δ᾽ ἄρα καὶ ἀδελφιδῆν ἐσαν τῷ πρὸ μικροῦ τετελευτηκότι ἄρχοντος τῶν Βουλγάρων Ἀσὰν, τὴν τοῦ βασιλέως μὲν θυγατέρα, ἐξώθει πειθοῖ τε ὅσα καὶ τῆς ἑαυτοῦ, καὶ βεβαιώσεως ἅμα τῆς ἀρχῆς, ἀπολύσειν ὑπισχνούμενος αὐτίκα τὴν προτέραν ὁμόζυγον. τοῦτ᾽ ἀρεστὸν ἔδοξε καὶ αὐτῷ βασιλεῖ, καὶ Θεοδώραν τὴν αὐτοῦ θυγατέρα κοινωνὸν ἀληθῶς τότε λέχους καὶ τῆς ἀρχῆς Κωνσταντῖνος ὁ Τοίχος, πέμπει πρὸς Νίκαιαν τὴν προτέραν σύζυγον, ἐχέγγυον πίστεως παρεχόμενος τοῖς Ῥωμαίοις τῆς ἐς τὴν δευτέραν στοργῆς. Et nota, quam Acropolita Imperatoris filiam vocat Irenem Constantino Tœcho nuptam a Gregora vocari, non sine memoriæ lapsu, Theodoram; quod etiam & infra inculcat. Θυγατέρες μὲν ἐγένοντο τῷ βασιλεῖ τελεωτέραν ἄγουσαι ἡλικίαν τέτταρες. ἀῤῥὴν δὲ ἄλλος οὐκ ἦν, πλὴν τούτου δὲ τοῦ βρεφικὴν ἄγοντος ἄρτι τὴν ἡλικίαν, Ἰωάννου. ὧν δὲ θυγατέρων τὴν πρώτην φημὶ τὴν Μαρίαν, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, εἶχεν ἤδη λαβὼν εἰς γυναῖκα σύμβιον ὁ Αἰτωλὸς Νικηφόρος, ὁ καὶ Δεσπότης τὸ κῦδος παρὰ τῆς πενθερᾶς καὶ βασιλέως τετιμημένος. τὴν δέ γε δευτέραν τὴν Θεοδώραν εἶχεν ὁμοίως ὁ τῶν Βουλγάρων ἄρχων Κωνσταντῖνος ὁ Τοίχος. Namque Theodora, [Marg.: pag. 263.]

que-

quemadmodum & Eudocia innuptæ remanserant. Nota etiam Pachymerium Histor. lib. 1. tres tantum illi filias tribuisse: μεταλλάττει τὸν βίον ὁ κρατῶν, τρισὶ μὲν θυγατράσιν, ἐνὶ δ' υἱεῖ τῷ ἄρρενι τεταρτημορίῳ τῷ Ἰωάννῃ. αἱ γὰρ πρῶται τῶν θυγατέρων ἡ μὲν τῷ Βουλγαρίας ἄρχοντι Κωνσταντίνῳ τῷ Τοίχῳ, ἡ δὲ τῷ τοῦ δυσμικοῦ Δεσπότου Μιχαὴλ υἱῷ Νικηφόρῳ πρὸς γάμον ἐκδοθεῖσαι ἐκδεδώκασι.

CAPUT LXXIV.

Νόσῳ ἁλοὺς ὁ βασιλεὺς Θεόδωρος) Gregoras. ἔχοντι δὲ τριακοστὸν ἀπὸ γενέσεως χρόνον αὐτῷ ἐπέβαινε, νόσος ἐπιπίπτει τῷ βασιλεῖ χαλεπὴ, καὶ βαρεῖα, καὶ ἀπελπίζειν θάνατον φέρουσα. ἡ δὲ καὶ ποικίλας τὰς ἰδέας κατὰ τὸ βασιλικὸν σῶμα ἐπιδείξασα, ἐκ ἀνῆκε πρὶν ἢ συντρίψασα μέχρι καὶ αὐτὴν ἐπήνεγκε τούτῳ τελευτήν. Morbi illius naturam exprimit Pachymerius lib. 1.

Τὸ μοναδικὸν ὑπεισὼν σχῆμα) Paulo ante obitum, ut scribit Gregoras: ἀλλαξάμενος τὸ σχῆμα μικρὸν πρὸ τῆς τελευτῆς εἰς τὸ μοναδικὸν τριβώνιον. Nec dissentit Phranza lib. 1. cap. 3. ut alii viri Principes & Imperatores, & ex vulgo quicumque in ea natione pietatem cultumque divinum colere videri volunt, imminente morte facere suevere. Paulum enim antequam vita excedant, quare vero id agant, fuse alibi diximus, Monachorum habitum induunt. Nugantur itaque Theodorus Monembasiensis, & ejus stolidissimus exscriptor Matthæus Cigala, qui ajunt, eum in Sosandrorum Monasterio Monachum factum pie admodum vixisse, tandemque mortem obiisse: καὶ βασιλεὺς ὁ υἱὸς αὐτοῦ Θεόδωρος χρόνους δ'. καὶ ἰδὼν τὸν κόσμον, ὅτι εἶναι μάταιος, καὶ ἡ βασιλεία τοῦ Θεοῦ εἶναι αἰώνιος, ἀφῆκε τὴν βασιλείαν καὶ ὑπῆγεν εἰς τὴν μονὴν τῶν Σωσάνδρων, καὶ ἔγινε Καλόγηρος, καὶ εὐηρέστησε τῷ Θεῷ διὰ τῆς ταπεινώσεως, καὶ ἐκεῖ ἀπέθανεν.

Καὶ ἐξομολογησάμενος ὑποτακτικῇ ψυχῇ, ἀξίως) Gregoras brevius: καὶ πολλοῖς ταῖς ἰδίαις χερσὶ ἐξομολογήματι χρώμενος, καὶ πολλαῖς δακρύων ἐκμαλαζούσαις καρδίας ἀφιεῖς πηγάς. δι' ἃς τὰς πληγὰς ἀνέπλασέ τε καὶ ἐθεράπευσεν ἀνεγκλήτους καιροὺς τῆς ψυχῆς.

Εκεῖνος μὲν οὖν οὕτω βιώσας) Mores Theodori tanquam illi infensus tacet Acropolita. Audiamus, si placet, ex Pachymere, καὶ δὴ ἐρωτᾷ ζητεῖται καὶ ὁ ποῖος ἀνὴρ, βασιλικοῖς μὲν γεννηθεὶς, καὶ τραφεὶς, βασιλικοῖς δ' ἀναχθεὶς καὶ παιδευθεὶς. πρὸς δὲ τῷ πατρὶ οὐ προσεῴκει τὸ βαθύτερον καὶ σιωπηλὸν πρὸς ὅτι λέξοι, καὶ πράξοι, καὶ τὸ τῆς γνώμης σεμνὸν τε καὶ ἀμετάθετον. ἀλλ' ὅσον ἐκ πατρὸς μὲν ἔχων τὸ ἐν παντὶ ὀξὺ καὶ μεγαλόφρον καὶ ἀμεῖλικτον, ἐκ δὲ μητρὸς τὸ φιλοδωρότατον, ὡς ὅλαις χερσὶ τοῖς ὑπηκόοις τὰ χρήματα ἐξαντλεῖν, καὶ ἐξαντλοῦντα οὐχ ὅπως ἀνιᾶσθαι, ἀλλὰ καὶ χαίρειν, φιλολογώτατος δ' εἰς τὰ μάλιστα ὢν, καὶ πᾶσι μὲν λογίοις ἀφειδῶς προσφερόμενος, οὐχ ἧττον δὲ καὶ αὐτὸς λογικῇ παιδείᾳ προσεσχηκὼς, οὐ μᾶλλον ἐκ μαθήσεως, ἢ φύσεως τὴν περὶ τὸ γράφειν δύναμιν ἔχων, ὡς καὶ πολλὰ συγγράμματα ἐκτεθεῖναι, εἰ μόνος ἡρμήνευσεν. ἦδει γὰρ, καὶ σιωπῇ τὰ πλεῖστα, ὅτε παραφερόμενος ἄγειν ἐβούλετο μηδὲν, οὐδὲν προδόντα, ἢ ὅσων μικρὸν τῶν πραγμάτων ἀνιθέντα, ἐνὸς τῶν τοῦ κλήρου χαλεπώτερον τὸ προκαταρκτικὸν τοῦ ὄρθρου ματαλογοῦντος ἐξάψαντος, κατόπιν τελεσθέντος, τῷ μνημονευομένῳ ὅτι μάλιστα ἀρέσκον, ὥστε καὶ παμπληθεῖς ἐκπαιδεύειν εὐεργετεῖσθαι, μὴ ὅτι τοὺς ψάλλοντας, ἀλλὰ καὶ αὐτοὺς τῶν ὕμνων ἀκροωμένους, καὶ τῶν προκοπτόντων ἔσθ' ὅτε, καὶ τῶν ὁπλοφόρων, καὶ σωματοφυλακούντων τῷ βασιλεῖ, καὶ ἄλλους ἀλλαχόθεν ἐπελθόντας. πᾶσι γὰρ ἐξ ἴσου τὸ βασιλικὸν ἀνεξάντλητον ἐπεφάνη δῶρον. τρανοῦται δὲ μᾶλλον, καὶ οἷς ὁ λόγος τὸ σπουδαζόμενον. οὐ γὰρ ὁ ὑμέναιος, ὁ νὺξ, ὁ καιρὸς θυμηδίας, οὐχ ὥρας χαρά, ἀλλ' ἀνεστάλθαι ὅλως, οὐ δυνάμενος, ὅτε τῆς εὐεργεσίας δέχεται τὸν ἄνακτα, ἢ οὐ ἐκεῖνος πάσχων, ἢ ἄλλων τὰ ἴσα πεπονθότων ὁρῶν, ἢ καὶ ἀκούειν εἶχε. τοιοῦτος δ' ὢν, βαρὺς ἐδόξε τοῖς ἐν τέλει, ὅτι οὐ κατ' ἀξίωμα, καὶ κῦδος βασιλικὸν, ἀλλ' ἀρετὴν ἐδίδου τοῖς ἐπὶ τῶν πραγμάτων ἐκλεγόμενος τοῖς προσήκουσιν ἐσεμνυνεν ἀξιώμασιν. τὸ δὲ συνέβαινε πραγματικώτερον εἶναι, καὶ οἱ πρὸ αἵματος ἀρχικὸν ἔχοντες τὸ ταυτὸν καὶ ἱκανὸν εἰς λόγον σημαινόμενοι. τὸ δὲ ἦν, οἱ σκοποῦντες ἀρετὴν ὀφείλοντος ἄρχοντι καὶ παρακαλοῦντες πρὸ διδασκάλων τὸ ὑπήκοον. οὐ γὰρ βλακείας χάριν, ἀλλ' ἀγρυπνίας, καὶ τοῦ καλοῦ ἀγάπης τε πρὸς ἐκεῖνο, καὶ ἄγειν ἄλλους τοὺς βασιλικοὺς φιλοτιμίαις ἔχοντι ἐβούλετο, καὶ τὸ φοβερὸν προσῆν, ὡς ἑτοίμως καὶ τὸν ἄλλον, ἢ ὡς ἔδει, ποιοῦντα κολάζεσθαι, καὶ τὸν κατορθοῦντα εὐεργετεῖσθαι. οὐ γὰρ μικρὸν τὸ τοῦ μεγιστᾶνος σφάλμα, ἢ μὴν ἔμπαλιν τὸ κατόρθωμα, &c. Vide plura apud eumdem.

CAPUT LXXV.

Οὔπω γὰρ τελείαν ὀκταετίαν ὑπῆρχεν αὐτὸ) Acropolita octo annos nondum absolutos, Gregoras sex annos natum refert: ἐν γὰρ ἔκτην τυγχάνοντα διανύων ἀπὸ γενέσεως ἔτος ἐκεῖνος, τιθηνούμενος ἔτι, καὶ γονέων, εἴπερ ποτὲ καὶ μάλιστα χρῄζων, ὁ καὶ ἀμφοτέρων ἐστερημένος. Phranza Gregoram sequitur. Georgius Pachymerius Histor. lib. 1. novennem facit: τοῦ δ' αὐτοῦ χρόνου πρὸς τὸ φθινοπωρινὸν ἀποκλίνοντος ἐπὶ τέτρασι τρισὶ μεταλλάττει τὸν βίον ὁ κρατῶν, τρισὶ μὲν θυγατράσιν ἐνὶ δ' υἱεῖ τῷ ἄρρενι ἐννεατεῖ τῷ Ἰωάννῃ. Hinc erroris arguitur Flavius Blondus, qui duos Theodoro filios dat, eorumque tutorem Michaelem Palæologum ab eodem constitutum refert, lib. 8. Decad. 2. Histor. *& forte tunc accidit Theodorum Vattari*, Batatzium, vel Bataccium, vel Vatacium dicere debuit, *Græcorum, ut appellabant, Imperatorem mori, duobus filiis superstitibus, quibus pueris Michaelem Palæologum sibi affinitate conjunctum testamento dederat tutorem*. & infra: *Michael Palæologus tutor crudelissimus pueros fidei suæ sub affini nomine ab eo qui eum extulerat, commendatos, cum interfecisset, Imperium assumpsit*. In his postremis verbis alius Flavii error prehenditur: Michael enim filium unicum Theodori Joannem excæcatum, occlusumque in Niceatiatorum castro, custodiisque circummonitum magna diligentia asservavit. Pachymerius Hist. lib. 3. διὰ τὸ πλείονος ὄρεξιν, βούλεται μέλλει μὲν αἰσχίστην, μᾶλλον δὲ καὶ Θεοῦ πόρρω βάλλουσαν, καὶ πέμψας ἐκτυφλοῖ τὸν παῖδα προσέταττεν, παιδίον ὄντα, καὶ μηδὲν ὅτι σχεδὸν τέλειον, ἢ τὸ χαίρειν, ἢ τὸ λυπεῖσθαι μαθόν. καὶ γ' ἐν ἑορτῇ τιθέμενον τὸ, τ' ἄρχειν καὶ ἄρχεσθαι. μόνῳ δὲ τῷ Πατριάρχῃ πιστεύων, καὶ τοῖς οὕτω τὰ κατ' αὐτὸν δοκοῦσι, καὶ μηδὲ τὸ τί ὅσιον δρᾶν, εἰδὼς, ἐξ ὧν καὶ θαρρεῖν οἰχομένου ἐκ αὐτοῦ, ἀλλὰ περὶ ἐκείνου, ὅπως ἂν σώζεσθαι γίνεται γοῦν, μετὰ τῆς ἀρχῆς προστάχθη, καὶ τοῦ ὁρᾶσθαι μικρὸν ὑπερβεβηκὼς παιδίον τηρεῖται τὸ φῶς τὸ βλέπειν. τοῦτο μόνον φιλανθρωπευσαμένων τῶν ἐξυπηρετουμένων τῷ μιαρῷ τολμήματι, τὸ μὴ σιδήρῳ ἐκ πυρωθέντι τοὺς ὀφθαλμοὺς κολαφίζεσθαι, ἀλλ' εὐτελεῖ τινι πυρωθέντι ὀστέῳ τῶν ὄψεων θερμανθέντι, ἐξαντλήσαι τῷ νεανίσκῳ τοὺς ὀφθαλμοὺς αἰμαχθέντας τῇ ἐκπυρώσει, καὶ ὅραμα σβεσθέντας τὸ ὀπτικόν. μετὰ δὲ ταῦτα ἐπαλλάσσειν χερσὶ μὲν περιάγων, προσαξει δὲ παραφυλακτικῇ, φόρτον ἐλεεινόν. καὶ ὅλον ἄψυχον τοῦ πρὸς θάλασσαν τῶν Νικητιάτων φρουρίου ἀσφαλεῖ κατακλείουσι, καὶ αἱ φρουραὶ ἐγκαθίστανται, ἀποταχθέντα ἀνταίρειν εἰς τὴν συμφορὰν ἐγκεκλεισμένην. Vide de hoc eodem Joanne obcæcato Gregoram lib. 4. Phraoz. lib. 1. c. 5. & alios. Immo Joannes hic Theodori filius, qui interfectus a Michaele asseritur, post Michalem ipsum superfuit: eumque post Michaelis obitum Andronicus F. imperans sua præsentia honoravit, beneficiis ac muneribus cumulavit, pro paterno scelere exoravit, & veniam impetravit. Georgius Pachym. lib. 7. hist. de Andron. Michaelis F. c. 31. ἀλλ' ὁ μὲν παρελθὼν μικρὸν πρότερον γεγονὼς, βασιλεὺς τὸ πάλαι ὑξελθών, προσβάλλει τῷ τῶν Νικητιάτων, τὸ Δακιβύζης φρουρίῳ, καὶ τῷ τυφλῷ Ἰωάννῃ συμμίξας, φιλοφρονεῖται τὰ εἰκότα, καὶ τὸ εἰς ἐκεῖνον παρὰ τοῦ πατρὸς γεγονὸς αὐτὸς ἐπειρᾶτο μαλάττειν τῇ ὑποστάσει, ὥστε καὶ συγχωρηθῆναι παρ' ἐκείνου. καὶ οὕτω κραταιωθῆναι πρὸς τὸ βασιλεῖον ἐξ ἀγαθοῦ συνειδότος, καὶ χρυσοῖς ἐφοδίοις. αὐτὸς δὲ τῶν εἰς *pag. 265.* τροφὴν ἐκείνῳ καὶ ἄλλων προνοήσας, ἐπαλλάττεται τὴν ταχίστην. Blondum sequitur Sabellicus Ennead. 9. lib. 6. *Reliquerat Theodorus Michaelem cognomento Palæologum filiis tutorem, fecisque ea res fidem Balduino & Venetis futuræ pacis, si tutoris nomine contentus esset Palæologus. Sed homo vehementi spiritu, multaque prudentia non solum Balduini opes fregit, sed evertit etiam funditus.*

Edit. Paris. pag. 264.

Ἐπὶ τῷ Πρωτοβεστιαρίῳ τῷ Μουζάλωνι Γεωργίῳ) Erat is non claro genere ortus, sed ob cognitionem rerum, & ad omnia aptitudinem, atque morum urbanitatem a puero in aulam Imperatoriam ascitus, ut cum multis aliis æqualibus Theodoro Imperatori collusor esset, qui ita se ad mores illius accommodavit, ut unus illi esset omnia faciens, dicensque quidquid Imperatori gratum erat. Amor eorum crescente ætate concrevit adeo, ut apud eum jam Imperatorem principem & auctoritatis & gratiæ locum obtineret; solertissimus conjector, quod illi placeret, dexter negotiorum administrator, & fidus arcanorum particeps: quas ob res celeriter Protovestiarii dignitate ornatus uxorem ex Imperatoria familia duxit. Ex Gregora. Vide etiam Georgium Pachymerium Historiarum libro primo. Quibus notabia monstrum & *ἀνιστορησίαν* Sabellici Ennead. 9. lib. 6. *Sunt qui Gregorium Imisfolum tutorem a Theodoro relictum scribant, quem sacris operantem Palæologus interfecerat, recepta ad se puerorum tutela, quos pari injuria, ac nescio an majore etiam sustulit.* Georgius in *Gregorium* evasit, Muzalon in *Imisfolum*, obtruncatus ab exercitu & populo in *interfectam a Palæologo*, puer unicus in *pueros*, obcæcatus in *sublatum*. Quid de reliquis expectandum est?

Τοῦτον γὰρ ὁ ἐκεῖνος ἐπίτροπον) Gregoras Georgio addit secundum curatorem Arsenium Patriarcham, quem tacuit Acropolita: *τοῦτον ἐπίτροπον θνήσκων ὁ βασιλεὺς τῶν βασιλικῶν ἀφῆκε πραγμάτων, ἅμα τῷ Πατριάρχῃ Ἀρσενίῳ, μέχρις ἂν εἰς τὴν ἀνήκουσαν ἡλικίαν, ὁ τοῦ βασιλέως φθάσῃ παῖς Ἰωάννης.* Neque diversus est Georgius Phranza.

Καὶ πρεσβεύειν ἐπὶ ταύτῃ προστάξει τοῦ βασιλέως καὶ ὅρκοι) Gregoras. *δι' ὃν αἱ τοῦ βασιλέως ἔγγραφοι ἐξεφώνησαν διαθῆκαι, ἐπίτροπον τὸν Μουζάλωνα καθιστῶσαι. καὶ πρός γε δὴ φρικώδεις ὁρκωμοσίας πάντων ὁμοῦ μεγάλων τε καὶ μικρῶν ἐσφραγίσαντο.*

Ἀλλ' οὔπω τριταῖος ἦν ἐν τάφῳ ὁ βασιλεύς) Gregoras, Pachymerius, & Phranza tradunt fuisse perpetratum die nono, & forte omnes vera nunciant. Neque enim statim atque moritur Imperator, sepulturæ traditur. Quare sex primis diebus funus illius curatum est, elatum, propositum populo, terræ tandem traditum, nono vero die ab illius obitu, tertio ab illius sepultura, Muzalones obtruncarunt.

Καὶ οἱ πρὸς τοῦ βασιλέως κεκακωμένοι) Georg. Pachym. *ἀλλ' ἐπειδὴ θερμοὶ ἦσαν ἐκεῖνοι πρὸς πάντα, ὅτε δὲ καὶ τὴν καταφρονοῦσαν δόξαν. οἱ γὰρ νόσου ἐπιτιθεῖσαι καὶ μᾶλλον τρύχουσα ἐπειδὴ ἀεὶ ὑπεδίδου, παραλύει μὲν τοῦ ἀξιώματος εἰς Πρωτοβεστιαρίου τεταγμένον τὸν Ῥαοὺλ Ἀλέξιον. ἀντιτάττει δ' εἰς ταύτην τὸν ἐξ Ἀτραμυττίου Γεώργιον τὸν Μουζάλωνα, συνοικίσας αὐτῷ ἐκ τῆς Καντακουζηνῆς Θεοδώρας τοῦ Παλαιολόγου οὖσαν ἀδελφιδῆν.* Et infra. *δύο μέντοι γε τὸν μέγιστον τὸν ἀμμαίσαντα ... ὧν ὁ μὲν ὁ δὲ υἱὸς ἦν τοῦ Στρατηγοπούλου Ἀλεξίου ὁ Κωνσταντῖνος, ὃς ἠξιοῦτο καὶ πολλοῦ. τὴν γὰρ ἀδελφιδῆν τοῦ βασιλέως Ἰωάννου, ἐκείνου διδόντος, εἶχε περιφανοῦς καὶ μάλα λαμπρᾶς. ἄτερος δὲ ὁ Φιλῆς ἦν Θεόδωρος. καὶ πολλάκις ... τὸν ὀφθαλμὸν τῆς προσώπου καθαρὸν, καὶ τὸ ἀσφαλὲς ἐντεῦθεν ἑαυτῷ, ὡς ᾤετο, πραγματευόμενος.* Et infra. *ἐκεῖθεν οἱ Στρατηγόπουλοι, ὧν τοῦ γένους ἐπίδοξος ὁ Ἀλέξιος, πολλὴν φέρων τὴν αἰδῶ ὡς εὐγενὴς ἀπὸ πάντων, καὶ πλεῖστα προσέτι κατορθώσας, οὗ καὶ ὁ παῖς Κωνσταντῖνος γαμβρὸς ἐπ' ἀδελφιδῇ τοῦ βασιλέως Ἰωάννου ἐξ ἀρχαίας φανείς, ὕστερον στερηθεὶς τῶν ὀφθαλμῶν, ἄρτι Θεοδώρου τοῦ Λασκάρεως μεταρχύσαντος. αἰτίαν δ' εἶχεν ὡς ἀνθυπερφανεύοιτο τοῦ κρατοῦντος, ὑπεροπτικῶς πρὸς ἐκεῖνον ἔχων, τοῦτο μετὰ τὸν πατέρα τοῦ σκήπτρου ἐπιλαμβανομένου. καὶ οἱ ἐκ τοῦ Ῥαοὺλ εὐγενεῖς ἄλλοι μετὰ πατέρα τὸν τοῦ ἀξιώματος ἐκπεσόντα.* Et infra. *καὶ οἱ τοῦ Φιλῆ, ὧν ὁ πατὴρ Θεόδωρος τετύφλωτο ἐξ αἰτίας σὺν τῷ Στρατηγοπούλῳ τῆς αὐτῆς ἐκείνῳ χάριν αἰτίας,*

Edit. Paris. pag. 566. *Καὶ ὡς ἀπὸ κοινοῦ συνθήματος συνδραμόντων πάντων*) Solemnitas exequiarum, & frequens omnium concursus non merebatur tam indignum spectaculum. Convenerant enim in templum Patriarcha cum Clero universo, Matronæ, omnes nobiles, ut de more lugerent, & memoriam Imperatoris celebrarent. Aderant omnes Principes, plebeii quoque non deerant. Confluxerat omnis exercitus non eadem omnes sententia, alii luctum præferentes, alii necem spirantes, & quod sane atrocius est, dum hymni concinerentur, vel ut Acropolita dicit, dum sacrosanctæ Missæ sacrificium offerretur, & cultus divinus perageretur. Gregoras. *τὰ ξίφη γυμνώσαντες πάντες οἱ στρατιῶται, ἔνδον ἐξαίφνης τοῦ νεὼ εἰσεπήδησαν, καὶ παρὰ τῷ θείῳ καὶ ἱερῷ τραπέζῃ καταφυγόντα τὸν Μουζάλωνα κατέσφαξαν ἀπηνῶς.* Similia sunt quæ narrat Phranza.

Καὶ τῶν ἀδελφῶν αὐτοῦ αὐτοβοεὶ) Gregoras. *καὶ ἐπὶ τούτῳ τοὺς δύο ἅμα ἀδελφοὺς, Ἀνδρόνικόν τε φημὶ τὸν μέγαν Δομέστικον, καὶ Θεόδωρον τὸν Πρωτοκυνηγὸν, καὶ πρὸς τούτοις τὸν σφῶν Ὑπογραμματέα, δι' ὁμοιότητα προσώπου τινὰ, συμβὰν ἐπταισμένως σφαλέντα.* Scriba hic ob similitudinem obtruncatus, ut id quoque obiter advertam, Theophylactus nuncupabatur, eratque affinis Georgii Pachymerii Historici. Audiamus ab ipso libro primo histor. *ἐν δέ τις τοῦ Πρωτοβεστιαρίου Γραμματικὸς οἰκεῖος Θεοφύλακτος οὔνομα, καὶ ἐμὸς προσγενὴς, προσόμοιος τῷ κυρίῳ τὰ πάντα. ἐξελθόντος γὰρ ἐπὶ τῷ μαθεῖν ἐκεῖνο, σφάλλει τοὺς ἐπιόντας ἡ ὁμοιότης, συναπειργμένος καὶ τῆς ἀτυχοῦς τεθνήκει σὺν ἐκείνοις. καὶ μακροὶ καὶ μεγάλοι ἦσαν τὸν βασιλέως θάνατον. ἐκείνου ὑποτοπάσαντες τὸν ζητούμενον εἶναι, ἄλλοις ἀνῃρεῖτο κοπίσι μυρίαις, ὃ γὰρ ἂν ὅς τις καὶ τεθνηκότι τὸ ἔγχος οὐκ ἔβαπτεν ἐπίχειρα. ὧν δὲ ἐγὼ τινας ὤκνησα, καὶ ἀπεστρόφην ἐκ τῆς δεινῆς μανίας τοῦ αἵματος. πλὴν ἀλλ' ἄλλοις οὐκ ἐγνῶσιν σφαλέντες. τὸ γὰρ πάθος ὑποφαίνει τὸ πάθος μᾶλλον ἂν τῶν δεδρακότων φανερὰν ἄγνοιαν κατηγορεῖ.*

Πρὸς ὁρκωμοσίας ἑτέρας ἐχώρουν) Certe si usquam alias, hoc certe ævi Græcis hisce jusjurandum ludus est, & jurare sæpius pejerare fuerit. Jurarunt siquidem Proceres conceptis verbis ex sententia Imperatoris antequam ille moreretur, se omnia ad amussim servaturos, quæ ille in testamento præscripserat: deinde statim post ejus obitum pejerant: nam cum se cognosceret ob rerum novitatem Proceribus invisum Muzalon, qui dignitatis illius fastigium ægre ferebant, cum multi essent, ad quos simul & tutela pueri, & Imperii administratio magis pertineret, convocatis omnibus in curiam submisse eis collocutus, haud obstare subintulit, se tum Imperii administratione, tum tutela pueri cessurum, Proceres simul velut ex composito id recusarunt, jusque jurandum priore sanctius datur, tum a nobilibus, tum a plebe militari: sibique & familiæ suæ quilibet exitium imprecantur, ni quod jurassent, sancte servassent, ac Muzalonis tutelam, Imperatoris vero filio Imperium insidiarum expers, & inviolatum ad omnem posteritatem tuerentur. Cum deinceps exercitus in Ecclesiam rueret, & timore percitus Muzalo elabi conaretur, iidem omnes simul, ne ille egrediens templo saluti suæ provideret, denuo jusjurandum adjecerunt, velle se omnia rata, quæ Imperator præceperat, & cordi sibi esse, æque ac propriam Muzalonis vitam. Hinc non semel, sed sæpius se religione obstrinxerant; & tamen cum res ipsa cogeret, sive vindictæ studio, sive odio, sive neglectu, utinam non impulsu & adhortationibus jura divina atque humana violantes, necibus Muzalonum manus dedere. Vide quæ de his sacramentis & execrationibus præter Acropolitam referunt Gregoras, Phranza, & Pachymerius.

Ἐντὸς ὄντων ... τοῦ ἱεροῦ βήματος) Gregoras lib. 3. *συνεῖσαν δ' ὁμοῦ καὶ πάντες ἄρχοντες, καὶ ἀρχόμενοι, ἐν οἷς καὶ οἱ τὴν ἐπιβουλὴν ἐξαρτύσαντες ἦσαν, καὶ συνῄρει πᾶς ὁ στρατὸς, οἱ μὲν πένθους ἕνεκα, οἱ δὲ φονικὴν ὠδίνοντες ὁρμήν. καὶ τί δεῖ μακρηγορεῖν, ἐπεὶ τῆς ἱερᾶς τολμήσαντες ὑμνῳδίας τὰ ξίφη γυμνώσαντες πάντες* pag. 567. *οἱ στρατιῶται, ἔνδον ἐξαίφνης τοῦ νεὼ εἰσεπήδησαν, &c.*

Paria sunt quæ nobis dat Georgius Phranza: sed hujusce rei tragœdiam multo melius ac fusius prosequitur Pachymerius lib. 1. hist. ex quo adhuc inedito, & omnibus non ita obvio audiamus. [illegible]

Edit. Paris. pag. 268.

Et, [illegible]

Μηδὲ μετρίου φόνου αἶκτον λαβόντων) Sequitur Pachymerius: [illegible]

φυλακαῖς δὲ δόξῃ καὶ ἀσφαλείας τῷ υἱῷ ἐφεδρεύοντες, ὡς δεδοίκασιν ἀξίας ἐκ ὧν ἔδει τὰς δίκας, αἷς εἰκότως ἐξέπεσον ἅπαντες, καὶ ὡς ἀνοίκως τὸ λοιπὸν δυλεύσομεν τῷ δεσπότῃ τῆς ἐλπίδος ἀπαλλαγέντας κακῶς. ταῦτ' ἔλεγον, καὶ λείαν Μυσῶν τ' ἀκείνων ἐποίουν. ἀμφοτέρους τ' ἐξαντλοῦντες τῆς πλείστων ἐκ τῆς σκηνῆς. τούτων ὄντων οὕτω τελεσθέντων, &c.

Edit. Paris. pag. 269. Τοῦτον γὰρ τὸν θυμὸν ὁ λαὸς ἄπας) Causas tanti odii recenset Pachymerius lib. 1. ὡς δ' ἄρα ὁ πρὸς ἐκείνον φθόνος οἰδαίνων βαρὺν, καὶ δεινὸν ὑφείρπεν, ἐκείνῳ μὲν τὸ αἰώλον ἐπαίοντο, ἐκ ἡ σκιᾷ ἐπὶ τῆς ἀπορρήτων κατ' ἐκείνο τοῖς ὀργιζομένοις ὡς πιθανή. ἐδόκουν γὰρ καὶ ὑπὲρ βασιλικὸν ζῆλον, τὸ μὲν ὅτι μαγγανείαις παρ' ἐκείνων συσκευασθῆναι νοσεῖν, καὶ ὡς κακῶς ἀπαλλάξειν προσῳκεῖ. τὸ δὲ ὅτι βασιλεῖ, καὶ ὑφαρπάζειν τὴν ἀρχὴν μελετᾷ, καὶ μεῖζον, ἢ καθ' αὐτὸν φρονεῖ, περιφρονῶν τοῦ βασιλέως, καὶ τὴν βασιλείαν διαπρεσεύων ὑποποιούμενος. τοῖς δὲ τῆς ξενικῶν Ἰταλοῖς, ὧν δὴ καὶ ὑπὸ χεῖρα εἶχεν ὁ μέγας Κονοσταῦλος καὶ ἄλλα ἰδιαίτατα ὅσα τ' κατ' ἐκεῖνον ὁμοῦ αἰτιάματα, ὡς παρὰ Μουζαλώνων καὶ μᾶλλον ἐνὸς τοῦ πρωτοτιμοῖντο ζῶντος βασιλέως τῆς εἰς φορὰς αὐτοῖς ἀποτεταγμένων, ὡς καταφρονοῖντο ἐφ' οἷς ἐδικαίουν ἑαυτοὺς τετιμῆσθαι, ὡς τοῖς πρὸς βασιλέα ἀποκλείοιντο παρρησίας, εἰ συγέσεσι ταῖς ἐκείνου, ὡς ἀτιμοῖντο Πρωτοβεστιαρίου προστάσσοντος. τύτοις καὶ τοῖς τοιούτοις τὸ ξενδόντα καὶ Ἀρσενικὸν γενεσιουργὸν ὁμιλος, ἑτοιμοί ἦσαν καταστρέψειν ἐκείνους, εἰ μόνον τις παρορμῴη,

C A P U T LXXVI.

Συμπαρῆν γὰρ αὐτοῖς καὶ ὁ Πατριάρχης) Trucidatis jam Muzalonibus, & inepto ad imperandum Joanne immatura adhuc ætate, quæritur ab omnibus, qui Imperium regat, nutantem Principatum sustentet, nec oneri cedat: nec aptior indicatur Michaele Palæologo. Vide Gregoram & Phranzam. Pachymerius quoque hisce fusius rem prosequitur.

Οὐ γὰρ προσῆκον ἔχειν τὸν τῆς Ῥωμαίων ἀρχὸν) De his omnibus vide Gregoram lib. 3. & qui Gregoram exscribit, Georgium Phranzam Histor. lib. 1. cap. 3.

Τὴν τῆς Ῥωμαίων σαλεύειν ὁλκάδα) Navis optime confertur cum Republica, seu Imperio, gubernator cum Principe, curæ, turbæ, negotia, seditiones, tempora dubia cum marinis fluctibus, cives cum vectoribus. Theophylactus Simocatta Mauric. Hist. lib. 1. cap. 1. χαλινοῖ λόγῳ τὸν ἐξουσίαν, φιλοσοφίᾳ τὸ κράτος οἰακίζε. Cicero Epist. ad Q. Cornificium: *Quamobrem, mi Quinte, conscende nobiscum & quidem ad puppim. Una navis est jam bonorum omnium, quam quidem nos damus operam, ut rectam teneamus: utinam prospero cursu. Sed quicumque venti erunt, ars nostra certe non deerit.* Et in Sextiana: *Navis Reipublicæ fluitans in alto tempestatibus seditionum & discordiarum.* Et in Pisonem: *Qui maximis turbinibus ac fluctibus Reipublicæ navim gubernassem.* Choricius Sophista Oratione peracta in Procopium Gazæum: ὅμως ἀπῆλθεν ὁ Δημοσθένης, καὶ τῆς Ἀθηναίων τύχης σαλευομένης καταλιπὼν δίκην νεὼς περικλυζομένης ἀνέμων τε βίᾳ καὶ συγχύσει κυμάτων. ὁ δὲ τὸν συγκαίσαντα ἀφῆκεν εἰς ἀσφαλῆ τε καὶ μέγαν ὁρμιζομένην λιμένα τὸν ἱερόν. Sed omnium optime atque elegantissime turbas ac seditiones Reipublicæ expressit Alcæus: τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται, τὸ δ' ἔνθεν. ἄμμες δ' ἂν τὸ μέσσον ναῒ φορήμεθα σὺν μελαίνᾳ χειμῶνι μοχθεῦντες μεγάλῳ. πὲρ μὲν γὰρ ἄντλος ἰστοπέδαν ἔχει, λαῖφος δὲ πᾶν ζάδηλον ἤδη, καὶ λακίδες μεγάλαι κατ' αὐτό. χαλάσι δ' ἄγκυραι.

Συμπάντων δὲ οἱ ὀφθαλμοὶ πρὸς τὸν Κομνηνὸν Μιχαὴλ) Gregoras. ἐξ ὧν ἐπὶ γλώττης αὐτίκα τοῖς πλείοσιν ὁ Κομνηνὸς Μιχαὴλ ὁ Παλαιολόγος, ἱκανὸς ἐμβεβαιῶσαι συνέσεως, καὶ ἐμπειρίᾳ πραγμάτων τοσοῦτον ὄχλον βασιλικῆς ἀναδέξασθαι διοικήσεως, μέχρις ἂν εἰς τὴν προσήκουσαν ἡλικίαν ὁ τοῦ βασιλέως φθάσῃ υἱός. τούτοις συμψηφος ὁ Πατριάρχης ἤδη καὶ ἑαυτὸν ἐποιεῖτο, καὶ ἐκηρύττετο δεδογμένα λοιπόν. καὶ ἐπεὶ τῶν κοινῶν πραγμάτων ὁ Κομνηνὸς Μιχαὴλ, πλὴν τῶν βασιλικῶν συμβόλων, πᾶσαν τὴν ἐξουσίαν ἀναλαμβάνει. αὕτη γίνεται τῷ Μιχαὴλ τῆς εἰς βασιλείαν ἀναγωγῆς ἀρχὴ καὶ κατάστασις πρώτη. ἐπειδὴ γὰρ ἐξ οἰκείας ἐν ταύτῃ τὰ πράγματα, καὶ πλήρωσιν, ὡς εἰπεῖν, τοῖς ἴσοις ἐν ταῖς τῆς βασιλείας ὅπλοις λιμέσι. Artes etiam ipsius ad occupandum Imperium, neque enim soli aliorum lubentiæ rem commisisset, fusius exprimit Pachymerius lib. 1.

C A P U T LXXVII. pag. 270.

Καὶ πρῶτα μὲν ἐν τῷ δεσποτικῷ ταῦτον ἀνάγουσι) Gregoras. ὀλίγας παρελθούσας ἡμέρας, καὶ δεύτερον συγκροτοῦσι βουλευτήριον, οἱ αὐτοὶ σπουδαῖοι. οἱ δεσποτείαν φέροντος τότε τὰ βασιλικὰ, καὶ κοινὰ διοικοῦντα πράγματα, καὶ πρεσβείας πολλὰς ἀναδεδεγμένον ἰδεῖν, μὴ καὶ τῆς βασιλείας ἐγγύτατα ἔχειν καὶ τὸ ἀξίωμα, τιμῆς ἕνεκα τοῦ τῶν Ῥωμαίων γένους, καὶ ἅμα βεβαιώσεως τῆς μεταξὺ γινομένων καταστάσεως. ταῦτ' ἄρα καὶ τὸ τοῦ Δεσπότου ἀξίωμα δέχεται παρά τε τοῦ Πατριάρχου, καὶ τοῦ υἱοῦ τοῦ βασιλέως. Ex Gregora sua descripsit Georgius Phranza. Pachymerius nihilominus primum eum ad Magni Ducæ officium evectum tradit hist. lib. 1. τὸ δὲ προβιβασθῆναι τὸν τοῦ βασιλέως ἐπίτροπον εἰς βαθμὸν τοῦ ἀξιώματος μείζονα εἰκὸς γοῦν εἶναι διωμολόγουν, καὶ που καὶ ἀπαιτεῖν τῆς ταῦτα κατὰ τοῦτο συνεφώνουν οἱ πλεῖστοι, καὶ εἰς μέγαν Δοῦκα. ὁ τῶν βασιλικῶν πραγμάτων ἐπίτροπος μετατίθεται, βασιλέως δόντος διδόντος. καὶ τὸ λοιπὸν ὁ Παλαιολόγος μέγας Δοὺξ καὶ τοῦ βασιλέως ἐπίτροπος φημιζόμενος πρὸς ταῖς φροντίσι τῶν κοινῶν ἦν. καὶ εἰ ἐξ ἐπιτάγματος ἀπαρακτήτου, συμπράττοντων καὶ τῶν ἐν τέλει δήμων ταῦτα. Quomodo postea ex Magno Duca Despotæ dignitatem induerit, & tum adversorum tum favorabilium Procerum sententias, & concertationes in pleno senatu, ubi intervenerat & Patriarcha, & Clerus, fusissime prosequitur Pachymerius histor. lib. 1. cap. 29.

Μικρόν τι πάνυ χρονικὸν παρῆλθε διάστημα) Gregoras lib. 4. ἀλλὰ τοῦτον οὔπω ἐκεῖ τελουμένων ἐπὶ τῆς ἀσπίδος ἐνταῦθα περὶ τὴν Μαγνησίαν καθίσταται Μιχαὴλ ὁ Παλαιολόγος ἀναγορεύσεσι βασιλέως οἱ δόξῃ καὶ γένει προὔχοντες. Similia habet Gregorius Phranza cap. 4. Pachymerius lib. 2. καὶ οὕτω τελεσθέντων τῶν δρωμένων ἀσπίδι βασιλικῇ ἐπεζεύχη ὁ εἰς βασιλείαν ἐναρμοζόμενος πρώτων τὼ πόδε τοῖς βασιλικοῖς συμβόλοις ἐνεμβαδίσας, καὶ χερσὶν ἔνθεν μὲν Ἀρχιερέων, ἔνθεν δὲ μεγιστάνων αἰρθεὶς ἀνακτορικοῖς παιᾶσι καὶ κρότοις παρὰ πάντων ἐμεγαλύνετό τε καὶ ἐφημίζετο.

Ἔνθα παρὰ τοῦ Πατριάρχου Ἀρσενίου τὸ βασιλικὸν) Acropolita plurima in hoc negotio silentio prætermittit, ne invidiam suo conflet Palæologo, ea tamen ex aliis subministrantur, Gregora lib. 4. ὕστερ ἀκηκοὼς ὁ Πατριάρχης Ἀρσένιος κατὰ Νίκαιαν τότε διάγων ξίφους παντὸς χαλεπωτέραν κατὰ καρδίας τὴν λύπην ἐδέξατο καὶ ἀρρωστῶν ὅλως οὐκ εἶχε δεδιὼς περὶ τοῦ παιδός. ὅθεν ἀφορισμῷ καθυποβαλεῖν ἐπιχειρεῖ πρῶτον τοῦτο ἀναγορευόμενον, καὶ τοὺς ἀναγορεύσαντας. ἔπειτα ἔτι μετριώτερον τε καὶ βέλτιον ἡγησάμενος ὅρκοις φρικώδεσιν αὐτοὺς ἀσφαλίσασθαι, μήτε τῇ ζωῇ τοῦ παιδὸς ἐπίβουλον χεῖρα ἐπιβαλεῖν, μήτε τινὰ, καὶ παρασκευάσειν τὸν αὐτοῦ βασιλείας ἐνθρονισθῆναι. καὶ δὴ γίνεται τοῦτο, καλουμένων Δικιμβρίων ἄρτι ἐπιλαμψασῶν. ὕπω δ' ὅλος ἀπυρετίζετο μὲν, καὶ αὐτὸς ὁ ταῦτα μὲν δεδιὼς, ἐκεῖνα δ' ἐμποδῶν, καὶ ἀσφαλιζόμενος ὑπὲρ τοῦ παιδὸς, οἰκείαις χερσὶν ἐπὶ τοῦ ἱεροῦ κατέστεψε βήματος Μιχαὴλ τὸν Παλαιολόγον, καὶ τῷ βασιλικῷ κοσμεῖ διαδήματι, ταῖς γνώμαις τῶν ἄλλων ὅσοι τῆς συγκλήτου, καὶ ὅσοι τοῦ ἱερατικοῦ καταλόγου συγκαθελκυσθεὶς καὶ αὐτός. πλὴν οὐκ αὐτῷ γε δεσποτικῇ τὴν αὐτοκρατορικὴν ἀρχὴν χαρίζεται, ἀλλ' ὡς τῶν πραγμάτων τέως ἀναγκαζόντων διοικεῖν αὐτὸν αὐτὴν, μέχρις ἂν εἰς ὥριμον γνῶσιν τῆς βασιλείας κληρονόμος ὁμοῦ καὶ διάδοχος φθάσῃ. τότε δ' αὐτὸν ἑκόντα παραχωρεῖν ἐκείνῳ μόνῳ τῶν τε αὐτοκρατορικῶν θρόνων καὶ πάντων ἅμα τῶν βασιλικῶν συμβόλων. καὶ ἐπὶ τούτοις αὖθις ὅρκοι ἐτελοῦντο φρικωδέστεροι τῶν προτέρων. Nec diversa sunt quæ scribit Phranza.

Καὶ μεγιστάνων ὁ Καρυανίτης, ὃν ἐκ Πρωτοβεστιαρίτην) Pachymerius lib. 2. καὶ οἱ μὲν ἀμφὶ τὸν Καρυανίτην, Πρωτοβεστιαρίτην τότε τυγχάνοντα, ἄνδρα

γεγονὸς καὶ πολλοῦ τινος ἄξιον φυγῇ ἐχρῶντο πρὸς Πέρσας αὐτομολοῦντες. οὐ βασιλεῖ ἐγκοτοῦντες, ἀλλὰ περὶ ἑαυτοῖς δεδοικότες διὰ τὴν τῶν πραγμάτων σύγχυσιν. εἴτε γὰρ αὐτοβόλως ὥρμων οἱ ἐπιδεικνύμενοι, μή τινος παρορμῶντος, ἔχοιεν καὶ πάλιν ὅταν ὁρμῷεν μηδ' ὁπωσοῦν κωλυθέντες, εἴτε καὶ ἄλλοι σφᾶς ὁρμῶντας παρώτρυνον ἐκείνους, καὶ κατ' αὐτοὺς παρότρυνσιν εἶχον. κἀντεῦθεν κινδυνεύειν μὴ προσδοκῶντες πολλοί, καὶ μᾶλλον τοῖς ἐπ' ἐξουσίας ὄντας, οἷς ὁ φθόνος ὑφίστατο πολὺς καὶ δεινός. οἱ μὲν οὖν διὰ ταῦτα αὐτοσχεδίως Περσίδος ἀνακρατεῖς ἤλαυνον. ἄλλοι δὲ ἐν οἷς τ' ἦσαν διεφυλάττοντο. Reliquos, si tibi adversari poterunt, vel suis conatibus impedimento esse, e de medio tulerit, habeto tibi ex Pachymere: ἀμέλει τοι καὶ ὅσοις ὑπόπτως εἶχε, καὶ πρὸς τὸ παρὸν δυσχεραίνοντας, καὶ πρὸς τὸ μέλλον προσυποπτευομένους, ἐχθροὺς ἐντεῦθεν λαβὼν καὶ κρείττων ἔχων τὸ μέγιστον ἐκποδὼν ἐποίει, τοὺς μὲν ἑκουσίως ὑποχωροῦντας, καὶ καθ' ἑαυτοὺς διάγοντας, τοὺς δὲ καὶ αὐτὸς καθαιρῶν, εἰς ἄλλους μὲν ἀλλαχοῦ, τὸν δὲ Τζαμάντουρον εἰς Προῦσαν ἐξαποστείλας, καὶ εἰς φυλακὴν εἰς κάστρῳ ἐγκατασχών.

Edit. Parif. pag. 271.

CAPUT LXXVIII.

Ὥσπερ γάρ τις ἐκ σκοτομήνης βαθείας) Pachymerius lib. 2. καὶ τοὺς μὲν τῆς γερουσίας ὅσοι μεγαλοπρεπῶς ἐθεράπευε, προνοίας τύπους ἐπαύξων καὶ προστιθεὶς, καὶ χαίρειν ἐποίει τοὺς πᾶσι, τὰ ἀγαθὰ τὰ μὲν λαμβάνοντας, τὰ δ' ἐλπίζοντας. τὸ δὲ στρατιωτικόν τε καὶ τὸ πλῆθος, τοὺς μὲν καθυπερβολαῖς φιλοτιμίαις ἀνέθαλλε, καὶ χρυσοβούλλοις τὰ ὑπεσχημένα τύποις ἐπλήρου, καὶ πρὸς τὸ μέλλον ἀδεεστέρους καθίστα, ὡς ἀδιαιρέτους τὰς τῆς ζωῆς προνοίας, καὶ τὰ διδόμενα συντηρήσειν τοῖς παισὶν ἕξοντας. τοὺς δὲ ἐθεράπευεν ἀνοιγνὺς φυλακὰς καὶ χρεῶν δημοσίων ἀπολύων τοὺς ὠφληκότας, ἀπορουμένους τε τὰ πρὸς ζωὴν διδοὺς ἀφθονώτερα, καί γε τοῖς ἠδικημένοις ἀμοιβὰς καὶ φιλοτιμοτέρας προχέων τὸ δαψιλές. ὥστ' εἶναι ἅμα μὲν ἀνεγκλήτους περὶ τὸ τινὰ, καὶ ἅμα προβαίνειν γράμμα βασιλικὸν προστάξουσιν ἐκείνῳ τὰ κατὰ βούλησιν.

Οἱ μὲν γὰρ ἐν τῇ Κωνσταντινουπόλει Λατῖνοι) Pachymerius. ἐπρεσβεύοντο δὲ πρὸς ἐκεῖνον, καὶ οἱ κατὰ τὴν μεγαλόπολιν Ἰταλοί, καὶ ἀνοκωχὴν ἐδίδου τῆς πρὸς ἐκείνους μάχης, ὡς καὶ μετ' ὀλίγον κραταιότερον ἀνασόμενοι σφίσιν, εἰ προσταιρισθῶσί τινα ἐκπληρώσειν. πλὴν καὶ τοὺς πρέσβεις Ῥωμαίους, καὶ ἐκ Ῥωμαίων ὄντας, ὡς εἶχε μετεχειρίζετο. καὶ μηδὲν ἔχειν ἐν τῇ πόλει ζητούντων, ἐδίδου ἔξω, καὶ χρυσοβουλλείοις λόγοις κατησφαλίζετο τὰ διδόμενα. κἀντεῦθεν προσεφέρετο ὡς ἰδίοις, καὶ τούτων διδοὺς καὶ λαμβάνων, ἀνύπτα τὰ τῶν σπονδῶν, προσδοκῶντι μείζω ἐξ ὧν ἐμάνθανε τοῖς πρέσβεσιν ὁμιλῶν.

CAPUT LXXIX.

Οὐ μόνον τὸ ἐπὶ τῷ ῥηγὶ τῆς Σικελίας τῷ Μαφρὲ) Gregoras lib. 3. τὴν γὰρ αὐτοῦ πρεσβείαν ἀσμένως δεξάμενοι τάχιστα ἥκασιν, ὅ τε Πελοποννήσου καὶ Ἀχαΐας Πρίγκιψ, γαμβρὸς ἐπὶ Ἄννῃ τῇ θυγατρὶ τυγχάνων αὐτῷ, καὶ ὁ τῆς Σικελίας τότε κρατῶν Μαφρὲ, γαμβρὸς καὶ αὐτὸς ἐπὶ Ἑλένῃ τῇ θυγατρὶ τυγχάνων αὐτῷ. πλῆθος ἐπαγόμενοι στρατιᾶς ὡς πάνυ τοι ῥᾷστα ἀθρόαν ὑποπίπτειν ἐπαγγελλόμενοι.

Ἐφίστα γὰρ αὐτὸν ὁ μόνον τῷ ἐπὶ ῥηγί) Pachymerius. καὶ δὴ ἄνω γαμβροὺς ἐπὶ θυγατράσιν εἶχε τοῦτο μὲν τὸν Πυλαῖας Μαφρὲ, τὸν ἐκ τοῦ δεσπότου τῶν Ῥωμαίων Λάσκαρι αὐτάδελφον, ἣν πρὸς τὸ γῆρας ὁ βασιλεὺς Ἰωάννης ἡρμόσατο. εἶχε μὲν οὖν ἐκεῖνον ἐπὶ τῇ θυγατρὶ Ἑλένῃ γαμβρὸν ὁ Δεσπότης. εἶχε δὲ καὶ ἄλλον ἐπὶ τῇ Ἄννῃ τὸν Πρίγκιπα τῆς Ἀχαΐας Γυλιέλμον, πέμψας παρὰ μὲν τοῦ Μαφρὲ τριχιλίους ὡς αὐτοὶ λέγουσι καβαλλαρίους λαμβάνει, ἀνδρείους ἐκ Γερμανῶν, τὸν δέ γε Πρίγκιπα ὅλον εἶχε σὺν τοῖς στρατεύμασι. εἶχε δὲ καὶ τὸν ἐκ νόθων υἱὸν Ἰωάννην μετὰ τῶν οἰκείων λαῶν τὰ μέγιστα συναιρόμενον. ἐκεῖνος καὶ γὰρ ἤδη καθ' ἑαυτὸν τῇ τοῦ Ταρωνᾶ θυγατρὶ συνὼν, λαοὺς ἐξόντας εἶχε δυνατοὺς ἦν καὶ μόνος στρατηγεῖν, καὶ προσκαλεῖσθαι.

Καὶ εἰς φαντασίαν μείζονος κέρδους) Gregoras. οὐ γὰρ τοσοῦτον συμμαχήσοντες ἧκον τῷ Μιχαὴλ, ὅσον σφίσιν αὐτοῖς περιποιησόμενοι πλάτος ἀρχῆς, καὶ πόλεις ἀλλοτρίας. καὶ γὰρ τὴν μετὰ τὸν Ἰόνιον κόλπον ἄχρι Βυζαντίου πᾶσαν Ῥωμαίων ἀρχὴν ἤλπισαν ἕξειν ἀκονιτί. καὶ ὡς ἤδη βεβαίως ἔχοντες, κλήρῳ ταύτην κατὰ σφᾶς αὐτοὺς διαλαγχάνειν, πρὶν ἅψασθαι ἔργου.

CAPUT LXXX.

pag. 272.

Τὸν αὐτάδελφον αὐτοῦ Σεβαστοκράτορα) Gregoras. τὰς δὲ λαμπρὰς ταύτας καὶ θαυμασίας παρασκευὰς ἐς ἀκοὴν κατασχὼν ὁ Κομνηνὸς Μιχαὴλ ὁ Παλαιολόγος ἄρτι τὸ δεσποτικὸν περιεζωσμένος ἀξίωμα, καὶ βεβαιοτέραν ἐν τοῖς πράγμασι τῆς ἐξουσίας περιπεποιημένος ἀρχὴν, πέμπει μηδὲν μελλήσας τὸν αὐτοῦ ἀδελφὸν Ἰωάννην, Σεβαστοκράτορα ὄντα, χεῖρα συχνὴν ἐπαγόμενον. πέμπει δὲ σὺν αὐτῷ καὶ τῶν τῆς συγκλήτου λαμπρῶν οὐκ ὀλίγους συνεργοὺς καὶ συμβούλους, ὅσοι τῆς στρατηγικῆς ἐμπειρίας οὐ πάνυ τοι ἀδαεῖς ὄντες ἐτύγχανον. ἐν οἷς ἦν καὶ Καῖσαρ ὁ ἀμφιμήτριος ἀδελφὸς αὐτοῦ Κωνσταντῖνος, καὶ Ἀλέξιος ὁ Στρατηγόπουλος μέγας Δομέστικος ὤν, καὶ πρός γε ἔτι Κωνσταντῖνος ὁ Τορνίκης ὁ τοῦ Σεβαστοκράτορος πενθερὸς, μέγας ὢν Πριμμικήριος. ἦν δὲ τηνικαῦτα ὁ χρόνος κατὰ τροπὰς θερινὰς κατ' αὐτὰς δὲ τὰς Ὠρίωνος καὶ Κυνὸς πλατυτέρας ἐπιτολάς. Hinc colligitur Michaeli Palæologo duos fuisse fratres, quamvis non ex eadem matre, Joannem & Constantinum. Pachymerius ὁ μέντοι γε μέγας Κονοσταῦλος τοὺς ἀδελφοὺς ἐπιστὰς δύο ὄντας καὶ συνόντας, ὧν ἅτερος μὲν Ἰωάννης, ὁ δὲ δεύτερος μετ' ἐκεῖνον ὁ Κωνσταντῖνος ἐλέγετο, ἀφθονίως οὕτω συμμεμιγμένους ταῖς πρεπούσαις ἑαυτῷ φυλακαῖς καθίστη.

Ὁ μὲν οὖν Σεβαστοκράτωρ Ἰωάννης κατὰ τὸ προσταχθὲν) Plura de his vide apud Gregoram lib. 3. cap. ult.

